*Εὔμητιν καὶ Πρωτομάχην. κατῴκει δὲ τὰς Θήβας, πλησίον τοῦ ἱεροῦ τῆς μητρὸς τῶν θεῶν τὴν οἰκίαν ἔχων. ἐτίμα δὲ τὴν θεὸν σφόδρα, ὢν εὐσεβέστατος, καὶ τὸν Πᾶνα, καὶ τὸν Ἀπόλλωνα, εἰς ὃν καὶ πλεῖστα γέγραφε. νεώτερος δὲ ἦν Σιμωνίδου, πρεσβύτερος δὲ Βακχυλίδου. κατὰ δὲ τὴν Ξέρξου κατάβασιν ἤκμαζε τῇ ἡλικίᾳ. ἐτιμήθη δὲ σφόδρα ὑπὸ πάντων τῶν Ἑλλήνων διὰ τὸ ὑπὸ τοῦ Ἀπόλλωνος φιλεῖσθαι οὕτως, ὡς καὶ μερίδα λαμβάνειν ἀπὸ τῶν προσφερομένων τῷ θεῷ, καὶ τὸν ἱερέα βοᾶν ἐν ταῖς θυσίαις· Πίνδαρον ἐπὶ τὸ δεῖπνον τοῦ θεοῦ. λόγος καὶ τὸν Πᾶνα εὑρῆσαί ποτε ᾄδοντα περὶ τοῦ Πέλοπος· λόγος δὲ ὅτι ποτὲ Λακεδαιμόνιοι Βοιωτοὺς ἐμπρήσαντες καὶ Θήβας ἀπέσχοντο μόνης τῆς οἰκίας αὐτοῦ, θεασάμενοι ἐπιγεγραμμένον τὸν στίχον τοῦτον· Πινδάρου τοῦ μουσοποιοῦ τὴν στέγην μὴ καίετε. ὅπερ καὶ τὸν Ἀλέξανδρον μετὰ ταῦτά φασι πεποιηκέναι· καὶ γὰρ οὗτος ἐμπρήσας τὰς Θήβας μόνης ἐκείνης ἐφείσατο. ἐχθρωδῶς δὲ διακειμένων τῶν Ἀθηναίων πρὸς τοὺς Θη-*

---

8 Paus. 9. 23, 3. Plut. de sera num. vind. 13 15 Arr. exped. Al. 1, 9, 10. Dio Chr. de regno 2 p. 27 Ddf. Tzetzes Chil. 7, 410

---

1 *Εὔμητιν* **EH** (*Πολύμητιν, ἄλλοι δὲ Εὔμητιν* Germ.): *Πολύμητιν* 1. 2 *τὴν οἰκ. ἔχ. πλ. τ. ἱ. τ. μ. τ. θ.* Θ 2 *θεῶν*] *θεῶν τῆς Ῥέας* **Q**$^{b}$ *θεῶν Ῥέας* **v** ‖ *τὴν οἰκ. ἔχων* om. **Q**$^{b}$ ‖ *ἔχων* **E**Θ: *ἔχων τῆς Ῥέας* **HKQ** 3 *τὴν θεὸν*] *ταύτην* **Q**$^{b}$ ‖ *τὴν* **KQ**: *τὸν* **EH**Θ ‖ *ὢν εὐσ.* om. **Q**$^{b}$ 4 *ἔγραφε* Θ 5 *δὲ καὶ Βακχ.* **Q**$^{b}$ ‖ *τὴν τοῦ Ξ.* **Q**$^{b}$**v** 6 *διάβασιν* Eust. ‖ *τὴν ἡλικίαν* **HQ**$^{i}$**v** 7 *τῶν* om. **EH** 7. 8 *φιλεῖσθαι οὕτως*] *φιλεῖσθαι* **Q**$^{b}$ *οὕτω φιλεῖσθαι* **v** 8 *μερίδα τ. πρ. τῷ θεῷ λαμβ.* **v** 9 *Πίνδαρος* Θ Eust. 10 *τὸ* om. Θ ‖ *τῷ δείπνῳ* **Q**$^{b}$ ‖ *τῷ θεῷ* Eust. ‖ *λόγος* — 11 *Πέλοπος* om. **Q**$^{b}$ 10 *καὶ*] *δὲ καὶ* Θ ‖ *εὑρῆσαι* — 11 *Πέλοπος*] *ὀρχήσασθαί ποτε τὸν αὐτοῦ παιᾶνα καὶ χαίρειν ᾄδοντα τοῦτον ἀεὶ ἐν τοῖς ὄρεσι* **v**. Nonnulla excidisse apparet ‖ *εὑρῆσαι*] *ἀνῆσαι* Θ 11 *λόγος δὲ*] *καὶ* Θ *φασὶ δὲ καὶ* **v** 12 *Βοιωτίαν* Θ ‖ *ἀπέσχον* **E** 12. 13 *μόνης αὐτοῦ τῆς οἰκίας* Θ *τῆς οἰκ. μόνου αὐτοῦ* **E** 13. 14 *τὸν στίχον τοῦτον*] *τόνδε τὸν στίχον* **v** 14 *τοῦ* om. **E** ‖ *τὴν στέγην* **EHQ**$^{b}$Θ Eust.: *τὴν στέγαν* **KQv** *τὰν στέγαν* **b** 15 *ὅπερ*] *ὥσπερ* **H** ‖ *καὶ γὰρ* — 16 *ἐφείσατο* om. **Q**$^{b}$ ‖ *μόνης* om. **H** 16 *ἐκείνης*] *τῆς ἐκείνου οἰκίας* **v** 17 *ἐχθρωδῶς* **E**ʹ**K**$^{pc}$ **v**: *ἐχθρῶς*

βαίους, ἐπεὶ εἶπεν ἐν τοῖς ποιήμασιν· ὦ ταὶ λιπαραὶ καὶ μεγαλοπόλιες Ἀθᾶναι, ἐζημίωσαν αὐτὸν χρήμασι Θηβαῖοι, ἅπερ ὑπὲρ αὐτοῦ ἔτισαν Ἀθηναῖοι. γέγραπται δὲ αὐτῷ ἑπτακαίδεκα βιβλία, ὧν τέσσαρα ἡ λεγομένη περίοδος λέγει τάδε·
$Q^b$v Ὀλυμπιονίκας Πυθιονίκας Ἰσθμιονίκας Νεμεονίκας. | [Ἔστι δὲ τὰ Ὀλύμπια ἀγὼν εἰς τὸν Δία, τὰ Πύθια ἀγὼν εἰς τὸν Ἀπόλλωνα, τὰ Νέμεα ἀγὼν καὶ αὐτὸς εἰς Δία, τὰ δὲ Ἴσθμια ἀγὼν εἰς Ποσειδῶνα. τὰ δὲ ἔπαθλα τούτων ἐλαία, δάφνη,
EHKQθ σέλινον ξηρόν τε καὶ χλωρόν.] | ἀλλὰ περὶ μὲν τῶν ἄλλων καὶ τὰ ἐπιβάλλοντα τούτοις ὕστερον ἐροῦμεν· νῦν δὲ περὶ τῆς θέσεως τῶν Ὀλυμπιονικῶν λεκτέον. τινὲς μὲν οὖν ταύτην εἰς τὰ περὶ Οἰνομάου καὶ Πέλοπος τοῖς χρόνοις ἀναφέρουσιν· ἄλλοι δέ φασιν ὡς οὕτως αἰσχρὰν οὖσαν τὴν θέσιν οὐκ ἂν διεφύλαξαν· ἄλλοι δὲ Ἡρακλεῖ ἀνατιθέασιν, ὡς καὶ Πίνδαρος (O. X), ἐνδοξοτέροις κοσμῶν τὸν ἀγῶνα. ἐπεὶ γὰρ τὴν Αὐγείου κόπρον καθῆρε καὶ τῶν ἐπηγγελμέ-

8 sch. O. 3, 27 16 Tzetzes ad Lyc. 41

1 ἐπεὶ om. Θ ‖ τοῖς] τοῖς αὐτοῦ **v** ‖ ὦ ταὶ λιπαραὶ καὶ Γ'' Eust. (cfr. Schroeder Philol. 54, 286): ὦ ταλαίπωροι καὶ **EHKQ** ὦ Θ om. **Q**$^b$**v** ὦ ταλαίπωροι Θῆβαι καὶ **b** ex recc. 2 Ἀθᾶναι **QQ**$^b$: Ἀθῆναι **EHK** Eust. **v** Ἀθηναῖοι Θ ‖ οἱ Θηβ. **Q**$^b$**v** 3 ὑπὲρ] ὑπ' Θ ‖ αὐτοῦ] ἐκείνου **v** 4 τέσσαρα] δασ Θ ‖ λέγει τάδε **H(K)Q**: ἣ λέγεται τάδε **E** λέγει δὲ τάδε **Q**$^b$ λέγει δὲ Θ τάδε **v** om. **b**. Ft. περιέχει τάδε 5 τὰ Ὀλύμπια φημὶ τὰ Πύθια τὰ Νέμεα καὶ τὰ Ἴσθμια **v** ‖ Ἰσθμιονίκας Νεμεονίκας **QU**Θ (Vrat.$^{cd}$) Νεμ. Ἰσθμ. **E** Νεμ. καὶ Ἰσθμ. **Q**$^b$ Ἰσθμιονίκας **HKP** hyp. Isthm. p. 349, 5 Ab. 5 Ἔστι — 9 χλωρόν] cfr. Abel 3, p. 36 7 εἰς τὸν Δ. **v** ‖ εἰς τόν Π. **v** 9 μὲν] μέντοι recc. **b**
10 καὶ — ἐροῦμεν] οὐ χρεία νῦν ἐστι λέγειν **v** ‖ νῦν δὲ περὶ] περὶ δὲ **v** 11 Ὀλυμπίων **v** 11. 12 οὖν ταύτην Θ: οὖν τούτων **Q** τούτων **EHK** om. **v** οὖν ταῦτα **b** ex recc. 12 καὶ om. **E** ‖ τοῖς χρόνοις] χρόνους **H** τοὺς χρόνους Θ om. **v** ‖ ἀναφέρουσιν **EHQ**$^2$Θ Eust. **v**: ἀφαιροῦσιν **KQ**$^1$ 13 ἄλλοι — 14 διεφύλαξαν om. **v** 13 ὡς om. **E** 14 ἄλλοι] ἕτεροι **v** ‖ οὐκ — ἀνατιθέασιν om. Θ 15 ὃ καὶ Π. λέγει ἐνδοξώτερον ποιῶν τὸν ἀγ. **v** ‖ ἐνδοξότερον αὐτὸν κοσμῶν Eust. ‖ καὶ ὁ Π. **KQ** ὁ Π., om. καί, Θ 16 Αὐγέου **HKQ** ἑαυτοῦ Θ ‖ καθῆρε **EQ**Θ: καθαίρειν **H** καθεῖλε **K** ἐκάθηρε **v** ‖ καὶ] καὶ ἐπὶ Θ

*νων οὐκ ἔτυχε, συναγαγὼν στρατόπεδον τόν τε Αὐγείαν φονεύει καὶ τὴν Ἦλιν παρίσταται, καὶ πολλὰ λάφυρα περιποιησάμενος ἀγῶνα τίθησι τοῖς μετ' αὐτοῦ πολεμήσασιν· ὅθεν καὶ τὸ ἔθος διαμεῖναι. ἀλλ' οὐδὲ αὕτη ἔμεινεν ἡ θέσις, ἐπεὶ τῆς συμβάσης αὐτοῖς δυσχερείας ὑπόμνησις ἦν. ἀλλ' Ἴφιτός τις καὶ Εὐρύλοχος τοὺς Κιρραίους πολεμήσαντες (οὗτοι δὲ ἦσαν οἱ τὴν πάραλον τῆς Φωκίδος λῃσταὶ κατέχοντες) καὶ πολλὰ λάφυρα συναγαγόντες, ὁ μὲν Ἴφιτος τὰ Ὀλύμπια κατέβαλεν, ὁ δὲ τὰ Πύθια· καὶ ταύτην ἐπιμεῖναι τὴν θέσιν συνέβη.*

*Τέθνηκε δὲ ὁ Πίνδαρος ἓξ καὶ ἑξήκοντα ἐτῶν γεγονὼς ἐπὶ Ἀβίωνος ἄρχοντος κατὰ τὴν ἕκτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα. ἤκουσε δὲ Σιμωνίδου.*

*ὁ δὲ ἐπινίκιος οὗ ἡ ἀρχή· Ἄριστον μὲν ὕδωρ, προτέ-* **EKQΘ**
*τακται ὑπὸ Ἀριστοφάνους τοῦ συντάξαντος τὰ Πινδαρικὰ διὰ τὸ περιέχειν τοῦ ἀγῶνος ἐγκώμιον καὶ τὰ περὶ τοῦ Πέλοπος, ὃς πρῶτος ἐν Ἤλιδι ἠγωνίσατο. γέγραπται δὲ Ἱέρωνι βασιλεῖ Συρακουσίων· αἱ δὲ Συράκουσαι πόλις τῆς Σικελίας· ὃς καὶ κτίστης ἐγένετο Αἴτνης πόλεως, ἀπὸ ὄρους αὐτῆς*

---

1 *οὐκ ἀνέτυχε* **E** ‖ *στρατόπεδον*] *πολὺν στρατὸν* **v** ‖ *Αὐγέαν* **KQ** *φονέα* Θ 2 *τῇ Ἦλι* Θ ‖ *περιίσταται* Θ *παρεστήσατο* **v** *παραστησάμενος* **b** 2. 3 *περιποιησάμενος*] *συναγαγὼν* **v** *συναναγαγὼν* **hb** 4 *ἔθνος* Θ ‖ *διαμεῖναν* **E** *διέμεινεν* Eust. ‖ *αὕτη* **b**: *αὐτὴ* ‖ *ἔμενεν* **HQΘ** 5 *ἐπεὶ* **E** Eust.: *ἐπὶ* ‖ *συμβάσεως* Θ ‖ *αὐτοῖς* **EQ**[1]: *αὐτῆς* **HKQ**[s]Θ**v** *αὖθις* cj. **b** ‖ *ὑπόμνησις ἦν* **E** *ἦν ὑπόμνησις* Eust.: *ὑπόμνησις δὲ ἦν* **KQΘv** *ὑπ. δὲ* **H** 6 *Ἴφιλος* **Q**[1] 7 *πάρηλον* **Q** *παράλιον* Θ Eust. **v** 8 *Ἴφιλος* **Q**[ac] 9 *κατέβαλεν*] *κατέλαβε* Θ *συνεστήσατο* **v** ‖ post *Πύθια* add. *Εὐρύλοχος* **v** ‖ *ταύτην*] *τούτων* **E** *ἐκ τούτου* **v** 11 *δὲ* om. **QΘ** ‖ ante *γεγονὼς* dist. **K** ‖ *γέγονε δὲ* **H** ‖ post *γεγονὼς* add. *ἢ ὥς τινες ὀγδοήκοντα* **v** (Eust.) 12 *Ἀβίωνος*] *Βίαντος* **G** *Βίωνος* **h** *Ἄβρωνος* Wilamowitz Arist. u. Ath. II 301, 20 ‖ *κατὰ*] *τοῦ κατὰ* **K** ‖ *τὴν* **E** Eust.: om. **HKQΘv** ‖ *ἕκτην καὶ* del. **h** ‖ *ὀγδοηκοστὴν*] *εἰκοστὴν* **H** 13 *ἤκουσε — Σιμ.* om. **H** ‖ *ἤκουσε δὲ*] *ἀκροατὴς δὲ γέγονε* **v** ‖ *Σιμωνίδου* **Q** Eust. **v**: *Σιμωνίδης* **EKΘ** 14 *δὲ*] *παρὼν* **E** 15 *Ἀριστοφάνους τοῦ* **v**: *Ἀριστοφάνους* **K** *Ἀριστοφάντου* **EQ** *ἄντου* Θ 16 *περιέχον* **K** (ο ex corr.) 17 *πρώτως* **Q** 18 *Συρρ.* fere codd. ‖ *ἡ δὲ Συρράκουσα* **K** 19 *Αἴτνης ἐγένετο* **KQv** ‖ *πόλεως Αἴτνης* Θ ‖ *ἀπὸ τοῦ ὄρους* **v** 19 sq. *αὐτῆς οὕτως αὐτὴν* **E**: *αὐτὴν οὕτως* **KQΘv**

οὕτως αὐτὴν ὀνομάσας. ἀποστείλας δὲ οὗτος ἵππους εἰς Ὀλυμπίαν ἐνίκησε κέλητι.

EKQ Τὸ μέτρον τούτου ὑπάρχει τριάς· τριὰς δέ ἐστι ποίημα ἐν ᾧ στροφή, ἀντίστροφος, ἐπῳδός.

EPQ *Πινδάρου γένος δι᾽ ἐπῶν.*

Πίνδαρον ὑψαγόρην Καδμηίδος οὖδεϊ Θήβης
Κλειδίκη εὐνηθεῖσα μενεπτολέμῳ Δαϊφάντῳ
γείνατο ναιετάουσα Κυνὸς κεφαλῆς παρὰ χώρῳ,
οὐκ οἷον· ἅμα τῷ καὶ Ἐρίτιμον εἰδότα θήρην,
εἰδότα πυγμαχίην τε παλαισμοσύνην τ᾽ ἀλεγεινήν.
τὸν μὲν ὅτε κνώσσοντα ποτὶ χθόνα κάτθετο μήτηρ
εἰσέτι παιδνὸν ἐόντα, μέλισσά τις ὡς ἐπὶ σίμβλῳ
χείλεσι νηπιάχοισι τιθαιβώσσουσα ποτᾶτο.
τῷ δὲ λιγυφθόγγων ἐπέων μελέων θ᾽ ὑποθήμων
ἔπλετο δῖα Κόριννα· θεμείλια δ᾽ ὤπασε μύθων

---

3 sch. Ar. av. 1731. sch. Germ. ed. Momms. p. 2. Eust. p. 30 Ab. 11 Plut glor. Ath. 4

---

1 δὲ] γὰρ v 2 κέλητι v: κέλλητι 3 τούτου E: τοῦτο KQ Germ. 4 καὶ varie addunt KQ ‖ ἐπῳδὴ KQ 5 sqq. cfr. Eust. p. 24 sq. Ab. Ludwich Rh. Mus. 34, 357 ‖ tres primos versus corruptissimos hab. K 5 δι᾽ ἐπῶν] διὰ στίχων ἡρωικῶν v 6 ὑψαγόραν Q 7 Κληδίκη P Κλευδίκη malit h ‖ μενεπολέμῳ Q ‖ Δαιφάντῳ E Eust.: -τῃ PQv (Ludw.) 8 κεφαλῇ Qvb (ex libris suis) ‖ περὶ PQv ‖ χῶρον v 9 οἷόν γ᾽ v (cod. Angel.) ‖ ἅμα τῷ γε καὶ (?) Hermann ap. Tafelium ad Eust. 59, 54 ‖ Ἐρίτιμον E Eust.: Ἐρείτιμον PQv Ἐρώτιον ex Suida b Ἐρώτιον Westermann, Lehrs (apud Ludwich. p. 359) Εὔρυτον id. ib. Ἐριτίμονα Schneidewin Eust. p. 25 Ἐρίτιμόν τ᾽ (pro καὶ Ἐρ.) h; cf. vs. 24 et Ludwich l. l. p. 362 ‖ θήρην EQv: θήρης GP θήρην et -ης Eust. 10 -ην et -ης ubique Eust. ‖ πυγμαχίην (μα corr. ex χ) E -χείην Q -χιῶν G 11 κνώσαντα Q κνώσσαντα r 12 παιδνὸν Eust: παιδίον EPv παιδείαν Q ‖ ὄντα v ‖ σίμβῳ E 13 τιθαιβώσουσα E 14 τῷ Eust. v: τὸν EQ τῶν P ‖ ἐπέων om. E ‖ ὑποθήμων Eust. v: ὑποθύμα E ὑποθ᾽ ὕμνων Q ὑποθ᾽ ὕνων P 15 δία EP Eust. v

τὸ πρῶτον· μετὰ τὴν δ' Ἀγαθοκλέος ἔμμορεν αὐδῆς,
ὅς τέ ῥά οἱ κατέδειξεν ὁδὸν καὶ μέτρον ἀοιδῆς.
εὖτε δ' Ἀλεξάνδροιο Φιλιππιάδαο μενοινῇ
Καδμείων ἀφίκοντο Μακηδόνες ἄστεα πέρσαι,
Πινδαρέων μεγάρων οὐχ ἥψατο θεσπιδαὲς πῦρ.
ἀλλὰ τὰ μὲν μετόπισθεν. ἔτι ζώοντι δ' ἀοιδῷ
Φοῖβος ἄναξ ἐκέλευσε πολυχρύσου παρὰ Πυθοῦς
ἥια καὶ μέθυ λαρὸν ἀεὶ Θήβηνδε κομίζειν.
καὶ μέλος, ὥς ἐνέπουσιν, ἐν οὔρεσιν ἠυκέρως Πάν
Πινδάρου αἰὲν ἄειδε, καὶ οὐκ ἐμέγηρεν ἀείδων.
ἦμος δ' ἐν Μαραθῶνι καὶ ἐν Σαλαμῖνι παρέσταν
αἰναρέται Πέρσαι μετὰ Δάτιδος ἀγριοφώνου,
τῆμος ἔτι ζώεσκεν, ὅτ' Αἰσχύλος ἦν ἐν Ἀθήναις.
τῷ δὲ Τιμοξείνη παρελέξατο δῖα γυναικῶν,
ἣ τέκεν Εὔμητιν, μεγαλήτορα καὶ Δαΐφαντον,
Πρωτομάχην δ' ἐπὶ τοῖσιν. ἔμελψε δὲ κῦδος ἀγώνων
τῶν πισύρων, μακάρων παιήονας ἐνδεδεγμένους,
καὶ μέλος ὀρχηθμοῖο, θεῶν τ' ἐρικυδέας ὕμνους,
ἠδὲ μελιφθόγγων μελεδήματα παρθενικάων.
τοῖος ἐὼν καὶ τόσσα παθὼν καὶ τόσσα τελέσσας
κάτθανεν ὀγδώκοντα τελειομένων ἐνιαυτῶν.

---

1 Ἀγαθοκλέες cod. Angel. (teste Mommseno sch. Germ. p. 1 n. 2) ‖ ἔμμορας **PQ** Angel. 2 ὅς τέ ῥά **v**: ὅς ῥά **EPQ** Eust. ὅς ῥά τέ Hermann ‖ κατέδειξεν **v**: κατέλεξεν 3 Φιλιππιάδα **PQ** ‖ μενοινῆς **PQ** Eust. **v** 4 Μακηδόνες Eust. **v**: Μακεδόνες **EPQ** 6 δ' ἀοιδῷ Eust.: ἀοιδῷ 7 κέλευσε **E** ‖ περὶ **EP** 8 μέλι **Qv** ‖ ἀεὶ Eust.: αἰεὶ 9 ἐνέπουσιν Eust.: ἐννέπωσιν **E** ἐννέποισιν **PQ** ἐνέποισιν **v** ‖ ἠύκερος **v** 10 ἐμέγειρεν **PQv** 12 -φώνης **P** 13 ἔτι ζώεσκεν] ὅτ' ἔζώεσκεν **Q** ‖ ὅτ'] ὅ τ' Bergk[4] p. 369 14 δὲ del. **b**; cfr. vs. 4; Μεγακλείη Leutsch Philol. 11, p. 9 ‖ Τιμοξείνη Eust.: -ξένη ‖ παραλέξατο Eust. ‖ δία **Ev** 15 Δαιφάντην **v**, Ludwich 16 ἔμελψαν **Q** ‖ δὲ om. **E** 17 ἀναδεδεγμένος Eust. ἀνδράσι θρήνους **h** ἐν δέ τε θρήνους Schneidewin ἐν δ' ἐλεγείους Tafel ἐν δὲ θρονισμούς Bergk[4] p. 370. Dithyrambos omitti mirum est 18 ὀρχηθμοῖο Eust.: ὀρχηθμοῖσι 19 μελεφθ. **E**[ac] 20 τόσσα παθὼν Eust.: τοῖα παρὼν **EPQv** τοῖα πορὼν **h** 21 τελειωμένων **EP**

**EPQ** *Πένταθλον.*

*Ἅλμα ποδὸς δίσκου τε βολὴ καὶ ἄκοντος ἐρωὴ*
*καὶ δρόμος ἠδὲ πάλη· μία δ' ἔπλετο πᾶσι τελευτή.*

*Ἅλμα πάλη δίσκευμα κοντὸς καὶ δρόμος.*

**EPQ** *Εἰς τοὺς ἐννέα λυρικούς.*

*Ἐννέα τῶν πρώτων λυρικῶν πάτρην γενεήν τε*
*μάνθανε, καὶ πατέρας καὶ διάλεκτον ἄθρει.*
*ὧν Μιτυληναῖος μὲν ἔην, γεραρώτερος ἄλλων*
*Ἀλκαῖος πρότερος, ἠχικὸς Αἰολίδης.*
*ἣ δ' ἐπὶ τῷ, ξυνὴν πάτρην φωνήν τε δαεῖσα*
*Σαπφώ, Κληῖδος καὶ πατρὸς Εὐρυγύου.*
*Στησίχορος Σικελός· πάτρη δέ οἱ Ἱμέρα ἐστίν·*
*Εὐφήμου πατρός, Δωρικὸς ἁρμονίην.*
*Ἴβυκος Ἰταλὸς ἐκ Ῥηγίου ἠὲ Μεσήνης*
*Ἠλίδα πατρός, Δωρίδα δ' ἡρμόσατο.*
*Παρθενίου δὲ πατρὸς λιγυρὸς πάις ἠετιήου*
*εἴδει μελπόμενος, Τήιος Ἀνακρέων.*
*Πίνδαρος ἦν Θηβαῖος, ἀτὰρ πατρὸς Σκοπελίνου,*
*Δώριον αἰνήσας ἁρμονίην ἐπέων.*

---

1—4 sch. Isthm. 1, 35. Eust. p. 29 Ab. id. ad Il. 1320, 18. sch. Germ. ed. Mo. p. 1

---

1 *πένταθλος* **PQ** Germ. 4 *κοντὸς* **E** Eust. prol.: *κοντὸν* Eust. ad Il. *κονγ·* **Q**[1] *κόνδυλος* **Q**[2] *κον* ....(lac.) **P**[1], acc. et *δυ* add. **P**[2] *δίσκευμ' ἄκων τε καὶ* Tafel ad Eust. p. 60, 91 *δισκεύματ' ἀκόντιον ἠδὲ δρόμημα* Hermann opusc. 3, 27 ‖ *καὶ* om. **P** Germ. 9 *πρότερος*] latere videtur patris nomen ‖ *ἠχικὸς* **v**: *καὶ ἠχικὸς* ‖ *Αἰολίδος* **PQv** 11 *Κληιΐδος* **h** ‖ *Εὐρυγύου* ego: *Ἠεριγύου* (*Ἡερηγύου*) et *Εὐρύγιος* Suid. *Εὐρυγύρου* **EPQv** *Εὐρυγόρου* **G** 14 *Ἴβηκος* **E** *Ἴβυικος* **P** ‖ *αὖ* post *Ἰταλὸς* add. **v** ‖ *Ῥηγίου* **v**: *Ῥήγου* **EPQ** *τοῦ Ῥηγίου* Vr[c] Mosq. B 15 *Ἠλίδαν* **PQ** ‖ *πατρὸς* **v**: *τοῦ πατρός* 16 *ἠετίνου* **E** *Ἠετίης τε* Barnes? Anacr. p. IV; sed latet significatio dialecti (*Ἡσιονείῳ*? Schroeder cl. Callin. fr. 5 Bgk) 17 *εἴδει*] *ἦν ἄρα* **v** *ᾄδει* codd. Boeckhii ‖ *Τήιος* **PQ**: *τΐνος* **E** ‖ *Τῇος Ἀνακρεΐων* **h**

ἠδὲ Σιμωνίδεω Κείου Δωριστὶ λαλοῦντος
τὸν πατέρ' αἰνήσας ἴσθι Λεωπρεπέα.
ἶσα δαεὶς καὶ Κεῖος ἐὼν γενεῇ μελοποιὸς
Μίλωνος πατέρος ἔπλετο Βακχυλίδης.
Ἀλκμὰν ἐν Λυδοῖσι μέγα πρέπει· ἀλλὰ Δάμαντος
ἐστὶ καὶ ἐκ Σπάρτης, Δωρίδος ἁρμονίης.

Λυρικοὶ ποιηταὶ μουσικῶν ᾀσμάτων ἐννέα· ἐννέα δὲ (D)EFK(P)Q καὶ αἱ καθ' ἡμᾶς τῶν θείων ᾀσμάτων ᾠδαί. | τὰ δὲ ὀνόματα (D)FKQ τῶν προειρημένων λυρικῶν εἰσὶ τάδε· Ἀλκμὰν Ἀλκαῖος Σαπφὼ Στησίχορος Ἴβυκος Ἀνακρέων Σιμωνίδης Βακχυλίδης καὶ Πίνδαρος.

Ἐννέα δὲ οἱ λυρικοί· Ἀλκαῖος Σαπφὼ Στησίχορος Ἴβυ- Q^b r κος Βακχυλίδης Σιμωνίδης Ἀλκμὰν Ἀνακρέων καὶ Πίνδαρος.

9—11 cfr. laterculum Coislinianum (Usener Dion. de imit. p. 130)

---

1 ἠδὲ] καί σε E || Κείου V: κίου 2 Λεωπρεπέα h: ἀριπρεπέα 3 ἶσα δαεὶς h: ἰσάδα E ἰσαδαὴς PQ ἰσσαδαὴς V || ἐὼν h(P?): ἔην 4 μείλωνος Qv Μέδωνος Suid. unde Μείδωνος h || πατέρος δ' V 5 μέγα] μέτα E || ἀλλὰ Δάμαντος e Suida h: ἀλλ' ἀδάμαντος 6 ἁρμονίης] sequuntur in EP epigrammata a Mommseno sch. Germ. p. 2 recensita (Εἰς Πίνδαρον om. E) 7 sq. P non contuli; in D pleraque h. sch. exesa || cfr. Sitzungsber. d. bayer. Ak. 1870, II, 79 sqq. 7 ᾀσμ. εἰσὶν ἐννέα Qv 9 λυρικῶν FK: λυρ. ποιητῶν Q ποιητῶν b (ex G Vr¹?) || Ἀλκαμὰν K 11 τινὲς δὲ καὶ τὴν Κόρινναν add. b nescio unde (τινὲς δὲ καὶ . . . D τινὲς δὲ καὶ τὴν Κόρυννον Vat. 121, cod. Ang.; cfr. Tzetzes ad Lyc. p. 252 M.) 12 Περὶ λυρικῶν ποιητῶν. Λυρικοὶ ποιηταί εἰσιν ἐννέα v 13 sq. in Q^b: πινδάρου λυρικοῦ ὀλυμπιονῖκαι. ἐπειδὴ λυρικός (p. 11 v. 15 b) — περὶ τῶν ποδῶν (p. 13, 21 b); tum metrica Romana (p. 15, 18 b — οἰκείαν ἰάμβοις καὶ χοριάμβοις – ⏑⏑ – ⏑ – ⏓ p. 17, 18 b)

## Scholia in Olympionicarum carmen I.

CFQ Πινδάρου ἐπίνικοι Ὀλυμπιονίκαις.

CFQ Ἱέρωνι Συρακουσίῳ κέλητι.

AE Τῶν ἐν τοῖς ἐπινίκοις τοῖς ὑπὸ Πινδάρου γεγραμμένοις εἰς τοὺς Ὀλυμπιονίκας πρώτη ᾠδὴ ἐπῳδική ἐστι τριαδικὴ περικοπῶν δ'. καὶ ἔστιν ἡ πρώτη στροφὴ καὶ ἀντίστροφος κώλων ιζ', ἡ δὲ ἐπωδὸς κώλων ιγ'.

τῆς στροφῆς καὶ ἀντιστρόφου τὸ α' Γλυκώνειον. τὸ Γλυκώνειον μέτρον, τὸ καὶ ἀντισπαστικὸν, ἐστὶ τετρασύλλαβον, συγκείμενον ἐκ βραχείας καὶ δύο μακρῶν καὶ βραχείας, οἷον Ἀρίσταρχος· ὠνόμασται δὲ διὰ τὸ οἷον ἀντεσπασμένον καὶ οἱονεὶ ἐναντίος διίαμβος εἶναι. τὸ β' Φερεκράτειον. τὸ γ' ἰθυφαλλικὸν λελυμένου τοῦ α' τροχαίου. τὸ δ' ἀναπαιστικὸν δίμετρον καταληκτικὸν εἰς συλλαβήν. τὸ ε' Εὐριπίδειον, τροχαικὸν δίμετρον καταληκτικὸν, ὅμοιον τῷ (Phoen. 239)· νῦν δέ μοι πρὸ τειχέων. τὸ ϛ' Φερεκράτειον ὅμοιον τῷ β'. τὸ ζ' τροχαικὸν δίμετρον ὅμοιον τῷ ε'. τὸ η' Φερεκράτειον λεῖπον μιᾷ συλλαβῇ. τὸ θ' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον, ὅ ἐστιν Ἀλκμανικόν. τὸ ι' τροχαικὴ περίοδος ἀπὸ ἰάμβου. τὸ ια' τροχαικὸν δίμετρον ἀκατάληκτον πλεονάζον τοῦ Εὐριπιδείου συλλαβῇ. τὸ ιβ' χοριαμβικὸν δίμετρον καταληκτικόν. τὸ ιγ' πενθημιμερὲς κοινὴν λύσιν ἔχον ἰαμβικοῦ καὶ τροχαικοῦ. τὸ ιδ' τροχαικὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον ἑφθημιμερές. τὸ ιε' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἀπὸ δακτύλου τῆς ἰαμβικῆς ἀρξαμένης ἑπτασήμου. τὸ ιϛ' περίοδος ἀπὸ ἰάμβου· καὶ καλεῖται βακχεῖος ἀπὸ τροχαίου. τὸ ιζ' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον.

---

1 Π. Ὀλυμπιονίκαι Q ‖ ἐπινίκιοι F  2 κέλλητι FQ  3 ἐπινικίοις E  7 τὸ πρῶτον τῆς στρ. καὶ ἀ. E ‖ καὶ om. A  9 βραχ(είας) A: βραχέος E[lit]b ‖ βραχ(είας) A βραχέος Eb  9. 10 οἷον Ἀρίσταρχ. om. E  11 οἱονεὶ A: οἷον καὶ E ‖ ἐναντίον διΐαμβον b. Exspectes χορίαμβος  12 τροχαίου A: στίχου E  12. 13 ἀνα(α ex corr. E)παιστικὸν AE: ἀντισπαστικὸν b  14 τῷ A: τὸ E  15 ἐμοὶ b, om. δέ  18 τροχαικὸς E -ὸν b  23 ἀντισπατικὸν E  25. 26 ft. καὶ κατακλεὶς β. κατὰ τροχαῖον, cl. Studemundi Anecd. p. 62, 3 al.  26 δίμετρον E

τῆς δὲ ἐπῳδοῦ κώλων ιγ΄ τὸ α΄ τροχαϊκὸν δίμετρον ⟨ἀπὸ⟩ ἰάμβου ὁμοίως τῷ ι΄ τῆς στροφῆς. τὸ β΄ χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ γ΄ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον τροχαικὸν πενθημιμερές. τὸ δ΄ ἐκ διμέτρου βραχυκαταλήκτου. τὸ ε΄ ἐπιωνικὸν τρίμετρον καταληκτικὸν, ⟨ὃ⟩ καὶ Φαλαίκειον. τὸ ϛ΄ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν. τὸ ζ΄ ὅμοιον τῷ ἕκτῳ. τὸ η΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ θ΄ Ἱππωνάκτειον, ἰωνικὸν δίμετρον βραχυκατάληκτον. τὸ ι΄ ὅμοιον τῷ (Archil. fr. 94, 2), τίς σὰς παρήειρε φρένας; τὸ ια΄ ἰωνικὸν παροξύτονον ἀκατάληκτον. τὸ ιβ΄ προσοδιακὸν ἐξ ἀντισπάστου καὶ ἰωνικοῦ . . . τὸ ιγ΄ χοριαμβικὸν δίμετρον καταληκτικόν.

τὸ α΄ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον Γλυκώνειον. **PQ** τὸ β΄ τροχαικὸν δίμετρον βραχυκατάληκτον ἰθυφαλλικόν. τὸ γ΄ χοριαμβικὸν δίμετρον καταληκτικὸν περαιούμενον εἰς ἰαμβικὴν ἢ βακχείαν κατακλεῖδα κατὰ τὴν παράδοσιν. τὸ δ΄ ἀναπαιστικὸν δίμετρον καταληκτικὸν, τὸ λεγόμενον παροιμιακόν. τὸ ε΄ ὅμοιον τῷ δευτέρῳ. τὸ ϛ΄ ὅμοιον τῷ αὐτῷ. τὸ ζ΄ τροχαικὸν δίμετρον καταληκτικὸν, Εὐριπίδειον ἢ ληκύθιον. τὸ η΄ τροχαικὸν μονόμετρον ὑπερκατάληκτον. τὸ θ΄

---

1 ἐπῳδῆς: **b** ‖ δίμετρον] δίμετρον τροχαικὸν **A**$^{ac}$ 2 ἀπὸ add. **b** ‖ ἰάμβου ego: ἰαμβικοῦ **A** ἰαμβικὸν **E** ‖ ὅμοιον **A**$^{s}$? 3 καταληκτικόν scrib. vid. (post λάμπει dist. **A**) ‖ antispastos non agnosco, nisi in κλέος synizesin admittas 4 scrib. vid. τὸ δ΄ τροχ. πενθ. ἐκ διμ. ⟨ἰαμβικοῦ⟩ βραχυκ. 5 καταπτικὸν **E** 6 ὃ addidi 7 col. ζ΄ non est par ϛ΄ 8 ἰωνικῶς **E** 10 παροξύτονον inauditum; παρατετηρημένον **Q** 11 προσοδικὸν: ego ‖ lac. indicavi 13 sqq. cfr. Tzetzes de metr. Pind. Trichas de metris p. 52 sqq. (cum **P** fere consentit) 13 ὃ καὶ Γλυκώνειον ἀπὸ Γλύκωνος **P** (Tz.) 14 ὃ καὶ ἰθυφ. **P** 15 περαιούμενον — 16 παράδοσιν om. **P** 17 τὸ λεγ. **Q**: ὃ καὶ **P** ‖ ὅτι αἱ παροιμίαι ἐν τοιούτῳ μέτρῳ ἐγράφοντο add. **P** (Tz ); cfr. Hephaest. p. 27 W. 18 δευτέρῳ] πλὴν τὸν δάκτυλον καὶ ἐν τῇ δευτέρᾳ καὶ ἐν τῇ τρίτῃ χώρᾳ add. **P** (οὐκ ἐν δευτέρᾳ χώρᾳ, ἀλλ᾽ ἐν τῇ τρίτῃ Tz.) ‖ τῷ αὐτᾷ om. **P** 19 ὃ καὶ Εὐριπίδειον καὶ ληκύθιον ὡς ἐκ τοῦ ληκυθίου. τὸ γὰρ ληκύθιον ὅπερ καὶ σίφωνα λέγομεν, ἦχον ἀποτελεῖ ἐκ τοῦ ἀνθρωπίου πνεύματος· οἷον καὶ ὁ τροχαῖος πούς **P**. Cfr. sch. Heph. p. 156 W. (Anecd. Studem. p. 134). Aliter Tz.

*ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ι´ ἐπιωνικὸν ἀντισπαστικὸν δίμετρον καταληκτικὸν τοῦ ἰωνικοῦ ἀπὸ τροχαίου ἀρχομένου. τὸ ια´ τροχαικὸν δίμετρον ἀκατάληκτον. τὸ ιβ´ ὅμοιον τῷ τρίτῳ. τὸ ιγ´ προκελευσματικὸν δίμετρον καταληκτικόν· ἐν οἷς ὅρα καὶ τὸ θαυμάσιον. ὁ τοιόσδε ῥυθμὸς ταχυτῆτι ἁρμόττει· ὅθεν καὶ προκελευσματικός. βλέπε τοίνυν τὸν σοφώτατον Πίνδαρον πῶς ἥλω ἐν οἷς τὸν τοιοῦτον ῥυθμὸν εὔσημον διὰ τοῦ λόγου ἀποκαθίστησιν, ἐν τῇ ἐννοίᾳ ταχυτῆτα κατωρθωκὼς ἐν οἷς λέγει· ὅθεν ὁ πολύφατος, διὰ τὸ τῆς φήμης ταχύ· καί, νόον ὑπὸ γλυκυτάταις, διὰ τὸ τοῦ νοὸς ὀξυκίνητον· καί, ὁπότ᾽ ἐκάλεσε πατήρ, διὰ τὸ τῆς κλήσεως ταχύ· καί, ὕδατος ὅτι τε πυρί, διὰ τὸ τῶν στοιχείων εὐκίνητον, τοῦ μὲν ἀνωφεροῦς ὄντος, τοῦ δὲ κατωφεροῦς· καὶ πάλιν, μετὰ τὸ ταχύποτμον· καί, ἐμὲ δ᾽ ἐπὶ ταχυτάτων· καί, Πέλοπος ἵνα ταχυτής· καὶ ἐπὶ τούτοις τό, θεὸς ἐπίτροπος ἐών, διὰ τὴν καὶ ὑπὲρ ῥιπὴν ὀφθαλμοῦ ὀξυκινησίαν τοῦ θείου. τὸ ιδ´ ὅμοιον τῷ ζ´. τὸ ιε´ ἔκ τε ἀντισπάστου καὶ α´ παίωνος κατ᾽ ἀντιπάθειαν καὶ συλλαβῆς.*

*τὸ ιϛ´ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν κατ᾽ ἀντιπάθειαν. τὸ ιζ´ ἀντισπαστικόν, Φαλαίκειον συλλαβῆς δεούσης.*

Q *ἡ δὲ ἐπῳδὸς κώλων ιγ´. τὸ α´ παίων δεύτερος καὶ ἰαμβικὸν πενθημιμερές. τὸ β´ ἰαμβικὸν πενθημιμερές. τὸ γ´*

---

1 *ἐπιωνικὸν* **Q** Tz.: om. **P** 2 *τοῦ ἰων. ἀπὸ* om. **P**, add. (post 3 *ἀρχομένου*): *ὃ καὶ ἐπιωνικόν. ὅτε γὰρ τῷ ἀντισπάστῳ ἰωνικὰ μίγνυται, ἐπιωνικὸν τὸ μέτρον καλεῖται* (hoc item Tz.) 4 *ὅμοιον τῷ τρίτῳ* **Q**: *χοριαμβικὸν δίμετρον καταληκτικόν* **P** (Tz.) 5 *ἐν οἷς*—17 *θείου* **Q** (Tz.): *ἐχρήσατο δὲ προκελευσματικῷ διὰ τὸ ταχὺ τῆς φωνῆς* (*γρ. φήμης* P[mg]). *καὶ ἀλλαχοῦ γάρ· νόον ὑπὸ γλυκυτάταις, διὰ τὸ ταχὺ τοῦ νόου. καὶ ἀλλαχοῦ· ὁππότ᾽ ἐκάλεσε πατήρ, διὰ τὸ ταχὺ τῆς* (*φωνῆς* del.) *κλήσεως. τοιοῦτος γὰρ καὶ ὁ προκελευσματικός, ταχὺς* (*υσ* incertae) 5 *θαυμάσιόν τι* Tz. 11 *νόου* Tz. 15 *ἵνα καὶ πέλ.* Q[ac] 17 *ἔκ τε* **Q** (*ἐξ* Tz.): *καὶ* **P** 18 *α´—συλλαβῆς* **Q**: *παίωνος α´ δίμετρον ὑπερκατάληκτον* **P** (utrumque Tz.) 19 *κατ᾽ ἀντιπάθειαν* **Q**: *πλὴν ἡ μίξις αὐτοῦ ἀντιπαθής* **P** (Tz.) 20 *τὸ ιζ´ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον ὃ καὶ Φαλαίκειον ἀπὸ Φαλαίκου* **P** (utrumque Tz.) 21 *ἐπῳδὴ* **Q**. In hoc voc. des. metr. **P**

*ἀντισπαστικὸν ἑκατέρωθεν ἔχον τὰς ἰαμβικάς. ἐν δὲ τῷ εὐάνορος ἐκτείνει τὸ ρ̄. τὸ δέ γε κλέος, κοινὴ συλλαβή.* *τὸ δ´ ἰαμβικὸν πενθημιμερὲς καὶ ἐφεξῆς τρεῖς ἴαμβοι· ὡς εἶναι τρίμετρον μιᾶς δεούσης μέσον συλλαβῆς. τὸ ε´ παιωνικὸν τρίμετρον τοῦ μέσου ὄντος ἐπιτρίτου τρίτου, τοῦ δὲ τελευταίου βακχείου, ὅς εἰδός ἐστι τοῦ παιωνικοῦ. τὸ ϛ´ ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ταῖς ἰαμβικαῖς ἀναμεμιγμένον. τὸ ζ´ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκατάληκτον ἐπίμικτον πρὸς τὰς τροχαικάς. τὸ η´ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ θ´ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον βραχυκατάληκτον. τὸ ι´ ἰαμβικὸν δίμετρον Ἀνακρεόντειον. τὸ ια´ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον παρατετηρημένον· τὴν γὰρ πρώτην συζυγίαν ἀπὸ βραχείας ἀρχομένην ἐποίησεν. [ἤγουν παίωνα δεύτερον.] τὸ ιβ´ ἐπιωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου· τὴν δὲ κατακλεῖδα ἐκ τροχαίου καὶ τῆς ἀδιαφόρου. τὸ ιγ´ χοριαμβικὸν δίμετρον καταληκτικὸν εἰς ἰαμβικὴν κατακλεῖδα περαιούμενον, τουτέστιν εἰς ἀμφίβραχυν ἢ βακχεῖον διὰ τὸ ἀδιάφορον τῆς τελευταίας.*

## *Ὑπόθεσις τῶν Ὀλυμπιονίκων.* **A**

Inscr. a. *Γέγραπται μὲν ὁ ἐπινίκιος Ἱέρωνι τῷ Γέλωνος* **ADEFHKQ** *ἀδελφῷ νικήσαντι ἵππῳ κέλητι τὴν οϛ´ Ὀλυμπιάδα, ἢ ὡς ἔνιοι ἅρματι. ὁ δὲ αὐτὸς νικᾷ καὶ τὴν οζ´ Ὀλυμπιάδα*

---

13 Hephaest. p. 37 W. 14 sch. Hephaest. p. 193, 7 W.

---

2 *τὸ ρω̄ τὸ νο̄ ἐκτείνει* Tz.; *τοῦ δέ γε κλέος ὡς κοινὴ τὸ οϛ̄ ἐκλαμβανέσθω* id. (*ἐν* ante *εὐάνορος* non legit metricus) 4 *μέσον*] *ἐν τῷ μέσῳ* Tz. ‖ *παιωνικὸν δεύτερον* Tz. 12 *δίμετρον ἀκατάληκτον* Tz. 14 *ἤγουν — δεύτερον* seclusi (hab. Tz.) 16 (col. *ιγ´*) *τῷ τῆς στροφῆς γε τρίτῳ ὅμοιον* add. Tz. 21 *μὲν* **A**: om. **V** ‖ *ἐπίνικος* **H** ‖ *τῷ τοῦ Γ.* **FK** 22 *ἵππῳ* om. **DEHQ** ‖ *ἱπποκέλλητι* **FK** ‖ *οϛ´* scribendum esse evicit pap. Oxyrh. CCXXII, 1, 19: *ογ´* codd. ‖ *οϛ´ Ὀλυμπιάδα, ἢ ὡς ἔνιοι* ⟨*τὴν οζ´, τὴν δὲ οη´*⟩ *ἅρματι* Bergk[4] p. 4 23 *καὶ τὴν οζ´ νικᾷ* om. *Ὀλυμπιάδα* **DEHQ** ‖ *καὶ τὴν* om. **A**

κέλητι, τῇ δὲ οη΄ Ὀλυμπιάδι τεθρίππῳ, ἐν ᾗ Ὀλυμπιάδι ἐτελεύτα. τὸ δὲ ὄνομα τοῦ νικῶντος ἵππου Φερένικός ἐστι· μέμνηται δὲ αὐτοῦ Βακχυλίδης γράφων οὕτως (V, 37)· ξανθότριχα μὲν Φερένικον Ἀλφεὸν παρ' εὐρυδίναν πῶλον ἀελλοδρόμαν εἶδε νικάσαντα. ἦν δὲ Ἱέρων Δεινομένους παῖς· Δεινομένους δὲ παῖδες τέσσαρες· Γέλων Ἱέρων Πολύζηλος Θρασύβουλος· τὸ γένος τύραννος Συρακουσίων τῶν ἐπὶ Σικελίᾳ· υἱὸν δὲ ἔσχε Δεινομένη. νικήσας δὲ τὰ Ὀλύμπια ἀνεκήρυξεν ἑαυτὸν Συρακούσιον καὶ Αἰτναῖον, κτίσας τὴν παρακειμένην [πόλιν τῇ Σικελίᾳ] πόλιν Αἴτνην ὁμώνυμον τῷ ὄρει. 1[d] Q[a]

DEHQ b. ἄλλως. γέγραπται ὁ ἐπινίκιος Ἱέρωνι τῷ Γέλωνος ἀδελφῷ νικήσαντι ἵππῳ κέλητι τὴν οϛ΄ Ὀλυμπιάδα, ἢ ὥς ἔνιοι ἅρματι. συνέβη δὲ αὐτὸν νικήσαντα καὶ τὴν οη΄ Ὀλυμπιάδα ἐν ταύτῃ τελευτῆσαι. τὸ δὲ ὄνομα τοῦ νικῶντος ἵππου Φερένικός ἐστιν. μέμνηται δὲ αὐτοῦ Βακχυλίδης γράφων οὕτως· ξανθότριχα μὲν Φερένικον Ἀλφεὸν παρ' εὐρυδίναν πῶλον ἀελλοδρόμον νικήσαντα. 1[d] D

CDEHQ 1 a. ἄριστον μὲν ὕδωρ: τρία ἐν ἀνθρώποις ὁ Πίνδαρος ἄριστα εἶναι λέγει· ἄριστον μὲν ὕδωρ εἰς τὸ ζῆν, οὗ

---

1 τῇ AFK: τὴν ‖ δὲ om. E ‖ οη΄ Ὀλυμπιάδι A: οη΄ V 1. 2 ἐν — ἐτελεύτα om. [D]EHQ 2 ἐστι A: om. 3 μέμνηται — 5 νικήσαντα hic om. V, cfr. b, 16—18 4 εὐδίναν A 5 ἴδε νικήσαντα A ‖ ὁ Ἱέρων FK 6 δὲ] γὰρ FK ‖ Πολύζηλος AFK: Πολύβουλος 7 καὶ Θρ. [D]EFQv ‖ τὸ δὲ γένος FK 8 ἔσχε δὲ υἱὸν Δεινομένην V 9 Αἰτναῖον καὶ Συρακ. FK ‖ κτίσας] κτίζει δὲ E 9 τὴν — 10 Αἴτνην] πόλιν Αἴτνην παρακειμένην τῇ Σικελίᾳ D 10 παρακειμένην ⟨τῷ ὄρει⟩ hb (ex recc.?) ‖ πόλιν — Σικελίᾳ seclusi ‖ τῇ] ἐν τῇ hb (item?) ‖ πόλιν om. AFKr ‖ αἴτνη K. — De ordine scholiorum ad inscr. et vs. 1 vid. praef. 12 post ἄλλως inser. ἄριστον μὲν ὕδωρ EHO (i. e. Leid. Q 4) ‖ ἐπιγέγραπται v ‖ ἐπίνικος H 13 νικήσαντι — 14 αὐτὸν om. D ‖ οϛ΄] ογ΄ codd., cfr. ad p. 15, 22 ‖ ἢ ὡς] ὡς δὲ E 14 καὶ τὴν om. E (recc.) τὴν om. Q 15 τὸ — 16 ἐστιν om. D 16 ἐστιν om. E (recc.) ‖ αὐτοῦ] αὐτοῦ καὶ E (recc.) 17 οὕτως om. E ‖ Ἀλφεὸν om. E 18 ἀεροδρόμον Ev ‖ νικήσαντα om. E 19 l. om. CEHO ἄλλως praem. D ‖ ἐν] δ(ὲ) ἐν EHO ‖ ὁ om. Beck, hb 20 ἄριστα εἶναι λέγει] φησὶν εἶναι E ‖ ἄριστον μὲν ὕδωρ] τὸ ὕδωρ ἄριστον μὲν E τὸ ὕδωρ μὲν Kv

*ἄνευ βιοτεύειν ἀδύνατον· εἶτα χρυσὸν ἐν πλούτῳ τῶν ἄλλων χρημάτων ἐκπρέποντα καθάπερ ἐν νυκτὶ πῦρ· πρὸς δὲ δόξαν τὴν Ὀλυμπίασι νίκην.* 1[d] AC

1 b. *ὁ [δὲ] νοῦς τοῦ προοιμίου ὅλου τοιοῦτος· ὥσπερ τὸ* ACDÊHQ *μὲν ὕδωρ τῶν ἄλλων στοιχείων χρησιμώτερον, ὁ δὲ χρυσὸς τῆς λοιπῆς ὕλης προτιμότερος, οὕτως καὶ ὁ Ὀλυμπιακὸς ἀγὼν προτιμότερος τῶν ἄλλων. καὶ δευτέραν ἀπόδειξιν συγκριτικὴν ποιεῖται, τῶν τοῦ πλούτου χρημάτων ἀξιολογώτερον καὶ τιμιώτερον ἀποδεικνὺς τὸν χρυσόν. εἰ δὲ μὴ ἐβράδυνεν, ἠρκέσθη ἂν εἰς τὸν περὶ τῶν στοιχείων λόγον, καίτοι κεφαλαιωδέστερον ὄντα. ἀλλὰ πολύς ἐστιν ἐγκωμιάζων τὸν πλοῦτον, καί φαμεν ἡττᾶσθαι αὐτὸν τῆς ἑαυτοῦ φύσεως φιλοχρημάτου τυγχανούσης.*

1 c. *ὁ δὲ νοῦς· ὁ δὲ χρυσὸς ἐν ἅπασι τοῖς κτήμασι* ACDEQ *τοῦ δυνατοῦ πλούτου οὕτω διαλάμπει ὡς ἐν νυκτὶ πῦρ καιόμενον.* 1[e] AC 1[g] D 4 E

1 d. *ἄριστον μὲν ὕδωρ: ἀρχὴ γὰρ τῶν ὅλων κατὰ* A(C)DHQ[bis] *Θαλῆν τὸ ὕδωρ. τὸ δὲ ἑξῆς τοῦ λόγου· ὁ δὲ χρυσὸς διαπρέπει μεγάνορος ἔξοχα πλούτου, ἅτε αἰθόμενον πῦρ ἐν νυκτί. διάδηλός ἐστιν ὁ ἐν πλούτῳ χρυσός.* 1[b] AC 1[a] D inscr.[b] Q[a] 1[f] HQ[b]

1 e. *ἄλλως. οὐδὲν ἕτερόν τι αὐτῷ τὸ προοίμιον βούλεται* AC[D]EHQ *ἢ τεσσάρων ὄντων τῶν ἱερῶν ἀγώνων συγκριτικῶς ἐπιδοξότερον τὸν Ὀλυμπιακὸν ἀποφῆναι. οἰκειότατα δὲ καὶ τὴν εἰκόνα τῆς συγκρίσεως παρείληφε. τεσσάρων ὄντων ὡς ἔφην τῶν ἱερῶν ἀγώνων, καὶ αὐτὰ τὰ κοσμικὰ στοιχεῖα ἰσάριθμα*

---

1 *βιοῦν* v ‖ *οὐ δυνατόν* DEQ *οὐ δύναταί τις* HQ ‖ *εἶτα*] om. DQ *τὸν* E 2 *ἐμπρ.* CEKQv ‖ *ἐν τῇ ν. τὸ π.* Cv 3 *Ὀλυμπίαν* [D]EHOQ 4 *δὲ* om. EQ; seclusi ‖ *ὅλος* Q 6 *τῆς λοιπῆς ὕλης*] *τοῖς λοιποῖς ἅπασι* E 7 *ἄλλων*] *ἄλλων ἀγώνων* E 8 *ποιεῖται*] *τίθησιν ἐκ* E 9 *ἐπλάτυνεν*? Beck 10 *ἂν* AC: om. ‖ *καίτοι* om. EH 11 *ὄντα* om. E 12 *καὶ* AC: om. 14 *κτήμασι* DEQ: *χρήμασι* AC 17 ante *ἄριστον* trp. *τὸ δὲ ἑξῆς τοῦ λόγου* AC ‖ l. et *γὰρ* om. Q 18 post *λόγου* add. *ἄριστον μὲν ὕδωρ* Q 19. 20 *ἐν νυκτί. διάδηλός ἐστιν ὁ* A: *διάδηλόν ἐστι νυκτὶ, οὕτως* DHQ (in C pleraque h. sch. omissa) 21 *ἄλλως* A om. C: *ἄριστον μὲν ὕδωρ* [D]EH 24 *τεσσάρων*] *τ. γὰρ* Cv 25 *αὐτὰ* [D]Qv: *αὐτὸς*

ὄντα τοῖς ἀγῶσι παραλαμβάνει, εἶτα τούτων τῶν στοιχείων
χρειωδέστερον τὸ ὕδωρ ἀποδείκνυσι, τῇ τῶν φιλοσόφων ἑπό-
μενος γνώμῃ, οἳ φυσικώτερον κινηθέντες ἐκ τοῦ ὕδατος
ἔφασαν καὶ τὰ ἄλλα τρία στοιχεῖα συνίστασθαι. λέγουσι μὲν
γὰρ αὐτοῦ τὸ λεπτομερὲς ἀέρα γίνεσθαι, τὸ δὲ παχύτερον
εἰς ἑαυτὸ συνιστάμενον γῆν· ἀποτελεῖν δὲ ἀπολεπτυνόμενον
**ACDEHQ** τὸν δι|άπυρον αἰθέρα πῦρ. διὰ τοῦτο ἄριστον εἶπε τὸ ὕδωρ,
ἐπεὶ δοκεῖ τῆς τῶν ἄλλων γενέσεως αἴτιον εἶναι. τὸ γὰρ
αἴτιον τῶν δι' ἑαυτοῦ γινομένων, τοῦτο προὔχον τῶν ἄλλων.
ἔνιοι δὲ καὶ τοῦτο προστιθέασι λέγοντες, ὅτι καὶ πρὸς τὰ
λογικὰ καὶ ἄλογα ζῷα ἀναγκαιότερόν ἐστι τὸ ὕδωρ, μάλιστα
πρὸς θάλπος, καὶ ὅτι τὰ φυτὰ ἐκ τοῦ ὕδατος τρέφεται,
ἡμεῖς δὲ ἐκ τῶν σπερμάτων ζῶμεν, τὰ δὲ σπέρματα οὐκ
ἄλλως δύναται ζῳογονηθῆναι εἰ μὴ ἀπὸ ὕδατος. εἰκότως
**ACEHQ** τοίνυν | τὸ ὕδωρ μεῖζον τῶν ἄλλων στοιχείων. τινὲς δὲ
καὶ τὸ Ὁμηρικὸν παραλαμβάνουσιν (Ξ 201)· Ὠκεανόν τε
θεῶν γένεσιν καὶ μητέρα Τηθύν. εἰ δὲ ὁ Ὠκεανὸς ποτα-
μὸς καὶ ἡ Τηθὺς πηγή, ἡ δὲ τῶν θεῶν γένεσις ἐκ τοῦ
**A(CD)EHQ** Ὠκεανοῦ γεννᾶται, εἰκότως καὶ τὸ ὕδωρ | τῶν ἄλλων στοι-
χείων προτιμότερον. ἀπεδείξαμεν οὖν διὰ πολλῶν τῶν
τεσσάρων στοιχείων προτιμότερον τὸ ὕδωρ· πρὸς ταύτην

---

10 Aristot. met. 1, 3. Doxogr. graec. p. 91. 170

---

1 *περιλαμβ.* **E** 2 *χρειωδέστερον* **AC**: *χρ. καὶ διαπρεπέστατον* (-*ερον* **E**) ‖ *τὸ ὕδωρ* om. **E** ‖ *ἀποδείκνυσι* **AC**: *παραλαμβάνει* ‖ *σοφῶν* **E** 3 *φυσικώτερον* **A[D]Q**: -*τέρως* **C** -*τατα* **E** -*τάτῳ* **G** ‖ *κινήματι* **[D]GQ** *κινηθέντος* Beck. Sed cfr. sch. Ω 735 *ἐντεῦθεν κινηθέντες* 4 *τρία*] *τὰ* **E** ‖ *μὲν* **A**: om. 4 sq. *τὸ μὲν γὰρ λ. αὐτοῦ ἀέρα λέγουσι γίν.* **v** 6 *γῆν* om. **E** 7 *τὸν δ. αἰθ.* om. **C** ‖ *πῦρ*] *ἤτοι τὸ πῦρ* sch. Thom. p. 52, 5 Ab. Ft. *πῦρ* delend. 8 *γνώσεως* **E** 9 *ἑαυτοῦ*] *αὐτὸ* **AC** ‖ *τοῦτο* om. **Cv** ‖ *τῶν ἄλλων*] *ἐστιν* **C** 11 *ἀναγκαιότερον*] *ἀναλογώτερον* **Q** ‖ *ἐστι* **AC**: *εἶναι* 11. 12 *μάλιστα πρὸς θάλπος* om. **C** ‖ *ὅτι*] *γὰρ* **C** 13 *ἐκ τῶν*] *ἄνευ* **C** ‖ *οὐ* (suprascr.) *ζῶμεν* **C** 14 *ἀπὸ*] *ὑπὸ* **ACQ** *ὑπὸ τοῦ* **v** 15 *τοίνυν* **A**: *οὖν ἐστι* **C**? *οὖν ποιεῖ* **C?K** om. **DEHQ** ‖ *τινὲς* **EHQ**: *πρὸς* **ACK** 18 *καὶ ἡ μήτηρ Τ. ἤγουν ἡ πηγὴ* **v** 19 *γεννᾶται*] *ἐστιν* **C** *γίνεται* **K** ‖ *καὶ* om. **CE** 20 *ἀπεδείξαμεν*—21 *προτιμότερον* om. **D** 20 *ἀπεδ.*—p. 19, 1 *ἐπιτιμότερον* om. **C**

τὴν ἀπόδειξιν τὸν Ὀλυμπιακὸν ἀγῶνα ἐπιτιμότερον ἀποδείκνυσιν. 5 C; IX lyr. (p. 11, 7) D; 5, dein 18 E; inscr.ᵃ HQ

1 f. ἄλλως· σύγκρισις τῶν ἀγώνων πρὸς τὰ στοιχεῖα HQ γράφεται ἐξ αὐτοῦ τοῦ προοιμίου. καὶ γὰρ ὃν τρόπον ἐκεῖνα αἴτια τοῦ ζῆν τοῖς ἀνθρώποις εἰσὶ, τὸν αὐτὸν καὶ τοῦ καλῶς ζῆν τοὺς ἀγῶνάς φησιν. ἐπεὶ δὲ πρώτιστον καὶ τῶν ἄλλων στοιχείων ἄμεινον τὸ ὕδωρ ἐστὶ, παραβάλλει αὐτὸ τῇ τῶν Ὀλυμπίων νίκῃ, ὡς καὶ αὐτῇ προὐχούσῃ τῶν ἄλλων τεσσάρων.

1 g. ἄλλως· ἄριστον μὲν ὕδωρ· ὁ δὲ χρυσὸς διαπρέπει DHQ τοῦ μεγάλως δυναμένου πλούτου, ἅτε τὸ αἰθόμενον πῦρ ἐν νυκτὶ, ἤγουν ὁ πυρσός. ἀπὸ κοινοῦ τὸ διαπρέπει.

1 h. τέσσαρες ἔπαινοι τοῦ ὕδατος· λευκὸν, λεπτὸν, A^gl E ψυχρὸν καὶ γλυκύ. διαφοραὶ δὲ τοῦ ὕδατος πέντε· ὄμβριον, πηγαῖον, ποτάμιον, φρεάτιον καὶ λιμναῖον· ὥσπερ καὶ ἐπὶ τοῦ οἴνου· ὁ ἐρυθρὸς, ὁ μέλας καὶ γλυκὺς, ὁ αὐστηρὸς, ὁ κιρρὸς, ὁ λεπτὸς καὶ [ὁ] λευκός.

1 i. τὸ ὕδωρ παχυνόμενον ποιεῖ τὴν γῆν· λεπτυνόμενον, A^gl E τὸν ἀέρα· πάνυ δὲ λεπτυνόμενον, τὸ πῦρ· καὶ κατὰ τοῦτο ἄριστον. 10ᵉ E

4 a. μεγάνορος ἔξοχα: μεγάνορα εἶπε τὸν πλοῦτον, ACDEHQ ὡς μὲν ἔνιοι διὰ τὸ παρασκευάζειν τοὺς κεκτημένους αὐτὸν αὐχητικοὺς καὶ ὑπερόπτας. b. ἢ ὅτι αὐτός ἐστι μεγαλήνωρ, διὰ τὸ πολλὰ δύνασθαι κατεργάσασθαι. νεῦρα γὰρ πολέμου χρυσός. 9 E 13ᵇ C

---

13 sch. Aesch. Prom. 144  16 Ath. I, 26 c

---

1 τὸν] καὶ τὸν V ‖ ἐπιτιμότερον A: προτιμότερον καὶ κεφαλαιωδέστερον V ‖ post ἀποδεικν. frustula sch. 5 inser. E 4 γράφεται om. V 6 τοὺς ἀγῶνας H: τοὺς μὲν οὖν αἰτίους Qr τούτους αἰτίους Beck ‖ ἐπεὶ δὲ HQ: ἐπειδὴ r ἐπειδὴ μὲν οὖν Beck 10 ἄριστον μὲν ὕδωρ om. V ὕδωρ om. D 13 λεπτόν λευκόν E 16 τοῦ om. E 17 ὁ seclusi 18 τὸ E: τὸ γὰρ A 21 l.] καὶ E μεγάνορος DHQ 22 κατασκευάζειν [D]HQV 23 ἢ] καὶ QV ‖ ἐστι] γίνεται V ‖ μεγαλήτωρ E^cp 24 κατεργάζεσθαι V om. E ‖ καὶ νεῦρα γὰρ E 25 ὁ χρυσός V

DHQ c. ἄλλως· *μεγάνορος*: ἤτοι τοῦ αὐξάνοντος τὰς τύχας
HQ τῶν ἀνθρώπων καὶ ποιοῦντος μείζονα φρονεῖν | τῶν καθηκόντων· ἢ ὅτι αὐτὸς μεγάνωρ ἐστὶ, διὰ τὸ πολλὰ δύνασθαι κατεργάσασθαι.

ACDEHQ 5 a. *εἰ δ' ἄεθλα γαρύειν*: ἆθλα νῦν εἴρηκε τὰ ἀγωνίσματα. b. ἢ καὶ τὰ ἔπαθλα· Ὅμηρος (Ψ 273)·

ἱππῆας τάδ' ἄεθλα δεδεγμένα κεῖτ' ἐν ἀγῶνι.

ACDEHQ 5 c. ἄλλως· *ἄεθλα* ἀγωνίσματα, περιφραστικῶς τοὺς ἀγῶνας. d. πρὸς ἑαυτὸν δὲ ἐκφέρων εἶπεν· ὦ φίλον ἦτορ, εἰ δὲ καταλέγειν ἆθλα βούλει, νόμιζε ὡς ἐν ἄστροις ἥλιον φαεινότερον, οὕτως ἐν ἄθλοις τὸν Ὀλυμπιακὸν ἀγῶνα πρωτεύειν.

DHQ e. *γαρύεν*: φωνεῖν. καταλέγειν. διακρίνειν. ὑμνεῖν. Δωρικῶς δὲ τὸ γαρύεν, τοῦ ῑ ἐκλείψαντος.

ACDEQ f. τὸ δὲ *γαρύεν* γαρύειν λέγει, καὶ ἔστιν ἀποβολὴ τοῦ ῑ, ὅπερ ἔθος Δωριέων. ἡ δὲ γῆρυς ὅτι ἐπὶ τῆς φωνῆς εἴρηται, εὑρήσομεν καὶ παρ' Ὁμήρῳ (Δ 437)·

οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ' ἴα γῆρυς.

g. ἔθος δέ ἐστι Πινδάρῳ, μὴ οἷς προοιμιάζεται συγκριτικοῖς, τούτοις τὰ συγκρινόμενα εὐθέως ἐπάγειν, ἀλλὰ μεταξύ τινα εἰκόνα ἀποδεικτικὴν τῆς βελτιότητος παρεντιθέναι καὶ οὕτω

---

sch. 4 d. Suid., Phot., lex. Bachm. 296, 5: *μεγάνορος πλούτου*: *Πίνδαρος· ἰσχυροῦ, δυνατοῦ, ἀνδρίαν ἐμποιοῦντος· ἐπεὶ μεγάλα δύναται ὁ χρυσός. νεῦρα γὰρ λέγεται πολέμου εἶναι, ὥς φησι Πίνδαρος.* (Cfr. Suid. *νεῦρα μάχης: ὁ πλοῦτος.*) 5 et 8 Hes. *ἄεθλα.* Ap. Soph. p. 11, 9. Suid. *ἆθλον.* lex. Bachm. 37, 5. 6 15 Ap. soph. p. 54, 29. Hes. *γῆρυς*

---

4 *κατεργάζεσθαι* H 5 l.] om. CDE *εἰ δ' ἄεθλα* H? Q ‖ *ἆθλα* AC: *ἄεθλα* E om. DHQ · 6 *ἢ* A: om. C *ἔλεγον δὲ οὕτω* DEHQ 7 *ἱππῆος τά γ' ἄεθλα δεδειγμένα κεῖται ἐν ἀγ.* E 8 *ἄλλως*] *ἢ* Cv ‖ *τὰ ἀγων.* CHv 9 *δὲ* om. C 11 *φαεννότερον* A ‖ *ἄθλοις*] *ἄλλοις* E *ἀγῶσι* H 14 *τὸ δὲ γαρύεν* AC: om. DE *ἄλλως· γαρύεν* Q *ἄλλως* v ‖ *γαρύειν*] *γαρύεν* D *-ύειν* in ras. E[2] ‖ *λέγει καὶ ἔστιν*] *γάρ ἐστι* D 14 *ἀποβολὴ* — 15 *Δωριέων* om. D *ἀποβολῇ* codd. omnes ut vid. 15 *ὅτι*] *ὅτι καὶ* E 16 *εὑρίσκομεν* DEv ‖ *παρ' Ὁμήρῳ* AC: *Ὅμηρος* 18 *δὲ* om. E ‖ *οἷς* om. E ‖ *συγκριτικοῦ* E 19 *τούτοις*] *τόπον* E ‖ *συγκρινούμενα* [D]Q 20 *τῆς* om. E ‖ *βελτιώσεως* DEQv ‖ *παρεντιθέναι* A[s]: *παρεντίθεται* A[1]DEQv *παρεντίθεσθαι* C ‖ *καὶ* om. DQ 22 *Πίνδαρος* om. Phot. lex. Bachm. 24 *ὥς φ. Π.* om. Phot. lex. Bachm.

τὴν σύγκρισιν ἐπιφέρειν. ποιεῖ δὲ τοῦτο θερμός τις ὢν καὶ πολύνους περὶ τὰ νοήματα. 16$^{b}$ E

8. θαλπνότερον: θερμότερον, φανερώτερον, | φαεινότερον· τῇ γὰρ θέρμῃ καίει τὸν ἀέρα καὶ φωτίζειν ποιεῖ. 13 A ADHQ DHQ

9 a. ἐν ἁμέρᾳ φαεννὸν ἄστρον: εὖ καὶ ἐκ τοῦ καιροῦ τὸ ἄγαν λαμπρὸν τοῦ ἡλίου βούλεται δεῖξαι ὡς πρὸς τὰ ἄλλα ἄστρα, ἅτινα κατ' αὐτὸν τὸν καιρὸν ἐξασθενεῖ φαίνεσθαι· διὸ καὶ ἁρμοδίως ἄστρον ἐπήγαγεν. b. ἔρημον εἶπε τὸν αἰθέρα διὰ τὸ ἄγαν πυρῶδες καὶ τὸ μὴ πλησιάζειν αὐτῷ ζῷον ἐν τῷ ἀσφαλεῖ ἢ ὅτι τὸ ἐρι μόριον λέγουσιν ἀντὶ τοῦ μεγάλου, ὡς καὶ Ὅμηρος (K 305)· ἐριαύχενας ἵππους. ACDEHQ

c. τὸ δὲ σαφὲς οὕτως ἔχει· εἰ δέ, ὦ προσφιλεστάτη ψυχή, ἀγῶνας φωνεῖν καὶ διακρίνειν θέλεις, μηκέτι τοῦ ἡλίου σκόπει ἕτερον ἄστρον μήτε θερμότερον μήτε λαμπρότερον διὰ τῆς ἐρήμου αἰθέρος φερόμενον ἐν ἡμέρᾳ, μηδὲ τοῦ Ὀλυμπιακοῦ ἀγῶνος ἕτερον βελτίονα. 14 AE 4 C

9 d. ἄστρον: κακῶς εἶπεν ἄστρον· ἔδει γὰρ εἰπεῖν ἀστέρα. τὰ γὰρ ἐκ πολλῶν συγκείμενα ἀστέρων ζῴδια λέγονται ἄστρα, ὁ δὲ ἥλιος ἀστήρ. e. τὸ δὲ ὅλον εἰπεῖν· ὥσπερ ἐν ἄστροις ἥλιον εἴποις θαλπνότερον, οὕτως ἐν ἀγῶσι προκρίναις Ὀλυμπίαν. DHQ

---

sch. 8b. Suid. θαλπνότερον: λαμπρότερον. θερμότερον. Πίνδαρος· μηκέθ' ἁλίου — αἰθέρος. 17 EG 86, 39. sch. Eur. Phoen. 1. sch. A E 5. Suid. ἄστρον

---

1 ἐπιφέρει D?Qv 2 περὶ] ἐπὶ [D]Q$^{corr}$v 4 καίει HQ: καὶ D καίειν v || αἰθέρα Q 5 l. om. CE || ἡμερᾳ [D]Q || φαεννὸν ἄστρον om. [D]HQv || εὖ καὶ AC: καὶ [D]Qv om. EH 6 βούλεται δεῖξαι AC: δείκνυσιν || ὡς] καὶ v 6. 7 τὰ ἄλλα ἄστρα AC: σύγκρισιν τῶν ἄλλων ἄστρων 7 κατ' αὐτὸν AC: κατὰ τοῦτον. Locus corruptus vid. 8 ἄστρα DQv || ἔρημον δὲ εἶπε ACH 9 τὸ (alt.) om. EQv 10 ἢ ὅτι om. [D]EHQv 11 μεγάλου AH$^{cp}$K: μεγάλως DQv μέγα CE$^{cp}$ || καὶ om. Qv || Ὅμηρος om. E 13 ἀγῶνα E || θέλεις] μέλλεις καὶ διακηρύσσειν v 15 τῆς] τοῦ E || φερόμενον] φαῖνον E || μηδὲ] μήτε δὲ A 17 l. om. H 18 ἀστέρα HQ: ἄστρα Dr || ἀστέρων Et. Gud.: ἄστρων 18.19 ἄστρα λέγονται v ἄστρα λέγεται Beck 20 εἴποις HQ: εἶπου D εἴπῃς v || ἀγῶσι DQ: ἄθλοις H || προκρίνεις [D]Q 21 Ὀλυμπίας [D]Q$^{ac}$?

[D]HQ 10 a. *αἰθέρος ἐρήμας*: ἡ μὲν θάλασσα ἔχει τοὺς ἰχθῦς, ἡ δὲ γῆ τὰ τετράποδα καὶ τὰ ἑρπετά, ὁ δὲ ἀὴρ τὰ πτηνά· ὁ μέντοι αἰθὴρ πυρώδης ὢν οὐκ ἔχει. b. ἢ ἐρήμης, τῆς μὴ ἐχούσης νέφος· οὐ γὰρ συνίσταται εἰς θερμασίαν. c. ἢ διὰ τὸ μὴ φαίνεσθαι οἰκούμενον. d. ἢ ὡς πρὸς ἡμᾶς ἐρήμης, διὰ τὸ ἡσύχιον καὶ ἤρεμον. 14ᵃ

A^gl E 10 e. διαφέρει ὁ αἰθὴρ καὶ ἡ αἰθήρ, διότι ἡ αἰθὴρ λέγεται τοῦτο τὸ στερέωμα, ὁ αἰθὴρ δὲ ἀρσενικῶς ἡ ἔναστρος σφαῖρα, ὁ πόλος ἐκεῖνος. inscr. E

[D]HQ 13 a. *ὅθεν*: ἀπὸ τῆς Ὀλυμπίας.

AC 13 b. *πολύφατος*: ὁ ὑπὸ πολλῶν φημιζόμενος. c. τουτέστι
C πολυθρύλλητος, ὑπὸ πολλῶν λεγόμενος. d. ἢ ἐν ᾧ πολλοὶ φημίζονται καὶ κλεΐζονται. 15 A

[D]HQ 13 e. *πολύφατος*: πολύφημος. f. ὁ ὑπὸ πολλῶν φημιζόμενος καὶ λεγόμενος. πολυθρύλλητος. 16

[D]HQ 14 a. ὁ ὕμνος ἐκ τῆς Ὀλυμπίας περιβάλλεται ταῖς τῶν σοφῶν μητίεσσι καὶ ὑπὸ πάντων τούτων κατασκευάζεται. b. ἀμφιβάλλεται δέ, ἤτοι κοσμεῖται, ἢ περιγράφεται καὶ περιλαμβάνεται· ὥσπερ καὶ Ὅμηρος (Ψ 255)· τορνώσαντο δὲ σῆμα.

A[D]EHQ 14 c. *ὕμνος ἀμφιβάλλεται*: οἱονεὶ περιγράφεται. περι-
AC[D]EHQ βάλλεται. | d. ἔνιοι δὲ κοσμεῖται ὁ ὕμνος. e. ἡ μεταφορὰ ἀπὸ τῶν στεφάνων. 16 A 19 C 5 E 13ᵃ [D] HQ

A 15. *κελαδεῖν*: ὑμνεῖν. 17

---

sch. 10 f. Suid. *αἰθὴρ* θηλυκῶς· Ὅμηρος (Π 365)· αἰθέρος ἐκ δίης. καὶ Πίνδαρος· ἐρήμας δι᾽ αἰθέρος· διότι πυρώδης ὢν οὐ τρέφει. 18 sch. A Ψ 255

---

1 ἐρήμας δι᾽ αἰθέρος v 6 ἐρήμας Q ‖ ἤρεμον Oxon. (cfr. EM 373, 13): ἔρημον 9 ἐκεῖ(νος?) A^cp 12 ὑπὸ — λεγόμενος om. C 14 πολύφατος δὲ Q π. δὲ ὁ v 15 καὶ λεγόμενος v: λεγόμενος HQ om. [D] 16 l. ὅθεν ὁ πολύφατος praem., ὁ ὕμνος om v ‖ ὁ om. H ‖ τῆς Ὀλυμπίας h: τοῦ Ὀλύμπου 19. 20 τορνώσαντο δὲ codd. Hom.: τορνόσω τόδε 21 l. A: om. E ἄλλως [D]HQv ‖ οἱονεὶ περιγράφεται Boeckh expll. p. 689: οἷον εἰπεῖν γράφεται (τράφεται A) 22 ἔνιοι δὲ κοσμεῖται] ἔνιοι τὸ ἀμφιβάλλεται ἀντὶ τοῦ κοσμεῖ C ‖ κοσμεῖται AE: προσβάλλεται κοσμεῖται [D]Q προβάλλεται κοσμ. Hv ‖ ἡ] ἡ δὲ CE

16. *Κρόνου παῖδ' ἐς ἀφνεάν*: a. ἰστέον ὅτι τὸ AC[D]HQ
ἱπποτροφεῖν πλουσίων. b. [τὸ δὲ ἱκομένους] ἀντὶ τοῦ AC[D]EHQ
παραγενόμενοι· τῇ γὰρ αἰτιατικῇ ἀντὶ τῆς ὀρθῆς χρῆται.
[ὅπερ οὐκ οἶμαι λόγον ἔχειν.] c. ἔστι μὲν τὴν ἑστίαν
δέξασθαι Κρόνου, καθότι πρόκειται· βέλτιον δὲ οὕτως δέ-
ξασθαι· εἰς τὴν τοῦ Ἱέρωνος ἐλθόντας ἑστίαν τὸν τοῦ Κρό-
νου παῖδα Δία ὑμνεῖν. πιθανώτερον γὰρ τῆς νίκης Ὀλυμ-
πιακῆς οὔσης τὸν Ὀλύμπιον Δία παρὰ τῷ Ὀλυμπιονίκῃ
ὑμνεῖσθαι. 19 A E 29 C
d. οἱονεὶ τοῦτο κατασκευάζει, ὅτι τοῦ ὑμνεῖσθαι τὸν E[mg]
Δία οὐδείς ἐστιν ἕτερος ⟨αἴτιος⟩ ἢ ὁ Ἱέρων.
17. *μάκαιραν*: εὐδαίμονα. πλουσίαν. A
18 a. *θεμίστειον*: Ἡρωδιανὸς (I 137, 5) προπαροξύνει, ACDHQ
ἀναλογώτερον γάρ· ἀλλ' ἡ χρῆσις προπερισπᾷ. 9 A 20[r] C
b. ἄλλως· *θεμιστεῖον* τὸ δίκαιον, παρὰ τὸ θέμις. c. *ἀμφ-* DEHQ
*έπει*: περιέπει. οἱονεὶ θεραπεύει. 20 E
19 a. *σκᾶπτον* τὸ σκῆπτρον. ἔκθλιψις, ἧς ἐν αἰτίᾳ D
παρέμπτωσις.
19 b. *σκᾶπτον ἐν πολυμάλῳ*: κατὰ Δωριέας τὸ σκῆπ- AC
τρον, ἀποβολῇ τοῦ ῥ γενόμενον. | φησὶ δὲ τὴν βασιλείαν. A
περιπέφρασται δὲ ὁ λόγος. βούλεται γὰρ εἰπεῖν· ὃς μετὰ

---

17 EM 101, 23. Eust. Il. 104, 21. 1158, 33 19 Eust. Il. 104, 22

---

1 l. sic A: *Κρόνου παῖδα* C[D]HQ om. E ‖ Ordo: b. c. a. [D]H c. b. a. Q c. a. b. v ‖ *ἰστέον* AC: *τὸ δὲ ἐς ἀφνεὰν εἶπεν* 2 *τὸ δὲ ἱκομένους* om. E; seclusi 3 *παραγενόμενοι* [D] EQ: *παραγενομένους* Hv *παραγενόμενοι λέγει* AC ‖ *χρῆται* A *χρᾶται* C: *κέχρηται* 4 *ὅπερ—ἔχειν* om. C; damn. Beck ‖ *τὴν* DEHQv: *οὖν καὶ τὴν* A *οὖν* C 5 *Κρόνου ⟨παῖδα⟩* Mommsen? suppl. p. 2, ft. recte; tum Ἑστίαν exprim. ‖ *δὲ* om. E 6 *ἐλθόντες* E 7 *παῖδα* om. C ‖ *τὸν Δία* [D]EQv *λείπει Δία* H 9 *ὑμνεῖσθαι* A: *ἀνυμνεῖσθαι* 11 supplevi 13 *θεμίστεῖον* A: *θεμίστειον* C *θεμιστεῖον ὃς ἀμφέπει* ([D])HQ 14 *προπερισπᾷ* A: *περισπᾷ* C *παροξύνει* [D]HQ 15 *ἄλλως* om. EH ‖ *θεμιστεῖον* HQ: om. D *θ. ὃς ἀμφέπει* E 15. 16 *ἀμφέπει δὲ τὸ περ.* DQv 19 sq. cfr. sch. Tricl. 61, 15 Ab. 19 *ἐν πολυμάλῳ* om. C Tricl. ‖ *Δωριεῖς* C Tricl. 20 *γινόμενον* C Tricl.

A(D)EHQ δικαιοσύνης | βασιλεύει τῆς εὐδαίμονος Σικελίας. ἡ γὰρ πολύμηλος ἀπὸ μέρους εὐδαίμων νοοῖτο ἄν. 18 C 1e E 20c H

A c. τουτέστι πλουσίᾳ.

H 19 d. ⟨πολυμάλῳ:⟩ ἤτοι πολυθρεμμάτῳ· ἢ ἀπὸ τοῦ καρποῦ τῶν μήλων· ἐκεῖ γὰρ περισσῶς λέγεται φυῆναι. ἢ πολυκάρπῳ. καὶ Ὅμηρος (*Ι* 542)· καὶ αὐτοῖσ' ἄνθεσι μήλων.

A(C)DEHQ 20 a. δρέπων μέν: ἀντὶ τοῦ δρεπόμενος, ἀπανθιζόμενος πασῶν τῶν ἀρετῶν τὸ τέλειον, ἀνδρείας καὶ δικαιοσύνης
ACDEHQ καὶ τῶν ἑξῆς. b. αὐτὸ τὸ ἄκρον δρεπόμενος ἀπὸ πασῶν τῶν ἀρετῶν· οἱονεὶ ἀφ' ἑκάστης τὸ ὠφέλιμον καρπού-
AE(H)Q μενος. 20g CE 20d H c. ἀκαταλλήλως δὲ τῷ δρέπων τὸ ἀγλαΐζεται ἐπενήνοχεν. ἐχρῆν γὰρ εἰπεῖν ἀγλαϊζόμενος, ἵν' ᾖ καλλωπιζόμενος ἐπὶ τῷ τῆς μουσικῆς κάλλει, τουτέστι τῆς ᾠδῆς. 19d H

DHQ 20 d. ἄλλως· ἀγλαΐζεται δέ: ἀκαταλλήλως τῷ δρέπων τὸ ἀγλαΐζεται. ἐχρῆν γὰρ εἰπεῖν ἀγλαϊζόμενος ἐν τῷ τῆς μουσικῆς ἄνθει καὶ τῇ ᾠδῇ, ἤτοι μουσικὸς ὢν ἢ περὶ τὴν μουσικὴν διακείμενος. e. φίλην δὲ τράπεζαν, ἢ ὅτι κατὰ τὸ ἀναγκαῖον συνεστιῶνται· ἢ ὅτι ἐκ ταύτης αἱ φιλίαι.

C 20 f. δρέπων μέν: ἀντὶ τοῦ δρεπόμενος, ἀπανθιζόμενος καὶ οἷον συλλέγων ὁ Ἱέρων τὰς ἀκρότητας ἀπὸ πασῶν τῶν ἀρετῶν. 20k

ACEHQ 20 g. ἄλλως· ἀγλαΐζεται δέ: ἐπαγωγικῶς ἀπὸ τῶν καταριθμηθέντων· εἰρηκὼς γὰρ ἀφνεός, ἀγαθός, δίκαιος,

---

4 Eust. Il. 301, 23. Suid. πολυμήλη 5 sch. AB *Ι* 542

---

1 ἡ — 2 ἄν] πολυμάλου· τῆς εὐδαίμονος ἀπὸ μέρους νοοῖτο (D)Qv 2 νοοῖτο ἄν EH: νοοῖτο AQ νοεῖ τὸ ὅλον G, unde ὅθεν νόει τὸ ὅλον b 4—6 cfr. sch. Germ. p. 62, 1—3 Ab. 8 τῶν om. DQv 8 τὸ — 10 ἀρετῶν om. D 8 καὶ om. Hv 9 δρεπόμενον E || ἀπὸ πασῶν ACDQ: ἀπασῶν EHv 10 ὠφέλημα E 11 ἄλλως praem., δὲ om. EQv || τῷ AE$^{pc}$: τὸ E$^{ac}$Qv τὴν H || δρέπεσθαι E || τὸ] τῷ Qv 12 ἐπενήνοχεν] ἕπεται E ἐ[πή]νεγκεν H 13 ἐπὶ om. Qv 13. 14 τῆς ᾠδῆς om., ἀρχὴ γὰρ τῶν ὅλων κατὰ Θαλῆν τὸ ὕδωρ add. E 15 ἄλλως om. D || τῷ H: τὸ [D]Qv 16 τὸ H: τῷ [D]Qv 17 μουσικῆς H: ᾠδῆς DQv 19 ἢ om. H 23 ἐπιτατικῶς CFK 24 εἰρηκότος E

*βασιλεύς, ἐν τῇ ἀρετῇ τὸ δίκαιον, ἐν τῷ πλουτεῖν τὸ νικᾶν, φησὶν ὅτι κέκτηται καὶ μουσικήν, ἵνα πάσας τὰς βιωτικὰς ἀρετὰς εἴπῃ.* $20^{i}$ **C**

20 h. *ἄλλως· τῷ εἶναι μουσικός, ἢ τῷ διακεῖσθαι περὶ* **ACEHQ**
*μουσικήν, ὥσπερ φιλίατρος οὐ τῷ εἶναι, ἀλλὰ τῷ διακεῖσθαι.* $24^{e}$ **C**

20 i. *ἀώτῳ δὲ τῆς ᾠδῆς ἄνθει, τουτέστιν ἐν ταῖς* **ACEHQ**
*ᾠδαῖς. οὐδὲν γὰρ ἕτερον ἢ μουσικῆς ἄνθος αἱ ᾠδαί.*
j. *οἷα δὲ ἔφη, ⟨ἐν⟩ τοῖς παρὰ τὸν πότον εἰωθόσι λέγε-* **AEHQ**
*σθαι.* $24^{a}$ **AC**

20 k. *ἀγλαΐζεται: ἀγάλλεται καὶ σεμνύνεται καὶ ἐν* **A (C) DEHQ**
*τῷ τῆς μουσικῆς ἀπανθίσματι, οἱονεὶ πεπαίδευται μουσικήν.* $26^{f}$ **A** 16 **C**

24 a. *οἷα παίζομεν φίλαν: τὴν φιλοποιόν. οὐ γὰρ* **ACDEH**$^{gl}$**Q**
*ἐχθροὶ εἰς τράπεζαν συνέρχονται.* b. *τὸ δὲ παίζομεν ὡς* **ACDEQ**
*πρὸς τράπεζαν, οὔτι σπουδαῖον· ἄκαιρον γάρ.* $20^{h}$ **C** c. *ἢ* **H**$^{gl}$
*τὴν προσφιλεστάτην.*

24 d. *ὁ δὲ νοῦς· οἷα παίζομεν φίλαν ἄνδρες:* **ADEHQ**
*ὁποῖα μάλιστα μουσικὰ οἱ ἄνθρωποι συνεχῶς κατὰ τὰ συμ-*

---

14 EM 794, 12. Eust. Il. 1118, 59

---

2 *φασὶν* **EHQ** ‖ *βιωτικὰς*] *βασιλικὰς* Beck 3 *εἴπῃς* **E** *ἔχῃ* **H** 4 *τῷ εἶναι* om. **E** *τῷ*] *τὸ* **E** ‖ *τῷ ⟨φιλίως⟩ διακ.* Beck 5 *ὑπερφιλιατρὸν* **E** ‖ *φιλιαγρὸς* (s. *-τρὸς*) **A** ‖ *οὐ τῷ εἶναι* **AC**: *οὕτως ἐστὶν* ‖ *διακεῖσθαι* om. **HQv** 7 *δὲ* om. **Qv** 8 *οὐδὲ* **Q** ‖ *ἕτερον μουσ. ἄνθ. ἢ αἱ ᾠδαί* Beck ‖ *ἡ ᾠδὴ* **E** 9 *ἔφησε* **HQv** ‖ *ἐν* add. **h** (non **b**) ‖ *τοῖς* om. **Qb** ‖ *παρὰ* **E**$^{cp}$? Lehrs Pindarsch. p. 6: *περὶ* ‖ *εἰωθόσι* **A**: *εἰώθασι* 11 *ἀγλαΐζεται — σεμνύνεται* **A**: *ἀγλ. δὲ ἀγ. καὶ σεμν.* **E** *ἀγλ. δὲ καὶ σεμν. καὶ ἀγ.* **H** *ἀγλ. δὲ καὶ σεμν.* **DQb** *ἀγλ. δὲ* **v** (om. *καὶ ἀγ. καὶ σεμν.*) ‖ *καὶ* (alt.) om. **E** 12. 13 *τὴν μουσικήν* **v** 14 l.] om. **AC** *ἄνδρα* add. **E** ‖ *τὴν φιλοποιόν* **DQv** *τὴν φιλίας ἐμποιητικήν* **H**: *φίλαν δὲ τὴν φιλοποιὸν εἴρηκεν* **AC** om. **E** 14. 15 *ἐχθρὸς γὰρ εἰς φίλ(ην) τράπεζαν οὐ συνέρχεται* **H** *ἐχθροὶ*] *ἐχρῆν* **E** ‖ *τὸ ἄπεξαν* **E** ‖ *συνέχοντα* **E** *συνανέρχονται* **DQb** 16 *τὸ ἄπεξαν* **E** ‖ *οὔτι σπουδαῖον* **A**: *οὐ γὰρ σπ.* **C** *οὔτι τὸ σπ.* [**D**]**b** *οὐ τὸ σπ.* **Qv** *αὐτοσπουδὲς* **E** ‖ *ἀλλ' ἄκαιρον*, om. *γάρ*, **C** 18 *ὁ νοῦς* **E** (post l.) **H** ‖ l. om. **DHQv** 19 *ὁποῖα μάλιστα μουσικὰ* **E**: *οἷοι ἅμα μετὰ μουσικὰ* **A** *ὁποῖα μ. μουσικὴν* **DHQ** *ὁποίαν μ. μουσικὴν* **v**

πόσια περὶ τὴν προσφιλῆ τράπεζαν παίζομεν. καλῶς καὶ μετὰ τὴν εὐωχίαν εἶπεν· οὐ γὰρ ἦν σπουδαίου ἄνευ τοῦ εὐωχεῖσθαι κιθαρίζειν.

**ACDEHQ** 24 e. ἀμφίβολον οὖν πότερον ἀγλαΐζεται μουσικᾶς ἐν ἀώτῳ μουσικὰ συζητῶν παρὰ τὸ δεῖπνον, ἢ ἐπεὶ λύρα περιεφέρετο τοῖς δειπνοῦσιν, ὡς ἀπαρχομένων παιδιᾷ μουσικῇ τοῦ εἰς Ἱέρωνα ὕμνου.

**ACDEHQ** 26 a. ἀλλὰ Δωρίαν ἀπὸ φόρμιγγα: παρόσον οἱ ὑπὸ τὸν Παρνασσὸν οἰκοῦντες Δωριεῖς πρῶτοι λέγονται τὸ ὄργανον ἐσκευακέναι. b. οἱ δὲ παρὰ τὸ δῶρον ἀκούουσιν, ὅτι δὴ τὴν λύραν Ἑρμῆς ἀντὶ τῆς τῶν βοῶν κλοπῆς Ἀπόλλωνι παρέσχεν. c. οἱ δὲ ὅτι Δωρικῇ ἁρμονίᾳ ἥρμοστο τῷ Πινδάρῳ ἡ λύρα. ἁρμονίαι δὲ πλείονες· Δώριος, Φρύγιος, Λύδιος. d. τὸ δὲ ἀπὸ δύναται μὲν ἀκούεσθαι καὶ πρὸς τὸ [ἀπὸ] πασσάλου, ἵν' ᾖ ἀπὸ πασσάλου, δύναται δὲ καὶ **ADEHQ** πρὸς τὸ λάμβανε, ἵν' ᾖ ἀπολάμβανε. e. ἐκ τούτου τὸ ἀκμαῖον τῆς τοῦ ἐγκωμίου γραφῆς ὑποφαινόμενον εἴη. 20[k] A 33 C

**AHQ** 26 f. ἄλλως· ἀλλὰ Δωρίαν ἀπό: ὅτι Δωριστὶ συντέ- **HQ** τακται ὁ ἐπίνικος. 29 A g. περὶ δὲ τῆς Δωριστὶ ἁρμονίας εἴρηται ἐν παιᾶσιν (fr. 67), ὅτι Δώριον μέλος σεμ- **DHQ** νότατόν ἐστιν. h. πασσάλου δὲ, ὅτι ἐπὶ πασσάλων

---

21 Eust. ad Od. 1428, 58. 1586, 9

---

1 προσφιλῆ] προκειμένην E ‖ παίζομεν om. A ‖ καλῶς] καθὰ v ante h 2 μετὰ] κατὰ cj. Chr. Schneider 4 πρότερον CE ‖ μουσικαῖς [D]QE μουσικῆς Hv 5 μουσικὰ ACE[1]Q: μουσικοὺς D[cp]E[2] μουσικὴν H ‖ ζητῶν v ‖ τῷ δείπνῳ Dv 6 περιφέρετο A ‖ ἀπερχομένων Qv (corr. Beck) ‖ παιδιᾷ DHQ: παι . . . (lac.) E τοῦ διὰ A διὰ C ‖ μουσικῇ DEHQ: μουσικῆς AC καὶ μουσικῇ Beck 7 τοῦ εἰς corr. ex τὸν E 8 l. om., δωριστὶ συντέτακται ὁ ἐπινίκιος (ἐπίνικος C) add. AC 9 ὑπὸ] περὶ s. παρὰ E[cp] ‖ Παρνασσὸν A: Παρνασὸν ‖ πρῶτοι ACQ: πρῶτα D[cp]EHv 11 δὴ AHQ: δὲ CDE 12 Δωρικῇ CE: λυρικῇ A[D]HQ ‖ ἥρμοσται Hv ἥρμοσε E 13 ἁρμονίαι — 14 Λύδιος om. C 15 ἀπὸ (pr.) om. v ‖ ἵν' ᾖ ἀπὸ π. om. ACKQ? 17 ἀκμαῖον AK: ᾆσμα ὃν ‖ τῆς] τὸ τῆς v ‖ τοῦ om. Ev ‖ ἂν εἴη b 18 ἄλλως om. A ‖ ἀπὸ om. HQv 19 ἐπινίκιος AKQv 20 παιᾶσι· ποτὶ HQv: J. G. Schneider fr. Pind. p. 41 21 πασσάλῳ Q

ἔκειντο αἱ κιθάραι· καὶ Ὅμηρος (α 440)· πασσάλῳ ἐγκρεμάσας· διὰ τὸ ἕτοιμον εἶναι εἰς τὸ ἀναλαβεῖν. i. ἢ ὅτι ὡς ἀνάθημα ἔν τινι τόπῳ τοῦ οἴκου ἀνάκειται.

28 a. τὸ Πίσας δὲ συσταλτέον διὰ τὸ ἀντίστροφον· DHQ οὕτω δὲ οἱ περὶ Πίνδαρον καὶ Σιμωνίδην (fr. 247). b. περὶ δὲ τῆς Πίσης, ὅτι τόπος ἐν Ἤλιδι ὑπὸ ὑψηλῶν ὄχθων περιεχόμενος, Πολέμων (FHG II 121) φησίν. c. ἔνιοι δὲ ὑπο- HQ συγχέουσι τὴν Πίσαν καὶ τὴν Ἦλιν, οὐκ ὀρθῶς δέ· | δι- DHQ έστηκε γὰρ ἀπ' ἀλλήλων τὰ χωρία σταδίων πεντήκοντα. d. ὠνόμασται δὲ Πίσα ἀπὸ τῆς Πίσης τῆς Ἐνδυμίωνος θυγατρός.

28 e. ἀναλάμβανε, ὦ Πίνδαρε, τὴν Δωρίαν φόρμιγγα, DHQ καὶ ὕμνει τὸν Φερένικον ἵππον τοῦ Ἱέρωνος καὶ τὴν Πίσαν, εἰ ἄρα σοι ἡ τούτων χάρις τὸν νοῦν ηὔφρανεν. f. εἴ HQ τινά σοι ἡ Πίσα καὶ ὁ Φερένικος νικήσας παρέσχε λόγων εὐπορίαν.

29 a. καὶ Φερενίκου χάρις: ὄνομα τοῦ νικήσαντος ACDEHQ ἵππου. b. ὁ δὲ νοῦς· εἴ τί σοι, ὦ θυμέ, ἡ τοῦ ἵππου καὶ τῆς Πίσης χάρις τὸν νοῦν ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν. 33E c. χάρις δὲ ἡ ἐπὶ τῇ νίκῃ ἡδονή· φροντίδα AC δὲ λέγει τοῦ ἐπινικίου τὴν σκέψιν.

32 a. ὅτε παρ' Ἀλφεῷ: ἐν Ἤλιδι· ὁ γὰρ Ἀλφεὸς ἐν ABCDEQ Ἀρκαδίᾳ τὰς πηγὰς ἔχει, καὶ ἀπ' αὐτῆς ἀρχόμενος περιρρεῖ καὶ τὴν Ἦλιν. b. σύτο δέ, ὥρμα πρὸς τὸν δρόμον. 36A 20C 34E ABDEQ

32 c. (σύτο:) ὥρμα. B[gl]

33 a. ἀκέντητον ἐν δρόμοισιν: ἀμάστικτον αὐτῷ τῷ ABCDEQ

---

9 cfr. sch. O. 10, 51 a. 55 b   10 sch. Theocr. 4, 29

---

1 debuit afferre ϑ 67. 105 || ἐγκρεμάσασα et ἀγκρεμ. codd. Hom. ἀγκρεμάσασ' b   2 ἑτοίμους V   3 ἀνάκεινται V   4 δὲ] τε V   5 οὕτω — Σιμωνίδην om. D || παρὰ Πινδάρῳ καὶ Σιμωνίδῃ: Pauw   6 ὅτι ὁ τόπος Dv   9 σταδίοις V   12—14 cfr. sch. Thom. 63, 18 Ab.   14 ἄλλως ante εἰ add. Qv   15 ὁ om. Qv   17 l.] Φερένικος C Φερενίκου χάρις E   17 ὄνομα — 18 νοῦς om. D   18 ἡ EQv: om.   22 ab ὅτε incipit f. 1 B || l. om. C[1] || ὅτε om. AC[2]   23 αὐτῆς C: αὐτῶν (-ὸν E)   24 σύτο δὲ A: σύτο δέμας   26 ἐν δρόμοισιν A: om. || αὐτῷ A[cp]?C[D]P: αὐτοῦ

κατὰ φύσιν τάχει τὸ σῶμα κατὰ τὸν ἀγῶνα διαφυλάξας. ἐκ δὲ τούτου τὸ ταχὺ καὶ πρόθυμον τοῦ ἵππου δηλοῖ. καὶ παρὰ τῷ Ὁμήρῳ (Ψ 387)· ἄνευ κέντροιο θέουσαι. 32 E

Q b. ἔσυτο δὲ, οὕτως ὥρμησεν ὡς μὴ δεῖσθαι κέντρου καὶ
ABC(D)EQ μάστιγος. | c. κράτει ἀντὶ τοῦ νίκῃ. 35 D d. ὁ δὲ νοῦς· ὁ δὲ Φερένικος ταχύνας ἑαυτὸν κατὰ τὸν ἀγῶνα τῇ νίκῃ προσέμιξε τὸν ἑαυτοῦ δεσπότην Ἱέρωνα. 36 D

$B^{gl}$ $E^{gl}$ 34. (κράτει:) τῇ νίκῃ.

AB(C)E 35 a. ἱππιοχάρμαν: τὸν τῇ ἱππικῇ χαίροντα.

ACDEHQ DHQ b. καλῶς τὸ ἐπίθετον τῷ βασιλεῖ διὰ τὸ ἱπποτροφεῖν, | ἵνα δείξῃ ὅτι οὐ τύχης γέγονεν ἔργον τὸ τῷ Φερενίκῳ χρήσασθαι,
ADEHQ ἀλλ' ἐπιστήμης καὶ τῆς περὶ τὸ πρᾶγμα ἐπιμελείας. c. ἔνιοι δὲ ἀναγινώσκουσι παροξύνοντες τὴν παραλήγουσαν συλλαβὴν τοῦ Συρακουσίων καὶ τὴν ἐσχάτην τοῦ ἱππιοχαρμᾶν περι-
DHQ σπῶσιν, ἵν' ᾖ Συρακοσίων ἱππιοχαρμῶν. | τὸν γὰρ Ἱέρωνα οὐκ εἶναι Συρακούσιον ὅτε ἐνίκα. κτίσαντα γὰρ αὐτὸν τὴν Κατάνην καὶ προσαγορεύσαντα Αἴτνην ἀπ' αὐτῆς
HQ Αἰτναῖον αὐτὸν λέγουσιν. | εὐήθεις δέ φησι Δίδυμος τούτους· τότε γὰρ ὁ Ἱέρων ἦν Συρακούσιος καὶ οὐδὲ ἦν Αἰτναῖος, ὥς φησιν Ἀπολλόδωρος. ὁ δὲ Ἀριστόνικος ἀξιοπίστως Αἰτναῖον ὄντα Συρακούσιον ὀνομάζεσθαι. 37 A 33^d D

$A^{gl}$ 35 d. γράφεται καὶ ἱππιοχαρμὴν Συρακουσίων καὶ συντάσσεται οὕτως. ἐτυμολογεῖται δὲ ἢ ἀπὸ τοῦ ἵππου καὶ τοῦ χαίρω ἢ ἀπὸ τοῦ χάρμη ἡ μάχη.

---

2 καὶ (alt.)] καὶ ἔστι καὶ A   2. 3 καὶ Ὅμηρος C καὶ παρὰ τὸ Ὁμηρικόν E   3 κέντροιο ACQ: κέντρου B κέντρων C κέντροις E ‖ θέοντες codd. Homeri   5 κράτει EQ: κράτει δὲ Bv τὸ δὲ κράτει AC ‖ νίκῃ] τῇ νίκῃ A ‖ νοῦς] οὖν E   8 τῇ om. E   9 l. et DQ ‖ ἱππιοχάρμᾶν B ἱππιοχαρμᾶν E ἱππιοχάρμην δὲ A ‖ post χαίροντα add. φησί A   10 καλῶς] κ. δὲ Cv ἄλλοι δὲ E   12 ἐπιστήμῃ et τῇ DQv (corr. Beck)   12 ἐπιμελείᾳ DQ   13 παροξύνοντες — 14 τοῦ om. H   14 τοῦ A: τῶν ‖ Συρρακ. ADE ‖ τὴν ἐσχάτην om. E   15 τῶν Συρ. DHQv ‖ Συρακοσίων A: Συρ(ρ)ακουσίων   17 ὀνομάσαντα D ‖ Αἴτναν H Αἴτναν Qv Αἴτνην καὶ D   18 Αἰτναῖον αὐτὸν λέγουσιν H: Αἰτν. λέγουσιν αὐτόν Q (s. s. γρ(άφεται) καὶ? σθαι?) v Αἰτναῖος ὠνο . . . (lac.) D Αἰτναῖον ὠνομάσθαι b ‖ δὲ om. Qv   19 ἦν (alt.) om. H

36. *λάμπει δέ οἱ κλέος:* τῷ ἵππῳ. ἢ τῷ Ἱέρωνι· ὃ καὶ βέλτιον. 38 A ADHQ

37 a. *ἐν εὐάνορι Λυδοῦ Πέλοπος:* Πίνδαρος μὲν τὸν Πέλοπα Λυδόν φησιν [εἶναι], Ἴστρος δὲ (FHG I 426) Παφλαγόνα, Αὐτεσίων δὲ (FHG IV 345) Ἀχαιὸν ἀπ' Ὠλένου πόλεως, ἧς καὶ Ὅμηρος μνημονεύει (B 639)· καὶ Ὤλενον ἠδὲ Πυλήνην. 40 ADQ ABCDEQ

37 b. *εὐάνορι:* ἐν τῇ εὐάνορος ἀποικίᾳ, τοῦ Πέλοπος· τουτέστιν ἐν τῇ Πελοποννήσῳ. c. γράφεται καὶ ἐποικίᾳ· ταὐτὸν δὲ δι' ἀμφοτέρων. d. ἀποικίαν δὲ, οὐχ ἣν αὐτὸς ἔστειλεν, ἀλλ' ἣν αὐτὸς ἐστείλατο. e. τινὲς εὐάνορι, δοτικῇ ἀντὶ γενικῆς τοῦ εὐάνορος. ἐξ ἀνδρείας γὰρ νικήσας ἔσχε τὴν Ἦλιν. 40$^{d}$ DHQ

38 a. *Πέλοπος ἀποικίᾳ:* τῇ Πελοποννήσῳ. b. τοῦ δὲ ἀντὶ τοῦ Πέλοπος. 42 A

38 c. (*ἀποικίᾳ:*) κατοικίᾳ. B$^{gl}$

40 a. [*ἐπεί νιν καθαροῦ λέβητος:*] λόγος τις παρὰ τοῖς ἱστορικοῖς ἐπὶ τὸ μυθικώτερον πέπλασται, ὡς οἱ θεοὶ ἐπὶ ἑστίασιν ἐκάλεσαν τὸν Τάνταλον [εἰς] ἔρανον [ὅ ἐστι τὴν εὐωχίαν] παρασκευάσαντες. ἐπειδὴ οὖν καὶ αὐτὸς ὁ Τάνταλος τῷ τοῦ ἐράνου τρόπῳ ἀντεισφέρειν τε τοῖς θεοῖς εὐωχίαν ἠπόρησεν, ἀσεβοῦς ἐπιχειρήματος πρόφασιν τὸ ABCDEQ

---

3 Diod. 4, 74. Tzetzes ad Lyc. 150 19 Apoll. epit. 2, 3

---

1 l.] οἱ **b** λάμπει δέ οἱ, add. αὐτῷ ἤτοι **HQv** 3 l. **A**: Λυδοῦ Πέλοπος (πόλεμον **E**) **BCE** om. **D** ἄλλως **Q** ‖ μὲν **AC**: om. 4 εἶναι om. **ACE**; in **B** legi nequit 5 Αὐτεσίων **BC**: ἀντεσίων **D** ἀντισίων (-ισίων in ras. m. 2) **E** ἄττεσιν **A** ‖ δὲ **B**: om. 6 πολε .... (exes. usque ad μνημονεύει) **B** locus Homeri huc nihil facit 7 πελήνην **DQr** 8 εὐάνορι] εὐάνορος **D** 11 ἔσταλτο Oxon. ‖ τινὲς **HQ**: τινὲς δὲ **D** ‖ δοτικὴ **Q** δοτικὴν **v** 17 l. **A**: om. **V** ‖ παρὰ **AC**: περὶ **E** om. **B?DQ** (τις — ἱστορικοῖς in **B** evan.) 18 πέπλαστο **E** ‖ ὡς om. **E** 19 ἑστίασιν ego: ἑστίαν (Ἑστίαν **b**) ‖ εἰς et ὅ ἐστι τὴν εὐωχίαν delevi ‖ ὅ ἐστι] τουτέστι **B** ὅτι **E** 20 τὴν om. **D** ‖ οὖν **BDEQ**: δὲ **A(C)** 21 τε om. **B** (et Oxon.) [δὲ] τὲ [D]D δεόμενος cj. Beck 22 εἰς εὐωχ. **C**. Conicias τι τοῖς θ. ⟨εἰς⟩ εὐωχ.; sed plura excidisse videntur 22 ἠπόρησαν **E** ‖ πρόφασιν om. **B**

ἄπορον ἔσχε· διακόψας γὰρ τὸν Πέλοπα ἐγκαθῆκε λέβητι καὶ ἑψήσας τοῖς θεοῖς παρέθηκε τῶν κρεῶν. μόνην δὲ τὴν Δήμητραν ἀγνοίᾳ μεταλαβεῖν λέγουσι· τινὲς δὲ τὴν Θέμιν. γνωρίσαντα δὲ τὸν Δία Ἑρμῇ προστάξαι ἐγκαθεῖναι πάλιν λέβητι τὰ κρέα καὶ ὑγιῆ τὸν παῖδα ἀποδοῦναι. ὁ δὲ
ABCEQ Βακχυλίδης (fr. 42) τὸν Πέλοπα τὴν Ῥέαν λέγει ὑγιάσαι | καθεῖσαν διὰ λέβητος. b. τοῦ δευτέρου οὖν ἀκουστέον, ἀφ' οὗ καὶ ὑγιὴς ἀνεδόθη. 48 B 37$^{b}$ DHQ

AC(KN) 40 c. ἄλλως· λέγεται τῆς Δήμητρος ἀπογευσαμένης τῶν τοῦ Πέλοπος ὠμείων κρεῶν ἐλεφάντινον τὸν Ἑρμῆν ὦμον προσαρμόσαι τῷ Πέλοπι. τούτου φασὶ καὶ ὑπόμνημα τοὺς Πελοπίδας φέρειν λευκότητά τινα κατὰ τὸν ὦμον. τὸ ἐπὶ τοῦ ὤμου τοῦ Πέλοπος οἱ μὲν λευκόν τι ὡς διὰ τὸν ἐλέφαντα ἔφασαν, οἱ δὲ λόγχην ἐπὶ τὸν βραχίονα, οἱ δὲ ἐπὶ
A τὸν ἀριστερὸν βραχίονα Γοργόνα, | οἱ δὲ ἐπὶ τῆς ὠμοπλάτης τρίαιναν μαρτυροῦσαν τῷ τοῦ Ποσειδῶνος ἔρωτι. 44 C

DHQ 40 d. καθαροῦ λέβητος: ἐν ᾧ συνετίθετο ὁ Πέλοψ. e. ἀφ' οὗ καὶ ὑγιὴς ἐγένετο, ὅτε τῆς Δήμητρος τὸν ὠμοπλάτην αὐτοῦ φαγούσης κατ' ἄγνοιαν ἐλεφάντινος ὦμος ἐτέθη αὐτῷ ὑπ' αὐτῆς.

A 40 f. ἐπεί νιν καθαροῦ λέβητος: οἷον ἀφ' οὗ αὐτόν. οἱ δὲ, ἐπειδὴ αὐτόν.

---

11 Tzetzes ad Lyc. 152 (p. 411 M.)

---

1 τῷ λέβ. B 2 τῶν κρεῶν om. DQv 3 τὴν (pr.) om. BEQ || ἀγνοίᾳ μεταλαβεῖν λέγουσι ACE: μεταλαβεῖν λέγεται τῶν σιτίων ἀγνοίᾳ B τῶν κρεῶν ἀγνοίᾳ μεταλαβεῖν λέγουσι DQv || δὲ om. E 4 Θέτιδα [D]Qv || προστάξας DE || ἐγκαθῆναι CE 5 τῷ λέβ. B || ὑγιᾶ B 6 τοῦ Πέλοπος E || Ῥέα E || [ὑγι]ᾶσθαι B ὑγιᾶσθαι E ὑγιᾶσαι CQ$^{pc}$ 6. 7 ἐγκαθεῖσαν πάλιν τῷ λέβητι Bergk ad Bacch. fr. 55 7 διὰ τοῦ λέβ. EQv || τοῦ — ἀκουστέον om. B del. Beck || τοῦ δευτέρου (sc. λέβητος)] τῷ δευτέρῳ Qv τὸ δεύτερον s. ἐκ τοῦ δευτέρου Bergk. l. l. || γρ. ἵ ὕστ . . . (absciss.) add. Q$^{mg}$ || οὖν om. EQv || ἀφ' οὗ] καθ' ἣν E 9 sqq. cf. sch. Thom. 66, 12 Ab. 9 τὴν Δήμητραν ἀπογευσαμένην C; cfr. ad 18 12 τὸ A: τὸ δὲ C 18 τὴν Δήμητρ(αν) et φαγοῦσαν H; cfr. ad 9 20 δι' αὐτῆς Q$^{i}$

41. *Κλωθὼ μία τῶν Μοιρῶν· εἴρηται δὲ παρὰ τὸ ἐπικλώθειν ἑκάστῳ τὸ εἱμαρμένον.* 44 ADEHQ

42 a. *κεκαδμένον: κεκοσμημένον.* 33 A AB$^{gl}$

42 b. *κεκοσμημένον. ἀπὸ τοῦ κάζω τὸ καλλωπίζω. γράφεται δὲ καὶ κεκασμένον. σύγκειται δὲ τὸ ζ ἐκ τοῦ σ̄ καὶ δ̄. διὰ τοῦτο γράφεται κεκαδμένον.* A$^{gl}$

43 a. *ἦ θαύματα πολλά: ἄπιστον εἶναι βούλεται τὸν τῆς ἱστορίας λόγον Πίνδαρος, ὅτι ἐκρεουργήθη ὁ Πέλοψ. ὁ δὲ ἦ βεβαιωτικός.* b. *τινὲς δὲ ὀξυτόνως ἀναγινώσκουσιν, ὡς κατὰ ἀποβολὴν τοῦ σ̄, ἵν' ᾖ θαυμαστὰ ἔργα· ὡς καὶ Ἡσίοδος* (scut. 165)· *θαυματὰ ἔργα.* c. *ἔνιοι δὲ παράδοξα ἤκουσαν.* $48^b$ A $48^a$ C AC

43 d. *γράφεται καὶ οὕτως· ἦ θαυματὰ πολλά· ἀντὶ τοῦ ὄντως θαυμαστὰ καὶ ἄξια θαύματος.* E$^{mg}$ e. *γράφεται θαυματά, ἀντὶ τοῦ θαυμαστά. γράφεται δὲ καὶ θαύματα πολλά.* A$^{gl}$

44 a. *καὶ πού τι καὶ βροτῶν φάτις: τὸ σαφές· καὶ δὴ οἱ λόγοι εἰσὶ τῶν ἀνθρώπων, φησίν, οἵτινες ποικίλων λόγων τεχνάσμασιν εἰς τὸ ἀπατῆσαι τοὺς ἀκούοντας πεποικιλμένοι ὑπὲρ τὸν ἀληθῆ λόγον, ἐξαπατᾶν δύνανται.* b. *ἔνιοι δὲ φάτιν, ἀντὶ τοῦ τὰς φρένας τῶν ἀνθρώπων ἀπατῶσιν οἱ ψευδεῖς λόγοι.* 43 AC 58 B $48^a$ DQ ABCDEQ

44 c. *γράφεται καὶ φασί. ἐν τῷ συντάγματι συντάσσεται γὰρ καὶ τὰς φάτις· συντάσσεται δὲ καὶ φασὶν ἀντὶ τοῦ λέγουσιν.* A$^{gl}$

---

1 sch. Hes. th. 211 9 sch. Hes. scut. 154.

---

1 *Κλωθὼ*] *Κλ. δὲ* A ‖ *δὲ* A[D]Q: om. EH 2 *εἱμαρμένον* A (sch. Hes.): *πεπρωμένον* 7 l. om. C 9 *τινὲς δὲ* A: *ἔνιοι τὸ θαυμαστὰ* C 11. 12 *παρὰ δόξαν ἀκούουσι* C 13 sqq. cfr. sch. Germ. 67, 15 Ab. 17 *καὶ πού τι καὶ* om. C ‖ *τι* A: *τις* BEQ *τοι* D ‖ *βροτούς* E ‖ *φάτις* ACQ: om. BE *φάτης* D ‖ *τὸ σαφὲς*] om. AC *Κλωθὼ δὲ τὸ σαφὲς* DQ 18 *φησιν* AC: *φασιν* 20 *ὑπὸ* E 21 *φάτιν* ABE: *τὸ φάτις* CK *φασὶν* [D]Q *φάται* Flach N. Jhbb. 119, 460 (*φάται, ἀντὶ τοῦ οἱ ψευδεῖς λόγοι τὰς φρένας* cett., cl. Hes. *φάτης*). Cfr. Th. Fritzsche ib. 684, qui *φασὶν* (Q) ex *φύσιν* corruptum putavit 21 sq. *τῶν ἀνθρώπων, φασίν· ἀπατῶσι γὰρ οἱ ψ. λ. αὐτάς* CK 22 *λόγοι*] *λόγοι φασίν* A 23 *τ(ῷ) συντ(άγματι)* an *τ(ῇ) συντ(άξει)* incertum

DQ 44 d. ἄλλως· οἱ μῦθοι ὑπὲρ τὸν ἀληθῆ λόγον ἰσχύουσι καὶ ἐξαπατῶσι τοῖς δεδαιδαλμένοις ψεύδεσι καὶ ποικίλοις· πολλὰ γὰρ ἀληθῆ νομίζεται ἐκ τῆς φήμης, ὅτε τὸ ψεῦδος προσλάβῃ. 48$^{b}$

B$^{gl}$ 47. (ἐξαπατῶντι:) ἀντὶ τοῦ ἐξαπατῶσι.

AB(C)DEQ 48 a. ἡ τῆς ποιητικῆς, φησι, χάρις καὶ τὰ ἄπιστα ποιεῖ πιστά. 50 A 44$^{d}$ DQ

ABCDEQ 48 b. Χάρις δ' ἅπερ ἅπαντα τεύχει: ἡ δὲ χάρις τῆς ποιητικῆς γραφῆς καὶ τῆς κατὰ τὸν μῦθον ποικιλίας τε καὶ ψυχαγωγίας, ἥτις καὶ τοῖς ἀνθρώποις ἅπαντα εἶναι τὰ πράγματα ἡδέα παρασκευάζει, τὴν παρ' ἑαυτῆς τιμὴν καὶ χάριν ἐπιφέρουσα, πολλάκις καὶ τὸ ἄπιστον πιστὸν νομισθῆναι παρεσκεύασεν. 53 A

DHQ 48 c. ἄλλως· τὸ ποίημα τὸ πεπλασμένον διαδεχθὲν ὑπὸ πολλῶν πιστὸν ἐγένετο.

A 50. ἐπιφέρουσα τιμάν: τιμὴν προσφέρουσα τῷ ἐγκωμιαζομένῳ. 59

E$^{mg}$ 51 a. καὶ ἄπιστον ἐμήσατο πιστόν: δηλονότι ὁ ποιητὴς διὰ τῆς οἰκείας πιθανολογίας, ἐξ ἧς τὸ ἄπιστον παριστᾷ ὡς πιστόν, τὴν ἑαυτοῦ δεικνύει δύναμιν. b. καὶ δὴ καὶ ἡ φάτις τῶν βροτῶν ὑπὲρ τὸν ἀληθῆ ἰσχύει λόγον, ἵνα ἐξαπατῶσιν οἱ μῦθοι πεποικιλμένοι ψεύδεσι ποικίλοις. c. ἢ καὶ δὴ καὶ τὰς φάτις καὶ τὰς διανοίας τῶν βροτῶν ἐξαπατῶσιν οἱ μῦθοι δεδαιδαλμένοι ψεύδεσι ποικίλοις ὑπὲρ τὸν ἀληθῆ λόγον ἰσχύοντες.

ABCDEQ 53 a. ἁμέραι δ' ἐπίλοιποι: ὁ δὲ χρόνος, φησί, καὶ
ABCEQ τὴν ἀλήθειαν προϊὼν ἀπογυμνοῖ. b. ἀξιόπιστος ἔλεγχος. Δημοσθένης (2, 10)· τῷ χρόνῳ δὲ φωρᾶται καὶ περὶ αὑτὰ καταρρεῖ.

---

6 ἅπερ ἅπαντα τεύχει praem. A ἄλλως praem. CQ ‖ ἡ — χάρις] ἥτις ποιητικὴ χάρις, φησὶ A 6. 7 πιστὰ ποιεῖ A 8 l. sic AB: om. CE χάρις (δ') ἅτεπερ DQ ‖ χάρις (alt.)] χάρις, φησὶ A(C) 10 ἅπαντα ACDQ (Oxon.): ἅπασιν Bv ἅπερ E 11 ἡδέα τὰ πρ. DQv ‖ ἑαυτοῦ E 11 sq. τιμὴν | ....... ἀποφαί | ....... ἐπιφέρουσα B (teste Mo.) 12. 13 νομισθῆναι πιστὸν E 26 l. om. AC 27 προσιὼν B ‖ ἀξιόπ. ὢν ἔλ. C καὶ ἀξ. ἔλ. Q 28 καὶ Δημ. BCv ‖ φωρᾶσθαι E 29 αὑτὰ codd., v ‖ καρτερεῖ E

55 a. ἐοικός δέ ἐστι καὶ προσῆκον ἀνθρώπῳ τὰ καλὰ περὶ θεῶν λέγειν· ἐλάττων γὰρ αἰτία. διὰ δὲ τούτου εὐσεβὲς τὸ ἦθος χαρακτηρίζει. b. ὡς ὅτι δεῖ μηδὲ ὅλως ἐγκαθιέναι τινὰ εἰς τὸν περὶ τῶν θεῶν λόγον. c. ἔνιοι δὲ μείων ἀντὶ τοῦ οὐδὲ ὀλίγη· | ὡς Ὅμηρος (E 800)· ἦ ὀλίγον οἷ παῖδα ἐοικότα γείνατο Τυδεύς· ἀντὶ τοῦ οὐδὲ ὀλίγον· ἵν' ᾖ, οὐδὲ ὀλίγη ἐστὶν αἰτία τῷ καλὰ λέγοντι περὶ θεῶν. 44 B — ABCDEQ / ABCEQ

55 d. ἄλλως· ἔστι δὲ εἰκὸς ἀνθρώπῳ εὔφημα περὶ θεῶν λέγειν καὶ μὴ βλασφημοῦντα λέγειν αὐτοὺς ἀνθρωποφάγους καὶ γαστριμάργους. DHQ

58 a. υἱὲ Ταντάλου, σὲ δ' ἀντία προτέρων φθέγξομαι: ἐγὼ δὲ σέ, ὦ Πέλοψ, ἐναντία ταῖς τῶν προτέρων δόξαις ἐγκωμιάσω. b. ἀντὶ τοῦ ἐναντία καὶ ἕτερα οἷς εἶπον οἱ πρότεροι ποιηταὶ δοξάσω σε καὶ ἐρῶ. οἱ μὲν γάρ σε ἔθεντο τεθνεῶτα, ἐγὼ δὲ κλαπέντα. 69 A c. οἱ δὲ τὸ σέ ἀντὶ τοῦ σοῦ, ἵν' ᾖ· ἐγὼ περὶ σοῦ ἐναντία εἴπω ταῖς ⟨τῶν⟩ προτέρων δόξαις. — AB(C)DEQ / C

58 d. ἄλλως· γράψω εἰς σὲ παλινῳδίαν καὶ ἐναντία τοῖς λέγουσί σε κρεανομεῖσθαι. DHQ

59. προτέρων φθέγξομαι: δοξάσω. A

62 a. φίλαν τε Σίπυλον: οἱ μὲν πόλεως ὄνομα, οἱ δὲ ὄρους περὶ τὴν Λυδίαν[, ὅθεν ὁ Πέλοψ]. b. ἐλλειπ- — ACDEHQ / CK

---

5 sch. A E 800. Eust. Il. 610, 6. Suid. ὀλίγον

---

1 sqq. Πλάτωνος θεὸν νοῆσαι μὲν χαλεπὸν. φράσαι δὲ ἀδύνατον: θεολογ(ίας)· νοῆσαι μὲν ἀδύνατον. φράσαι δὲ ἀδυνατώτατον add. E$^{mg}$ ‖ 1. omisi: ἐοικὸς ἀμφὶ δαιμόνων καλά A φάμεν ἐοικός C ἔστι δ' ἀνδρὶ φάμεν BE ἔστι δ' ἀνδρὶ DQv ‖ ἐοικὸς δέ ἐστι καὶ] ἔστι δὲ καὶ DQv 2 ἐλάττω E 3 μηδόλως BDEQ 4 τῶν om. BQ 5 ὀλίγον h (ὀλίγο E$^{ac}$) 6 Τυδεύς ABE: Πηλεύς CQv 7 ὀλίγη ἐστὶν αἰτία AC: ὀλίγην εἶναι αἰτίαν B ὀλίγη εἶναι αἰτία EQ 9 ἐοικὸς HQ 12 υἱὲ Ταντάλου om. DE προτ. φθ. om. A φθέγξομαι om. BD 15 σε] τε B 16 ἐγὼ] οἱ E 19 τὴν παλ. γράψω εἰς σὲ D[D]Q 22 φίλαν τε A: om. V 23 ὄρους AC: ὄρος ‖ ὅθεν ὁ Π. om. ACE (et Tricl. p. 74, 14 Ab.) 23—p. 34, 2 cfr. schol. Tricl. p. 72, 18 Ab. Lehrs Pindarsch. p. 41

τικὸν δέ ἐστι πρὸς τὴν σύνταξιν τὸ ὅλον χωρίον, καὶ ληπτέον ἔξωθεν τὸ ᾄδεται ἢ τὸ λέγω.

B^gl 62 c. (*Σίπυλον*:) ὄρος περὶ τὴν Λ⟨υδίαν.⟩

A 64. *ἀγλαοτρίαιναν*: τὸν Ποσειδῶνα.

DHQ 66 a. *χρυσέαισιν*: ἀντὶ τοῦ ἐπὶ χρυσῶν ἵππων.

B^gl DHQ b. μεταβιβάσαι, μεταγαγεῖν.

A 67. *ὕπατον εὐριτίμου*: ὕπατον τὸ ὑπεροχώτατον. 71

BDEQ 68. *ποτὶ δῶμα Διός*: καθ' ὑπερβατὸν νοείσθω· Γανυμήδης γὰρ πρεσβύτερος Πέλοπος. καὶ ἔστι τὸ ὑπερβατὸν οὕτω· Διὸς δῶμα μεταβᾶσαι δευτέρῳ χρόνῳ, ἔνθα ἦν καὶ Γανυμήδης· ἔξωθεν τὸ πρότερον προσληπτέον.

ABCDEQ 69. *ἔνθα δευτέρῳ χρόνῳ*: δευτέρῳ ἀντὶ τοῦ ὑστέρῳ. προτέρῳ δὲ ἐχρῆν εἰπεῖν· πρεσβύτερος γὰρ Γανυμήδης Πέ-

ACDEHQ λοπος, ὡς ἔστιν ἐκ τῶν ἐπιγόνων τεκμήρασθαι. | Ἕκτωρ γὰρ καὶ Ἀγαμέμνων· Ἀτρεὺς καὶ Πρίαμος· Πέλοψ καὶ Λαομέδων. καὶ πάλιν Λαομέδων, οὗ Πρίαμος, οὗ Ἕκτωρ· Πέλοπος δὲ Ἀτρεύς, οὗ Ἀγαμέμνων ὁ κατὰ τὸν Ἕκτορα. προανήρπασται οὖν Γανυμήδης Πέλοπος. καθ' ὑπερβατὸν οὖν αὐτὸ ἀκουστέον, ὅπως ἐπὶ τοῦ Πέλοπος λέγηται,

AC καὶ ἔστι τὸ ὑπερβατὸν οὕτως· Διὸς δῶμα μεταβᾶσαι δευτέρῳ χρόνῳ, ἔνθα ἦν καὶ Γανυμήδης· ἔξωθεν τὸ πρότερον προσληπτέον. 75 A 72 C

DEHQ οὕτως· ὁπότ' ἐκάλεσε πατὴρ ἐπὶ τὸν εὐνομώτατον ἔρανον φίλαν τε Σίπυλον, τότε ἀγλαοτρίαιναν μεταβᾶσαι δευτέρῳ χρόνῳ, ἔνθα ἦλθε καὶ Γανυμήδης. 72 Q

AB^gl Q 71. *Ζηνὶ τωὔτ' ἐπὶ χρέος*: διὰ τὴν αὐτὴν χρείαν καὶ ἐπιθυμίαν. 75 Q

---

6 μεταβιβάσαι **B**: μεταβιβάσας **DQ** -σειν **H** ‖ μετα⟨γαγεῖν?⟩ **B** (abscisso mg.) μεταγαγὼν **v** 8 Διὸς om. **E** ‖ γαννυμ. **BDEQ** (non adnoto) 10 Διὸς ⟨πρὸς⟩ δῶμα? sed cfr. 21 11 πρότερος **DEQ** (cfr. 24) 13 προτέρῳ] προτὶ **E**^ac ‖ δὲ] om. **E** γὰρ **Q** ‖ εἰπεῖν ἐχρῆν **DQ** 14 προγόνων **B** ‖ in τεκμήρασθαι des. f. 2 **B** 16 καὶ πάλιν Λαομ. om. **CE** 17 δὲ] γὰρ **C[D]Q**^s**v** ‖ ὁ om. **DEHv** 18 προανήρπαστο [D]EHQv 19 οὖν om. **E** ‖ λέγεται **HQ** 21 ἀνομ. **E** ex corr. (**E**²?) 24 πρότερος et -ον **A** (cfr. 11) ‖ ἦλθε om. **E** 26 ἐπὶ χρ. om. **Q** ‖ τὴν αὐτὴν χρείαν **Q**: τὴν αὐτοῦ χρείαν **A** τὸ αὐτὸ χρέος **B**

72 a. ὡς δὲ ἄφαντος ἔπελες: ὡς δὲ ἀφανὴς ἐγένου, καὶ οἱ ζητοῦντές σε κενοὶ καὶ ἄπρακτοι ὑπέστρεψαν, μὴ ἀγαγόντες σε τῇ μητρὶ Εὐρυανάσσῃ τὸ ὄνομα, οἱ γείτονες διαδεδώκασιν ὑπὸ τοῦ πατρός σε κατακεκόφθαι τοῖς θεοῖς εἰς εὐωχίαν, ψευδῆ λέγοντες. 71 Q ACDEHQ

72 b. ὡς δὲ ἄφαντος: ἀφανὴς ὑπὸ τοῦ Ποσειδῶνος. 77 A

75 a. ἔννεπε κρυφᾷ τις αὐτίκα: ἕνα φησὶ τῶν γειτόνων φθονοῦντα διασκευάσαι τοῦτον τὸν μῦθον, ὅτι ἐκρεουργήθη. 48ᵃ A AC

75 b. κρυφᾶ: Δωρικῶς ἀντὶ τοῦ κρύφα. c. ἁρπαγῆναι δέ φησι Πέλοπα ὑπὸ Ποσειδῶνος, εἶτα ἕνα τῶν γειτόνων φθονοῦντα διασκευάσαι τοῦτον τὸν μῦθον, ὅτι ἐκρεουργήθη. DEHQ

77 a. ὕδατος ὅτι σε πυρὶ ζέοισαν: τουτέστιν εἰς ὕδωρ ἀκμαίως ζέον, εἰς θερμὸν, κατὰ μέλη τεμόντες ἐμβεβλήκασι, καὶ τὸ τελευταῖον ἐν ταῖς τραπέζαις παραθέντες καὶ μερίδας ποιήσαντες βεβρώκασιν. ACDEHQ

77 b. ἄλλως· ζέοισαν ⟨ἀκμάν⟩, τὴν ζέσιν τοῦ ὕδατος· ἐπεὶ τὴν αὐτὴν ἔχει δύναμιν τῷ σιδήρῳ τὸ πῦρ. 84ᵉ E CEHQ

79. μαχαίρᾳ τάμον: οἱ Ταντάλου δορυφόροι ἔταμον τῇ μαχαίρᾳ, καὶ μέρος ἑκάστῳ τῶν θεῶν μέλος ἀποδιδόντες, ἐν τῇ τραπέζῃ τὰ δεύτερα μέλη ἔθηκαν καὶ ἔφαγον. DHQ

80 a. ⟨δεύτατα:⟩ δεύτατα ὄντα τοῦ σώματος· τουτ- HQ

---

11 sch. P. 3, 65. Herodian. I, 489, 17

---

1 l. om. C ‖ ἔπελες om. DHQ ‖ ἐγένου] ἐγένετο D ὢν E 2 σε om. E 3 ἀγαγόντες A: ἀπαγαγόντες CK ἄγοντες DEHQv 4 ὑπὲρ E 8 l. om. C 9 τοῦτον om. C 12 φησι Beck: φασι [D]EQ λέγουσι H 13 ὅτι] ὡς v ‖ ἐνεκρουργήθη E 15 ὕδατος — τουτέστιν A: τὸ δὲ ἑξῆς ὅτι CE ζέοισαν ἐπ' ἀκμάν· ἀντὶ τοῦ D[D]HQv 16 ζέον, ἤγουν εἰς θ. CE ‖ καὶ τὰ μ. v ‖ μέλος CE ‖ τεμόντες A: τεμόντες σε C ταμόντες [D](H)Q τεμὼν σε E 18 καὶ om. A ‖ μερίδα E ‖ καταβεβρ. E 19 ἄλλως om. E ἄλλως· ζέοισαν om. C ‖ ἀκμάν addidi 20 τὸ πῦρ] τὸ ὕδωρ Schroeder 22 ἀπονεμόντες H 23 τὰ δεύτερα μέλη om. [v δεύτερα om. D sive [D] et lac. relicta Q ‖ καὶ om. Qv 24 τῷ σώματι Qv

ἐστι μετὰ τὸ σῶμα μέλη δεύτερα ἔθηκαν, χεῖρας καὶ πόδας
καὶ τὴν κεφαλήν.
DHQ 80 b. ἄλλως· δεύτατα, ἢ τὰ ἔσχατα, ἢ τὰ βεβρεγμένα
τῷ αἵματι. $84^{e}$
CDEHQ 84 a. ἀφίσταμαι: μακρὰν καὶ πόρρω γίνομαι τοῦ
τοιαῦτα περὶ θεῶν λέγειν. 85 DEHQ
ACEHQ b. ἀκέρδεια λέλογχε θαμινὰ κακᾱγόρος: τοὺς κα-
κηγόρους ἀκέρδεια καὶ βλάβη ἐκλήρωσεν. ἀκέρδεια δέ ἐστιν ἡ
ACDEHQ κακηγορία καὶ βλάβη, ἣ τοὺς κακηγόρους περιέχει. c. τοῦ
δὲ κακᾱγόρος Δωρικὴ ἡ ἀνάγνωσις· ἀεὶ γὰρ ἡ αἰτιατικὴ
παρ' αὐτοῖς κατὰ ἀφαίρεσιν τοῦ ῡ προφέρεται διὰ μόνου
τοῦ ō. $84^{a}$ DEHQ d. κακηγόρους δὲ λέγει τοὺς ἀσεβεῖς καὶ
βλασφήμους. $84^{b}$ DEHQ e. ὁ δὲ νοῦς· ἀκέρδεια εἴληχε πυκνῶς
τοὺς κακηγόρους· ὅ ἐστιν, οἱ κακήγοροι τῶν ἀνθρώπων
πυκνῶς ἐν ἀκερδείᾳ εἰσίν. f. ἢ οὕτως· οἱ κακήγοροι οὐδὲν
λελόγχασιν ἢ ἀκέρδειαν· οἷον οὐδὲν κερδαίνουσι κακηγο-
DEHQ ροῦντες. g. τινὲς δὲ τῇ ἐκλείψει τοῦ ῡ ἐχρήσαντο. $84^{d}$ DEHQ
DEHQ 85. εἰ δὲ δή τινα: εἰ δὲ δή τινα ἄνδρα ἄλλον οἱ
θεοὶ ἐτίμησαν, καὶ μάλιστα τὸν Τάνταλον.
CDEHQ 87 a. ἀλλὰ γὰρ καταπέψαι: κατασχεῖν καὶ ἐναπο-
λαῦσαι τῇ εὐτυχίᾳ. b. ἀλλ' εὐδαιμονῶν καρτερεῖν οὐκ ἠδυ-
νήθη. $89^{e}$ C
ACDEHQ 89 a. κόρῳ δ' ἕλεν ἄταν ὑπέροπλον: διὰ δὲ τὸν
κόρον μεγάλως ἐβλάβη λίθῳ παλαίσας. b. ἄλλως· κόρῳ

---

1 ἔθηκαν] φαγεῖν ἔθηκαν v 3 ἄλλως om. D ‖ βεβρασμένα Q 6 sq. τοιαῦτα π. θ. λ. μακρὰν κ. π. γ. E 7 l. sic A: ἀκέρδεια C ἄλλως EHQ 8 ἀκέρδειαν $A^{ac}$ 9 καὶ ἡ βλ. CEHQ ‖ κατηγόρους A 10 δὲ om. C ‖ κακᾱγόρος A: κακηγόρος CDEHQ -ως v 11 προφέρεται] λαμβάνεται DQv 12 ō] ῶ v ‖ δὲ λέγει τοὺς AC: ἀντὶ τοῦ (D)EHQ μὲν αὐτοὺς v 13 ὁ δὲ νοῦς AC: ἀκέρδεια (λέλογχεν add. E)· ὁ νοῦς DEHQ ‖ εἴληφε ACE 14 κατηγόρους E ‖ ὅ AC: ὅτι E ὅπερ HQv 14 ὅ — 16 οὐδὲν] om. D lac. rel. 15 πυκνῶς — 16 οὐδὲν om. C 16 λελόχασιν CE ἐλήχασιν D 17 εἰσλήψει E ‖ ῡ] ϰ̄ E 18 l.] εἰ δὲ δή τιν' ἄνδρα θνατόν E 20 καταπέμψαι E 21 τῆς εὐτυχίας DHQv 23 sqq. καὶ τῶν β' γὰρ δεκτε////(ras.)ὸν (δεκτικὸν Schroeder) τὸ ὕδωρ καὶ τοῦ ψύχους καὶ τῆς θέρμης add. $E^{mg}$ ‖ ὑπέροπλον A: om. ‖ δὲ om. DHQv

τῇ ὕβρει καὶ τῇ ἀλαζονείᾳ. ὑγιῶς δὲ τῇ τροπῇ διόλου ἐχρήσατο, τῷ καταπέψαι τὸν κόρον ἐφαρμόσας. c. διὰ γὰρ τοῦ κόρου, φησὶ, προσείληφε τὴν ἄτην, ἀδυνατήσας κατασχεῖν τὴν εὐδαιμονίαν. d. τίκτει τοι κόρος ὕβριν (paroem. I, 308. II, 218). 91 C

e. ἔνιοι δὲ κόρῳ, τῇ πλησμονῇ τῆς τροφῆς. 89ª C 91ᵇ DEHQ **CDEHQ**

91 a. περὶ τῆς τοῦ Ταντάλου κολάσεως ἕτεροι ἑτέρως **ACDEHQ** λέγουσιν· οἱ μὲν γὰρ αὐτόν φασιν ὑποκεῖσθαι Σιπύλῳ τῷ Λυδίας ὄρει, αἰτίαν τινὰ προστιθέντες, ὡς Πανδάρεως ὁ Μιλήσιος ἀποκλέψας τὸν κύνα τῆς Κρήτης, ὃν ὁ Ζεὺς φύλακα τοῦ ἱεροῦ κατέστησε, παρατεθειμένος εἴη τῷ Ταντάλῳ. τὸν δὲ Δία ἀποστεῖλαι Ἑρμῆν πειρώμενον τοῦ ὑποδεξαμένου· τὸν δὲ μᾶλλον ψευδόμενον καὶ ἑλέσθαι ἐπιορκῆσαι, ὡς οὐκ ὄντος παρ' αὐτῷ τοῦ κυνός· καὶ οὕτω τὸν Δία ἐπιθεῖναι κατ' αὐτοῦ Σίπυλον τὸ ὄρος, ὅπερ ἐστὶ τὸν λίθον. οἱ δὲ, ὧν ἐστι καὶ Εὐριπίδης (Or. 10)·

ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον.

Ὅμηρος δὲ αὐτὸν ἑτέρως ὑποτίθεται τιμωρεῖσθαι (λ 582)·

ἑσταότ' ἐν λίμνῃ, ἡ δὲ προσέπλαζε γενείῳ·
στεῦτο δὲ διψάων, πιέειν δ' οὐκ εἶχεν ἑλέσθαι,

καὶ τὰ ἑξῆς· πλὴν εἰ μὴ κατὰ τὸν Ἀρίσταρχον νόθα εἰσὶ τὰ ἔπη ταῦτα. καὶ Ἀλκαῖος δὲ καὶ Ἀλκμὰν λίθον φασὶν

---

8 sch. τ 518. υ 66. Anton. Lib. 36    15 sq. Tzetzes Chil. 5, 470    21 sch. λ 568.

---

1 διόλου **ACEH**: τοῦ ὅλου **DQv**    2 καταπέμψαι **E**    3 φησὶ **AC**: φασὶ    4 τίκτει — ὕβριν om. **D** ‖ ὕβριν] ἄταν **HQ** ἄτας **v**    6 τρυφῆς **H**    7 l. om. (add. ἰστέον δ' ὅτι) **C**: τᾶν οἱ πατὴρ ὑπερεκρέμασσε **A** μετὰ τριῶν τέταρτον πόνον **DHQ** id. om. πόνον, add. καρτερὸν αὐτῷ λίθον **E**    8 φασιν om. **E**    11 παρέστησε **Ov** ‖ παρατεθειμένος εἴη **AC**: παρέθετο αὐτὸν    12 ὑποδειξαμένου, om. τοῦ, **E**    13 καὶ om. **DEHQ** καὶ ἑλέσθαι om. **Ov**. Locus corruptus vid. ‖ ἐπιορκᾶ **D** ἐπιορκίᾳ et -ας **Q**    14 Δία] Δία ὀργισθέντα **CE** (Thom. 61, 3 Ab.)    15 ἐστὶ **AC**: εἶναι ‖ δὲ] δὲ ὅτι **DHQ**    17 ὡς praem. **Cv**    18 ὑποτίθησι **DQv**    19 προσεπέλαζε **ACDHQr** προσέπλαξε **E**    20 διψέων **E** ‖ πιεῖν [D]EHQ    21 καὶ τὰ ἑξῆς om. **DEHQ**

AEHQ *ἐπαιωρεῖσθαι τῷ Ταντάλῳ* (Alcae. fr. 93)· | *κεῖσθαι πὰρ κεφαλᾶς μέγας, ὦ Αἰσιμίδα, λίθος· ὁ δὲ Ἀλκμάν* (fr. 87)· *ὅπως ἀνὴρ δ' ἐν ἀσμένοισιν ἀλιτηρὸς ἧστ' ἐπὶ θάκας κατὰ* ACEHQ *πέτρας ὁρέων μὲν οὐδέν, δοκέων δέ.* | *ἐπέστησε δὲ καὶ Ἀρχίλοχος* (fr. 53)· *μηδ' ὁ Ταντάλου λίθος τῆσδ' ὑπὲρ νήσου κρεμάσθω. ἔνιοι δὲ ἀκούουσι τὸν πέτρον ἐπὶ τοῦ ἡλίου· τὸν γὰρ Τάνταλον φυσιολόγον γενόμενον καὶ μύδρον ἀποφήναντα τὸν ἥλιον ἐπὶ τούτῳ δίκας ὑποσχεῖν, ὥστε καὶ ἐπαιωρεῖσθαι αὐτῷ τὸν ἥλιον, ὑφ' οὗ δειματοῦσθαι καὶ καταπτήσσειν. περὶ δὲ τοῦ ἡλίου οἱ φυσικοί φασιν ὡς λίθος καλεῖται ὁ ἥλιος· καὶ Ἀναξαγόρου δὲ γενόμενον τὸν Εὐριπίδην μαθητὴν πέτρον εἰρηκέναι τὸν ἥλιον διὰ τῶν προεκκειμένων* (Or. 4)·

*ὁ γὰρ μακάριος, κοὐκ ὀνειδίζω τύχας,*
*Διὸς πεφυκώς, ὡς λέγουσι, Τάνταλος*
*κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον*
*ἀέρι ποτᾶται καὶ τίνει ταύτην δίκην.*

*καὶ πάλιν δι' ἄλλων βῶλον λέγοντα οὕτως* (Or. 982)·

*μόλοιμι τὰν οὐρανοῦ*
*μέσον χθονὸς τεταμέναν*
*αἰωρήμασι πέτραν*

---

3 Eust. ad Od. 1701, 23 6 sch. Eur. Or. 582. Tzetzes Chil. 5, 458—62. 478—82. Eust. ad Od. 1700, 60

---

1 *ἐπεωρεῖσθαι* **A**ac *ἀπεωρ.* **C** ‖ *ὁ μὲν Ἀλκαῖος* post *Ταντάλῳ* add. **b** ‖ *κεῖσθαι πὰρ κεφαλᾶς*] *κεῖσθαι* [...] (lac. [**D**]) *ῶ* **D**, omissis ceteris ‖ *πὰρ* **AH**: *περὶ* **E** *παρὰ* **Q** 2 *ὠαισιμίδα* **HQ** (*ωα* ex corr. **Q**1): ... (lac.) *μίδα* **E** *ὤασ σιμίδα* **A** 3 *ὅπη* **Q** *οὕτως* cj. Bergk ‖ *ἧστ'* **AQ**: *ἧσθ'* **Hr** *οἶσθ'* **E** ‖ *θάκοις* Beck 4 *ὀρέων* **A**pc: *ὁρέων* ‖ *ἐπέστησε*] *ἐπάτησε* **C** *ἐποίησε* **v** ‖ *καὶ* om. **HQ** 5 *μηδ' ὁ*] ....*ὅταν* **E** ‖ *Τάνταλος* **H** ‖ *ὑπὸ* **HQv** (corr. Beck) 6 *κρεμάσθη* **Qv** ‖ *ἔνιοι*] *ἔψιον* **E** 7 *γινόμ.* **E** 9 *ἐπαιωρεῖσθαι* **EH**: *ἐναιωρεῖσθαι* **A**(**C**) *ἐπῃωρῆσθαι* **Q** *ἐπηωρεῖσθαι* **v** ‖ *αὐτοῦ* **OQv** ‖ *δειματεῖσθαι* **E** 11 *ὁ* om. **E** ‖ *Ἀναξαγόρας* **E** 13 *προεγκ.* **E** *προκειμ.* **CQv** 15 om. **HO** 17 *τείνει* **C**ac**EQ**ac**v** 18 *λέγων* **A**ac 19 *οὐρανὸν* **A** 20 *μέσον καὶ χθ.* **E** ‖ *τεταμένον* (corr. ex -*ου*) **E** 21 *ἀναιωρήμασι πέτρον* **E**

*ἀλύσεσι χρυσέαις φερομέναν δίναισι βῶλον ἐξ Ὀλύμπου,*
*ἵν' ἐν θρήνοισιν ἀναβοάσω*
*γέροντι πατρὶ Ταντάλῳ.* 97ª **DEHQ**

91 b. *τάν οἱ πατὴρ:* τὴν ἄτην, φησὶν, ἐπεκρέμασεν **ACDEHQ** αὐτῷ. ἄτην δὲ εἶπε τὸν λίθον, ὃς ἦν ἄτη· δὶς δὲ παρείληφε τὴν ἀντωνυμίαν· τὸ γὰρ οἱ ἰσοδυναμεῖ τῷ αὐτῷ.
c. ἄλλως· δι' ἥντινα ἄτην ὁ Ζεὺς ὑπὲρ τῆς κεφαλῆς αὐτοῦ λίθον ἐπήρτησεν· ὥστε τῇ προσδοκίᾳ τοῦ καταπίπτειν τὸν λίθον ἐφ' ἑαυτὸν τιμωρεῖσθαι αὐτόν· ὅντινα ἐπηρτημένον λίθον ἐπιθυμῶν ἑαυτοῦ ἐκ τῆς κεφαλῆς ἀπώσασθαι καὶ μὴ δυνάμενος, εὐφροσύνης πλανᾶται, ἀντὶ τοῦ ἔξω τῆς εὐφροσύνης ἐστίν.

91 d. ἄλλως· *τάν οἱ πατήρ:* ἐπικρέμαται αὐτῷ λίθος· **CDEHQ** εἶτα τοῦτο μενοινῶν καὶ κατὰ ψυχὴν ἔχων, ὡς ἐπιπεσὼν ὁ λίθος διαφθερεῖ αὐτὸν, τῆς εὐφροσύνης ἀλᾶται, | προσδο- **DEHQ** κῶν ἀεὶ τὴν κεφαλὴν αὐτοῦ βληθήσεσθαι. 96 **E**

95 a. *ἔχει δ' ἀπάλαμνον βίον:* ἀπάλαμνον τὸν δει- **ACDEHQ** νὸν, πρὸς ὃν οὐκ ἔστι παλαμήσασθαι. b. περὶ οὗ οὐδεὶς δύναται χεῖρα αὐτῷ ἐπαγαγεῖν βοηθόν. 91ª **E**

96. *ἐμπεδόμοχθον:* διηνεκῶς μοχθηρόν. ἠσφαλισμέ- **CDEHQ** νον τῷ μόχθῳ καὶ τῇ λύπῃ. 97ᵍ **C** 95 **E** 91ª **DHQ**

---

1 *φερόμενον δίνῃσι* **Er** ‖ *δίναισι*] *δι* ex corr. obsc. **A** 4 l.] *ἄλλως* **A** *τάν οἱ π. ὑπερκρέμασε* **E** 4 sq. *τὴν αὐτήν φησιν ἐπικρεμάσας αὐτῷ ἄτην. τὸν λίθον φησὶν ὃς* **E** ‖ *ἐπεκρέμασεν* **A** *ὑπεκρέμ.* **C** [*ὑπερεκέ*]*ρασεν* [**D**]**D** et (ss. *γρ. ἐκρέμασεν*) **Q** *ὑπερεκρέμασεν* **Hv** 5 *ἄταν* **Qv** ‖ *δὶς δὲ* **ACEH**: *διὸ ^δή* **DQv** 6 *οἱ*] *τοι* (overlined) **Q**[1] *οἱ* **Q**[s] *οἱ* [*τοῖ*] **D**[**D**] *ποῖα* **E** 7 *ἄλλως* om. **A** ‖ *ἄτην*] *αἰτίαν* Beck ‖ *τῆς* om. **E** 8 *λίθον*] *ἄτην ἤγουν λίθον* **Dv** ‖ *ἐπήρτησεν* **AC**[pc]: *ἀπήρτησεν* 9 *αὐτόν* om. **v** ‖ *τὸν ἀεὶ* ante *ὅντινα* add. **C** ‖ *ὅντινα τὸν ἐπ.* **AC** 10 *ἑαυτοῦ — κεφαλῆς* **A**: *ἀπὸ τῆς ἑαυτοῦ κεφαλῆς* **DEHQv** (*τῆς αὐτοῦ ἀπώσασθαι κεφαλῆς* **C**) 11 *πλανᾶται* **ACE**: *ἀλᾶται* [**D**]**HQv** ‖ *ἔξω τῆς εὐφροσύνης* **AC**: *ἐν πόνοις* 13 *τάν οἱ πατήρ* om. **CE** ‖ *αὐτὸς* **E** 14 *εἶτα*] *ἐς* **E** ‖ *κατὰ ψυχῆς* **E** *κατὰ τὴν ψυχὴν* **v** 16 *αὐτοῦ* Beck ‖ *κληθήσεσθαι* **E** 17 *βίον* om. **C**[**D**]**HQ** ‖ *ἀπάλ.—δεινόν* om. **C** *ἀπάλ. τὸν* om. [**D**]**EHQ** 18 *παραμυθήσασθαι* **v** (*τι παλαμήσασθαι* Wakefield silv. crit. II, 94) 19 *χεῖρα αὐτῷ* **A**: *αὐτῷ κατὰ χεῖρα* ‖ *βοήθειαν* **v**

A(C)DEHQ 97 a. *μετὰ τριῶν τέταρτον:* ἢ ὅτι ἐν Ἅιδου μετὰ
τριῶν τετάρτος κολάζεται, Σισύφου, Τιτυοῦ, Ἰξίονος. b. ἢ
ὅτι μετὰ τριῶν, τοῦ πεινῆν, διψῆν, ἑστάναι, τέταρτον πόνον
AEHQ ἔχει τοῦτον, τὸ τῷ λίθῳ κολάζεσθαι. c. ἢ μετὰ τριῶν
κατὰ ἕνα· ἔστι δὲ τὸ περὶ σῶμα, περὶ ψυχὴν, περὶ τὰ
ACDEHQ ἐκτός. d. ἢ μετὰ τριῶν κολάζεται, οἷς μετέδωκε τοῦ νέκτα-
ACEHQ ρος καὶ ἐξεῖπε τὰ μυστήρια τῶν θεῶν. | ὁ οὖν Εὐριπίδης
φησίν (l. c.)·

ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον.

e. ἢ ὅτι τριῶν οὐσῶν πρὸ τούτου βασάνων δι' ὧν τις
ἀπώλλυτο, βρόχου, κωνείου, βαράθρου, οὗτος μετὰ τὸ ἀπο-
θανεῖν καὶ διελθεῖν τὰ τρία διὰ τοῦ θανάτου, καὶ ἐν Ἅιδου
κρίνεται. f. ἔνιοι δὲ ὅτι τρία λέγεται καὶ κοινῶς τὰ πρὸς
τὸν θάνατον συνεργοῦντα, ξίφος, ἀγχόνη, κρημνός· Σο-
φοκλῆς (fr. 822)·

λύσω γὰρ εἰ καὶ τῶν τριῶν ἓν οἴσομαι.

τέταρτον οὖν τοῦτον μετὰ τῶν τριῶν ὁ Τάνταλος τῶν εἰς
τὸν θάνατον συνεργούντων προσείληφε πόνον τὸν τοῦ ὑπερ-
κειμένου λίθου. 105 C
A(C)DEHQ 97 g. ἢ ὅτι τριῶν μερίδων οὐσῶν κατὰ τῆς ἀνθρωπίνης

---

10 et 13 Zenob. 6,11. Apostol. 16,20. Diogenian. (paroem. II) 3, 40. Suid. τὰ τρία τῶν εἰς θάνατον. Ael. v. h. 13, 36

---

1 ἄλλως praem. HQv ἢ τὸ praem. C 3 τέταρτον πόνον] διὰ πόνου E 4 ἔχει τοῦτον AOQ: τοῦτον ἔχει Hv τούτ(ου) ἔχει E ἔχει CD ‖ ἢ] ἢ ὅτι Ev ‖ μετὰ om. E ‖ τριῶν A: γ' H τῶν E τρίτον OQv 5 ἕνα ἔστι δὲ] lac. E ‖ τὸ περὶ] περὶ τὸ r περὶ Oxon. ‖ περὶ ante ψυχὴν om. E 6 ἢ — οἷς] ἢ ὅτι D ‖ τριῶν] τρίτον OQv 9 αἰσχίστην νόσον A: om. 10 τριῶν] lac. E ‖ οὐσῶν ACO$^{s}$: ὄντων HO$^{1}$Qv ὄν ἐστι E ‖ τις AC: om. 11 ἀπώλυτο CHO$^{ac}$Qr ἀπόλλυτο E ἀπώλετο Oxon. ‖ κωνείας E 13 κρίνεται] κολάζεται C ‖ ἔνιοι] ἔνεστι E ‖ τρία] lac. E ‖ λέγεται Qb: λέγονται Cv λέγεσθαι AEHO ‖ καὶ κοινῶς A: κοινῶς καὶ EHQv κοινῶς C παγκοίνως? Schroeder ‖ τὰ — θάνατον] τὸν πρὸ ... θεὸν τὸν E 14 τὸν om. HQv ‖ κρημένος E 16 εἰ — ἓν] καὶ εἰ τῷ γ' ὂν E ‖ τριῶν om. AC 17 τούτων HOQ (corr., ex τοῦτον?) v (ante Beckium) 19 λίθον E 20 — 41, 4 licenter mut. C 20 ἢ ὅτι τεσσάρων μοιρῶν οὐσῶν κατὰ τῆς ἀν. φύσεως ante ἢ ὅτι add. Q et (om. 20 sq. κατὰ — φύσεως) v

φύσεως κατὰ τοὺς ποιητὰς, καὶ τοῖς μὲν εὐδαίμοσι μίαν ἕπεσθαι ἀγαθὴν, δύο δὲ κακὰς, τοῖς δὲ δυσδαίμοσι τὰς τρεῖς φαύλας· ὅθεν καὶ τρισκακοδαίμονας καὶ τρισαθλίους ἐν τῷ βίῳ τινὰς λέγεσθαι· ἵν' ᾖ οὖν ὁ νοῦς οὕτως, ὅτι δὴ ὁ Τάνταλος καὶ μετὰ τὰς τρεῖς ταύτας δυστυχίας ἃς ὑπέστη κατὰ τὸν ἀνθρώπινον βίον, ἐξ ἀνθρώπων γεγονὼς, καὶ τετάρτην ὑφίσταται. καὶ ὅτι | ἡ τοιαύτη γνώμη ἀσφα- A(C)EHQ λής ἐστι, μαρτυρεῖ ἡμῖν καὶ αὐτὸς ὁ Πίνδαρος ἐν ἑτέροις λέγων (P. III 81)· οἶσθα προτέρων ὅτι ἓν παρ' ἐσλὸν πήματα σύνδυο δαίονται βροτοῖς ἀθάνατοι. [ἐν Πυθιονίκαις.] 105[d] EHQ 97[a] C

105 a. τοὔνεκά οἱ προῆκαν: τοὔνεκά [οἱ] ἀντὶ τοῦ ACDEHQ οὕνεκα, ὥστε ἴσον εἶναι τῷ διὸ δή. b. ἀνήρπαστο μὲν ὑπὸ Ποσειδῶνος, τῷ δὲ τὸν Τάνταλον κλέψαι ταῦτα, τούτου χάριν ἐξέβαλον τὸν υἱὸν εἰς τὸ τῶν θνητῶν γένος· | ἡ γὰρ μετά ἀντὶ τῆς εἰς. c. τουτέστι διὰ τοῦτο τὸν Πέ- AEHQ λοπα πάλιν οἱ θεοὶ ἐξ οὐρανοῦ μετέστησαν εἰς ἀνθρώπους Ταντάλου δυσσεβήσαντος. 109 E 106 Q

105 d. τοὔνεκά οἱ: δαιμονίως τὴν ἱστορίαν μετεχειρί- AC(D)EHQ σατο, καί φησιν ὅτι διὰ τὴν ἀσέβειαν τοῦ Ταντάλου οἱ θεοὶ πάλιν ἐξ οὐρανοῦ τὸν Πέλοπα ἀπέστειλαν εἰς ἀνθρώπους, αὐτάρκη εἶναι ταύτην ἡγούμενοι τῷ Πέλοπι τιμωρίαν. | καὶ ὅτι πρὸς τοῦτο ὁ λόγος, ἐξαρκέσει τὸ ἐπὶ τῶν ACEHQ

---

1 καὶ — 3 φαύλας om. D 4 ἐν — λέγεσθαι om. D ‖ οὖν ὁ νοῦς] οὐ μόνον A[ac] ὁ νοῦς CDN (i. e. Ambr. E 103 sup.) O 4. 5 οὗτος· οὔτι δεῖ D (δεῖ et N) 5 τὰς om. DN 6 βίον] βίον, ἅτε δὴ CDN 7 τέταρτον DN 7 καὶ ὅτι — 8 ἡμῖν] μαρτυρεῖ δὲ ταύτῃ τῇ γνώμῃ CN ‖ ὅτι] ὁ τοῦ λίθου D 8 αὐτὸς ACN: om. 9 οἶσθα — ἐσλὸν] οἱ δὸς πατέρων ὅτι παρ' ἓν . . . λὸν E ‖ ἐσθλὸν CHv 10 δαίονται C[2] (codd. P. III 81): δέοντι ACK (δὲ τοῦ N) δέδονται E δέονται HQr ‖ ἀθανάτοις E ‖ ἐν Πυθ. seclusi; λέγει δὲ ταῦτα ἐν Πυθ. CKN 12 l. A: om. CD ἄλλως EHQv ‖ οἱ om. HQv 13 οὕνεκα H: οὗνεκα AQ ἕνεκα CDEv ‖ διὸ] διὶ E δὶς Q 14 τὸν om. EQv ‖ Ταντάλῳ v (ante Beckium) ‖ τούτου — 15 υἱὸν] πάλιν ἐξέπεμψαν αὐτοῦ τὸν υἱὸν (υἱὸν om. D) Πέλοπα CD 15 τὸ om. CD 19 l. om. ACD, add. δὲ post δαιμονίως. Quae sequ. in D partim exesa 19 τὴν — 20 διὰ om. C ‖ μεταχειρίζεται DK 20 εὐσέβ. E[ac] ‖ τοῦ] τὴν EHOQ ‖ Τάλου E 22 ἡγούμενος b ex G 23 τὸ] πρὸς τὸ v

ἀνθρώπων ἐπίθετον, τῆς δυστυχίας τὸ ἀκρότατον ἐμφανίζον. 109[a] A 111 C 105[a] EQ

AHQ 106. ἀθάνατοι πάλιν: εἰς τοὐπίσω. εἰς τὴν ἐξ ἀρχῆς πάλιν τῶν ἀνθρώπων ταλαιπωρίαν. 109[c] A

ABEQ 109 a. πρὸς εὐάνθεμον δ' ὅτε φυάν: τὸ τῆς ἀκμῆς ἀνθηρὸν λέγει. b. ὁ δὲ λόγος· πρὸς τὴν ἀνθηρὰν ἐλθόντι αὐτῷ ἡλικίαν, ὅτε καὶ αἱ τρίχες αὐτοῦ ἔστεφον τὸ γένειον· ἀντὶ τοῦ ὅτε ἠνδρώθη καὶ τέλειος γέγονεν. 111 A

ABCDEQ 109 c. ὅτε φυὰν λάχναι νιν: ὅτε αἱ τρίχες αὐτοῦ τὸ γένειον ἐστεφάνουν μελαίνουσαι· ὅ ἐστιν ὅτε ἤρχετο γενειᾶν ὁ Πέλοψ. 112 A 113 C

PQ 110 a. μέλαν δέ, τὸ μελανθησόμενον ὑπὸ τῆς λάχνης.

B[gl] 110 b. (ἔρεφον:) ἐστεφάνουν.

ABCDEQ 111 a. ἑτοῖμον ἀνεφρόντισε γάμον: ἑτοῖμον, ἐπεὶ πᾶσι παρέκειτο· ἆθλον γὰρ ἦν τῷ νικῶντι. 111[f] CD

Q b. ἢ ὃν αὐτὸς ἑαυτῷ ἡτοίμασεν. | c. ἢ τὸν ὑπὸ τῶν Μοιρῶν αὐτῷ ἡτοιμασμένον. d. ἢ τὸν τοῖς ᾑρημένοις

ABCDEQ κινδυνεύειν ἐκκείμενον. e. ἀνεφρόντισε δέ, ἐπεὶ ἠθέλησε γῆμαι τὴν Οἰνομάου Ἱπποδάμειαν. 117[b] DQ 111[g] C

f. ἄλλως· τὸν πᾶσιν ἀδεῶς τοῖς βουλομένοις κινδυνεύειν

ABCEQ ἐκκείμενον. 111[b] CD g. ἢ τὸν παρὰ τῶν Μοιρῶν ἡτοιμασμένον αὐτῷ. 117[a]

---

1 ἄκρατον **EHQv** ‖ ἐμφανίζον ego: ἐμφανίζων 3 l. sic **A**: πάλιν μετὰ τὸ ταχύποτμον **HQ** ‖ τὴν — 4 ταλαιπωρίαν **A**: τὸ — ταλαιπωρίαν **H** τὸν — ταλαίπωρον **Q** τὸ — ταλαίπωρον **v** (et add. γένος Beck) 5 inc. f. 11 **B** ‖ φυάν om. **BEQ** 7 ἐλθόντα αὐτοῦ **E** 8 ἀντὶ — 10 γένειον om. **B** 8 ἠνδρώθη] ἀνδρώδης **Qv** 9 l. sic **A**: ὅτε φυάν **C** ἄλλως **EQ** (**D** abest, cfr. ad 41, 19) ‖ ὅτε] ὅτε δηλονότι **CD** 10 ἐστ. τὸ γέν. **E** 11 καὶ ἀνδροῦσθαι καὶ τέλειος γίνεσθαι post Πέλοψ add. **CD** 14 l. sic. **A** (sed ἕτοιμον): ἑτοῖμον γάμον **BE** (ἑτ. sine acc. **E**) om. **CD** ἑτ. ἀνεφρ. **Q** ‖ ἑτοῖμον **CD** ἕτοιμον **A**: om. **BEQ** 15 πᾶσι om. **E** ‖ ἆθλον **D** ἄθλον et ἆθλος **B**: ἆθλος **ACQ** ἄθλιος **E** ‖ τῷ νικ. om. **E** 16 ἑαυτῷ **BE**(**Q**): αὐτῷ **AC** (**D** abest) 19 Θυγατέρα varie add. **CE** 20 ἄλλως **BQ** ἀλλ' εἰ **E**: ἤτοι ἕτοιμον **A** καὶ **CD**, om. τὸν ‖ πᾶσιν ἀδεῶς **ACD**: Ποσειδῶ (-δῶνα **EQ**) δὲ ὡς **BEQ** 21 ἐκκείμενον **ABEQ**: προέκειτο **C** ἔκειτο **D** ‖ ἢ] ἄλλως ἢ **B** 22 αὐτῷ (-τοῦ **E**) ἡτ. **CEQ**

112. *Πισάτα παρὰ πατρός*: τοῦ Οἰνομάου τῆς ABCDEQ Πίσης βασιλεύοντος. 118 CD

113. *εὔδοξον*: ἤτοι τὴν ἔνδοξον· ἢ τὴν συνετήν, ABCDEQ ἀπὸ τοῦ εὖ δοξάζειν. 112 CD

114. *ἐγγὺς δ' ἐλθών*: ἀντὶ τοῦ τὲ τὸν δέ παρέλαβεν. ABEQ

115. *ἐν ὄρφνᾳ*: ἐν νυκτί. A

116 a. *ἄπυεν*: ἐφώνει. προσεκαλεῖτο. τουτέστιν ηὔξατο ABEQ τῷ Ποσειδῶνι ὁ Πέλοψ. 118 ABE b. *βαρύκτυπον* δὲ εἶπε PQ τὸν Ποσειδῶνα ἀπὸ τοῦ κτύπου τῆς θαλάσσης. 118 PQ

117 a. *ὁ δ' αὐτῷ παρὰ ποδὶ σχεδὸν φάνη*: τὸ ἕτοι- ABCEQ μον τῆς τοῦ θεοῦ ἀκοῆς δεδήλωκεν. 112 Q b. εἴποιμεν ABCDEQ δ' ἂν αὐτὸν προσκαλεῖσθαι τὸν Ποσειδῶνα ἤτοι ὡς ἐραστὴν ἢ ὡς τῆς ἱππικῆς προεστῶτα καὶ δυνατῶς ἔχοντα τέχνῃ πρὸς τὸν ἆθλον συμβαλέσθαι. 106 A 109$^{c}$ C 112 BE 113 D 111$^{f}$ Q

118. *σχεδὸν φάνη*: οὐ τοπικῶς τὸ σχεδόν, ἀλλὰ το- ABCDEQ πικῶς πρὸς τὴν φωνὴν ἀκούσας τοῦ Πέλοπος. 122$^{c}$ A 127$^{b}$ E

119 a. *τῷ μὲν εἶπεν*: ὁ μέν ἀντὶ τοῦ μήν· οὐ γὰρ ABCDEQ ἀνταποδίδοται πρὸς αὐτό· ὁ μὲν εἶπεν, ὁ δὲ ἤκουσεν. b. *φίλια δὲ δῶρα Κυπρίας*, τὰ προσφιλῆ δῶρα τῆς Ἀφροδίτης εἴ εἰς χάριν τινὰ γίνεται· ἀντὶ τοῦ εἴ χάρις ἐραστοῦ πρὸς ἐρώμενον. c. ἢ Κυπρίας, τοῦ γάμου, ἵν'

---

1 *παρὰ πατρός* om. A ‖ *περὶ* E 2 *Πίσσης* CEQ$^{ac}$ 3 *ἤτοι τὴν ἔνδοξον ἢ τὴν συνετὴν* AC(D? mutil.): *ἤτοι τὴν* (*ἀντιστροφὴν* add. E) *συνετὴν ἢ τὴν εὔδοξον* BE (*εὔδοξον*) *ἱπποδάμειαν· εὔδοξον ἤτοι τὴν συνετὴν* Q, add. *ἢ τὴν ἔνδοξον* post *δοξάζειν* 5 l. om. E ‖ *τόν* AE: *τὸ* Bv *τὸ ἐν* Q 7 l.] *ἄπυε(ν) βαρύκτυπον* Qr 10 l. sic A: *ἑτοῖμον* B *ἄλλως ἑτοῖμον* EQ om. C ‖ *ἑτοίμως* E 12 *ἂν* om. BEQ ‖ *ἤτοι*] *ἢ* CD om. Q 13 *ἱππικῆς* om. E ‖ *ἔχοντα πρὸς τὸ* (*πρὸς τὸ* om. D) *συμβ. αὐτῷ πρὸς τὸν* (*τὸ* D) *ἆθλον τέχνῃ τινί* C(D) ‖ *τέχνης* E 14 *τὸ ἆθλον* DEv 15 *φάνη* om. BEQ ‖ *τοπικῶς*] *χρονικῶς* Qv. Cfr. E$^{gl}$ *χρονικῶς καὶ τοπικῶς* 15. 16 *τοπικῶς* ABEQ prave: *τυπικῶς* CD *χρονικῶς* cj. Chr. Schneider 16 *πρὸς* corrupt. vid. ‖ post *φωνὴν* dist. B ‖ *ἀκολουθήσας* Q 17 *ἔειπε(ν)* CDQ ‖ *ὁ*] *τὸ* C$^{ac}$ Q(D abest) *τῷ* C$^{pc}$ ‖ *μήν*] *δέ* CD? 18 *ἀνταποδίδοται* B?C(D): -*δέδοται* AEQ ‖ *αὐτὸ — ἤκουσε*] *τὸν μεν ὁ δε* CD ‖ *αὐτὸ* ABQ: *αὐτὸν* Ev 19 *φίλια — Κυπρίας* om. CD 20 *εἰ εἰς χ. τ. γίνεται* ante *τὰ πρ.* trp. CD ‖ *τινὰ*] *τινά σοι* CD ‖ *εἰ χάρις*] *εἰς χάριν* DE 21 *ἢ δῶρον Κυπρ. τὸν γάμον λέγει* CD

ᾖ· εἴ τίς σοι χάρις ἐστὶ τοῦ ἐμὲ γῆμαι, σύμπραξον ἡμῖν. d. ἄλλως· εἴ σοι κεχαρισμένος ἐστὶ τῆς Ἱπποδαμείας..... καὶ εἰ μὴ μέλλεις ἐναντιοῦσθαι τῷ ἔρωτι τῷ πρὸς τὴν Ἱππο-
ABEQ δάμειαν. ταύτην γὰρ φίλια δῶρα Ἀφροδίτης εἶπεν. e. ὁ νοῦς· εἰ τὰ τῆς Ἀφροδίτης δῶρα εἰς χάριν γίνεται, ἄγε τὸ τοῦ Οἰνομάου δόρυ πέδασον.

B[gl] 122 a. (τέλλεται:) ὑπάρχει.

ABCDEQ 122 b. πέδασον ἔγχος: κάτασχε. ἐμπόδισον τὸ τοῦ
ABCEQ Οἰνομάου δόρυ. | δόρυ γὰρ μεταχειριζόμενος ἐπεδίωκε προηγουμένους τοὺς μνηστῆρας καὶ συμποδίσας ἀνῄρει.
ABCDEQ |ὥς που καὶ Ἀπολλώνιος μαρτυρεῖ (I, 752)·

Ἐν δὲ δύω δίφροι πεπονήατο δηριόωντε,
καὶ τὸν μὲν προπάροιθε Πέλοψ ἴθυνε τινάσσων
ἡνία· σὺν δέ οἱ ἔσκε παραιβάτις Ἱπποδάμεια.
τὸν δὲ μεταδρομάδην ἐπὶ Μυρτίλος ἤλασεν ἵππους,
σὺν τῷ δ' Οἰνόμαος προτενὲς δόρυ χειρὶ μεμαρπώς
ἄξονος ἐν πλήμνῃσι παρακλιδὸν ἀγνυμένοιο
πίπτεν ἐπεσσυμένος Πελοπήια νῶτα δαΐξαι. 127 A

---

11—18 Tzetzes ad Lyc. 156

---

1 εἴ τις ABDQ: εἴτι Cv ἥτις E ‖ ἡμῖν] μοι CD 2 ἄλλως] ἢ καὶ οὕτως BCD ‖ εἰ] εἰ μὴ CD ‖ κεχαρισμένος ACQ (D abest): κεχαρισμένον BEv; unde ⟨τὸ⟩ τῆς Ἱππ. h ‖ ἐστὶ] ἐστὶν ὁ γάμος οὗτος ὁ P ἐστὶν ὁ γάμος b ‖ ἱπποδρομίας (ι posterius in ras.) E ‖ post Ἱππ. add. ὁ ἔρως CD ὁ γάμος Q 3 τῷ πρὸς] πρὸς E τῷ κατὰ PQ ‖ τὴν Ἱππ.] αὐτὴν CD 4 ταύτην ACD: ταῦτα BQ ταῦτ(ά) ἐστι E ‖ Ἀφροδίτης] Κυπρίας PQ ‖ post εἶπεν add. πέδασον τὸ τοῦ Οἰνομάου ἔγχος ἵνα κρατήσω αὐτοῦ PQ 4. 5 ὁ δὲ νοῦς A ‖ post δῶρα add. ἐραστά σοι καὶ v 8 l. om. CD ‖ κατάσχες Beck ‖ κάτασχε καὶ ἐμπ. CD ‖ ἐμπόδισον ACDQ: ἐμποίησον B συμπόδισον E ἐμπέδησον v ‖ τοῦ om. B 9 δόρυ γὰρ om. E ‖ ἐπέδωκε E ἐδίωκε v 10 συμποδίσας AE: συμποδίζων 11 που] πα D περ EQv 12 δύο CEQ ‖ πεπονείατο AEQr ‖ δηριόωντες (supra ό ά) Q δηριάωντες Vr[d] ὀκριόωντε C 13 τὸν] τὰ CD 14 ἡνίων E ‖ ἔσχε C[1][D] 15 τὴν B ‖ ἵππον CD 16 προτέλὲς E 17 ἀγνύμενοι οἱ B 18 πίπτον ἐπεσσύμενοι B ἵππος ἐπεσσύμενον E ‖ νῶτα] ἄνω E ‖ δαίξαι] τινάξαι δαΐζει B

122 c. *πέδασον ἔγχος*: Ἀμμώνιος ἔγχος Οἰνομάου τὸ ἅρμα ἤκουσεν. 119 A — AQ

126 a. *ἐς Ἆλιν*: εἰς Ὀλυμπίαν· ὅτι τὸ χωρίον τῆς Ἤλιδος. 135 — A

126 b. *κράτει δέ πέλασον*: τῇ νίκῃ δὲ πέλασον, ἵνα κρατήσω αὐτοῦ. 127ᵇ Q — HQ

127 a. *ἐπεὶ τρεῖς τε καὶ δέκα ἄνδρας ὀλέσσαις*: καὶ ἐν θρήνοις τὸν αὐτὸν ἀριθμὸν τίθησι τῶν ὑπὸ τοῦ Οἰνομάου ἀναιρεθέντων μνηστήρων (fr. 135). — ABCEQ | πέφνε δὲ τρεῖς καὶ δέκα ἄνδρας· τετράτῳ δ' αὐτὸς πεδάθη. 129 EQ — ABC(D)EQ

127 b. [*τρεῖς τε καὶ δέκα ἄνδρας ὀλέσας*:] οἱ ἀναιρεθέντες οὗτοί εἰσι· Μέρμνης· Ἱππόθοος· Πέλοψ ὁ Ὀπούντιος· Ἀκαρνάν· Εὐρύμαχος· Εὐρύλοχος· Αὐτομέδων· Λάσιος· Χάλκων· Τρικόρωνος· Ἀλκάθους ὁ Πορθάονος· Ἀριστόμαχος· Κρόκαλος. τούτῳ τῷ ἀριθμῷ τῶν ἀπολομένων μνηστήρων καὶ Ἡσίοδος (fr. 165) καὶ Ἐπιμενίδης (FHG IV, 405) μαρτυρεῖ. — ABCEQ
c. τινὲς δὲ οὕτως αὐτούς φασι ιε'· Μέρμνην· Ἱππόστρατον· Αἰολοπέα· Πείραντα· Ἀκαρνᾶνα· Ἱππομέδοντα· Ἀλκάθουν· Εὐρύαλον· Εὐρύμαχον· Κρόκαλον· Ἀκρόκομον· Σκόπελον· Λυκούριον·

---

11—p. 46, 6 Paus. 6, 21, 10. 11 (Hes. fr. 165)

---

1 l.] Οἰνομάου χάλκεον ἔγχος Q ‖ Ἀμμῶνιον Q (ον cp., ft. postea add.) ‖ ἔντος cj. Bergk², Lehrs p. 10 3 ἐς Ὀλ. A 7 l. sic A(C): τρεῖς καὶ δέκα B τρισκαίδεκα E om. Q, add. οὗτος δὲ ὁ ποιητὴς 8 θρήνοις] θρόνῳ E ‖ αὐτὸν] ιγ' Q 9. 10 καὶ οἱ μὲν πέφνη δεκατρεῖς .... (exes.)τὸς πελάσθη ὡς καὶ ἡσίοδος οἱ δὲ πεντεκαίδεκα· ἄλλοι δ' ἓξ κτλ. (vid. 46, 5) D ‖ πέφνε δὲ] πέφνεον E 10 τρεῖς καὶ δέκα AB: δεκατρεῖς CD τρισκαίδεκ(α) EQ ‖ τετράτῳ Porph. ad K 252 (p. 148, 13 S.): τετάρτῳ ABCQ τέταρτον (αρ in ras.) E ‖ πεδάθη B: πελάθη AQ πελάσθη CD πεδώθη E 11 l.] om. AC δὲ (post οἱ) add.; ἐπεὶ τρεῖς Q 12 εἰσι] ./. /. A ‖ Μέρμης Q Μάρμαξ Paus. ‖ Ἱππόθεος E ‖ ὁ Ὀπούντιος B: ὀπούντιος AEQ ὁ πόντιος C 13 Αὐτεμέδων E 14 Τρικόλωνος Paus. ‖ Παρθάωνος C Thom. 87, 3 Ab. Παρθάονος v (ML Pausaniae) 15 Κρόταλος Paus. ‖ τούτῳ] τούτων E ‖ ἀπολλομένων (sic) AEQ: ἀπολωλότων B 15. 16 καὶ Ἡσ.] ὁ Ἡσ. E ‖ συμμαρτυρεῖ Qv 17 αὐτοὺς AC⁸: om. ‖ Μέρμναν E 18 Πρίαντα Paus. ‖ Ἀκαρμάντα B Ἀκαρᾶνα C 19 Λυκοῦργον v Paus.

ABEQ *Λάσιον· Χάλκωνα.* d. *τινὲς δὲ τοὺς ιγ´ οὕτως· Μέρμνωνα· Ἱππόθοον· Πέλοπα τὸν Ὀπούντιον· Εὐρύμαχον· Εὐρύλοχον· Ἱππομέδοντα· Λάσιον· Χάλκωνα· Αἰόλιον· Τρι-*
AB(D)EQ *κόρωνον· Ἀκαρνᾶνα· Ἀλκάθουν· Ἀριστόμαχον.* e. *ἄλλοι δὲ ἓξ εἶναι λέγουσιν οὕτως· Τρικόρωνον· Ἀριστόμαχον· Κυριάνοντα· Αἴολον· Πελάγοντα· Κρόνιον.* 119 E 127$^{a}$ Q

ABCDEQ 129 a. *ὁ μέγας δὲ κίνδυνος: ὁ περὶ τῆς ψυχῆς δη-*
ABCEQ *λονότι.* b. *οἷον, οὐδεὶς ἄναλκις ὑπομένει περὶ τῆς ψυχῆς κινδυνεύειν, ἀλλ᾽ ἔστι τὸ τοιοῦτον ἀνδρὸς ἀλκίμου. ὅμοιον τῷ παρ᾽ Ὁμήρῳ (Μ 246)·*

*σοὶ δ᾽ οὐ δέος ἔστ᾽ ἀπολέσθαι·*
*οὐ γάρ τοι κραδίη μενεδήιος οὐδὲ μαχήμων.*

c. *ἄλλως· τὰ δὲ ἐπικίνδυνα τῶν πραγμάτων οὐ δεῖται ἀτόλμων καὶ ἀθλίων ἀνθρώπων.* d. *ἢ οὕτως· τὸν ἀνδρεῖον μέγας κίνδυνος καταλαμβάνει.*

ABCDEQ 131 a. *θανεῖν δ᾽ οἷς ἀνάγκα: ἐν δὲ τοῖς ἀνθρώποις, οἷς ἐξ ἀνάγκης τὸ θανεῖν, διὰ τί δή τις ἄδοξον τὸ γῆρας ἐν ἀφανείᾳ καὶ ἀδοξίᾳ καθεζόμενος τήκει καὶ*
AB(C)EQ *καταναλίσκει μάτην, πάντων τῶν καλῶν | ἀμέτοχος ὑπάρχων;* b. *ἄλλως· οἷς ἀποθανεῖν ἀνάγκη, τί καί τις καθεζόμενος ὑπὸ τοῦ ἀνωνύμου γήρως ἕψοιτο; τὸ δὲ ἐν σκότῳ καθήμενος, ἀντὶ τοῦ ἀκινησίᾳ καὶ ἀκλείᾳ καθεστώς.* c. *ἄλλως· εἰ δεῖ ἀποθανεῖν τὸν ἄνθρωπον, ἄξιον αὐτὸν*
ABCDEQ *γενναίως ἢ ἀγεννῶς βιώσαντα τελευτᾶν.* d. *ἕψοι δέ, ἀντὶ τοῦ ἕψοιτο· οὐ γὰρ ἕψει τις τὸ γῆρας, ἀλλ᾽ ἕψεται*

---

1 *Λάγιον* AC ‖ *Χάλκωνα* CE: *Χάληναν* vel *Χάλκναν* A *Λάκωνα* B *Χαλκώδοντα* Paus. 1. 2 *Μέρμνονα* E 2 *Ἱππόθεον* E 3 *Εὐρύχολον* Bv ‖ *Αἴολον* Qv 3. 4 *Τρικόρωνα* B *Τρικόρανα* E 5 ἓξ] *ἑπτὰ* EQ ‖ *οὕτως* om. BEQ 6 *Κυρίανον* A$^{ac}$ 7. 8 *δηλονότι* CD: *δῆλον δῆλον ἐστί* A om. BEQv 8 *περὶ τ. ψ.* del. Chr. Schneider 9 *ἔστι* om. BE 9. 10 *ὅμοιον τῷ*] *οἱ μὲν τῶν* E 11 *οὐ*] *οὐδ* E *οὐδὲν* v 12 *μαχήμων* AB$^{pc}$: *μαχίμων* B$^{ac}$CE *μαχίμη* Qr 13 *ἐπικινδύνου* E 16 *ἀνάγκα* om. CD 17 *οἷς* om. v, unde 16. *εἰ* pro *ἐν* cj. b ‖ *τί*] *τὸ* E 18 *τήκοι* et 19 *καταναλίσκοι* C$^{ac}$ 19 *μάτην*] om. B *μάλιστα* E ‖ *πάντων*] *πρώτων* E$^{cp}$ ‖ *μέτοχος* E 21 *γέρως* E ‖ *σκότει* Q 23 sq. *γενναίως αὐτὸν* E 25 *ἕψει* A: *ἕψοι* (o ex corr. Q)

ὑπ' αὐτοῦ. e. ἀνώνυμον δέ, τὸ ἐν ἀπραξίᾳ καὶ ἀκλεὲς ὑπάρχον. f. ἄλλως· ἐπειδὴ πρόκειται τὸ ἀποθανεῖν, διὰ τί μὴ μετὰ δόξης τελευτῶμεν, γενναῖόν τι τολμῶντες; ABEQ Q

134 a. ἀλλ' ἐμοὶ μὲν οὗτος ἄεθλος: ἀλλ' ἐμοὶ μὲν ὑπὲρ τοῦ γάμου κινδυνεῦσαι πρόκειται, σοὶ δὲ τῇ γνώμῃ τὸ πέρας ἐπιθεῖναι. b. ἄλλως· ἐάν τε συμπράσσῃς, ὦ Πόσειδον, ἐάν τε μή, ἐγὼ ὑπομενῶ τοῦτον τὸν ἆθλον τοῦ γάμου. 137 A ABCDEQ

135. τὺ δὲ πρᾶξιν φίλαν: σὺ μέντοι δίδου τὴν νίκην καὶ τὴν εὐπραξίαν. 142 A

137 a. ὣς ἔνεπεν: οὕτως εἶπεν. C

137 b. οὐδ' ἀκράντοις ἐφάψατο ἔπεσι: ἀντὶ τοῦ, οὐδὲ ἀκράντων ἐπῶν. c. οὐδὲ ἀτελειώτοις ἐφήψατο λόγοις· παρέσχε γὰρ αὐτῷ ἃ ἐβούλετο· ἐνίκησε γὰρ καὶ ἔλαβε τὴν Ἱπποδάμειαν πρὸς γάμον. ABCDEQ

139 a. τὸν μὲν ἀγάλλων θεός: τοῦτον μὲν οὖν, φησι, τὸν Πέλοπα, κοσμῶν καὶ αὔξων, ἔδωκεν αὐτῷ τό τε χρυσοῦν ἅρμα καὶ τοὺς ταχεῖς ἵππους. ABC(D)EQ

139 b. ἀγάλλων: κοσμῶν, ὡς ἤδη, ἅτε θεὸς, πεπεισμένος περὶ τῆς νίκης. 144 A AB(C)EQ

139 c. (ἀγάλλων:) ποιῶν ἀγάλλεσθαι ἢ ἀγαλλόμενος. B[gl]

142 a. ἕλεν δ' Οἰνομάου: ἐνίκησεν. A

142 b. . . . . ⟨Οἰν⟩όμαον. ἕλε: ἐφόνευσε. ἢ ἔλαβε τὴν Ἱπποδάμειαν, ὡς τὸ ἔχω οἰκῶ καὶ συνοικῶ. D

143. παρθένον τε σύνευνον: ἀπὸ κοινοῦ τὸ ἕλεν. 145 A

144 a. ἃ τέκε λαγέτας ἓξ: ἥτις Ἱπποδάμεια. ABC(D)EQ

---

5 l. om. Q ‖ ἀλλ' (alt.) om. BEv 5.6 φησι varie add. CD 6 τῇ γνώμῃ B: τῆς γνώμης 7 τὸ πέρας om. Q ‖ τέ] τι E ‖ συμπράσσῃς AD: συμπράσῃς BC συμπεράσσεις E συμπράξῃς Q 8 ὑπομένων E ‖ ἆθλον] κόπον C 13 ἐφάψατ' A ἐφάψεται E om. CD?[D]Q ‖ ἔπεσι A[1]CD: ἔπεσσι A[s] om. BEQ ‖ ἀντὶ τοῦ] ἤγουν CD 14 οὐδὲ — ἐπῶν om. CD ‖ post ἐπῶν add. ἐφήψατο PQ ‖ ἐπῶν] εἰπὼν E ‖ ἀτελειώτ(οις) ἐφήψατο (ἐφάψατο E) λόγοις AE: ἀτελειώτων ἐφ. λόγων B(C)D ἀτελειώτοις λόγοις ἐπεχείρησε PQ 15 γὰρ (alt.)] δὲ E 18 ἔδωκεν] ὁ θεὸς ἔδωκεν Qb ἔδωκε φησὶν Bv 23 ἕλε A[pc] 24 init. scholii exesum 27 l.] ἃ τέκεν CD ἃ τέκε λάγ. Q ‖ Ἱπποδ. — p. 48, 5 οὕτως om. lac. rel. D

b. *λαγέτας*, ἡγεμόνας. τῶν λαῶν ἡγουμένους. c. λέγει δὲ Ἀτρέα· Θυέστην· Πιτθέα· Ἀλκάθουν· Πλεισθένην· Χρύσιππον. d. ἄλλως· Ἀτρεύς· Θυέστης· Ἀλκάθους· Ἵππαλκμος· Πιτθεύς· Δίας· ἢ Χρύσιππος, ἐξ Ἀξιόχης νύμφης· καὶ Πλεισθένης, ἐξ ἄλλης. e. τινὲς δὲ οὕτως· Ἀτρέα· Θυέστην· Ἵππαλκμον· Πλεισθένην· Πιτθέα· Πέλοπα τὸν νεώτερον. 126 A

Bgl 144 f. (*λαγέτας*:) ἡγεμόνας.

A 145. *ἀρεταῖσι μεμαότας*: ἐπιθυμοῦντας τῆς ἀρετῆς καὶ ταύτης ἀντεχομένους. 148

ABCDEQ 146 a. *νῦν δ' ἐν αἱμακουρίαις*: Βοιωτικὴ ἡ φωνή. Βοιωτοὶ γὰρ αἱμακουρίας τὰ τῶν νεκρῶν ἐναγίσματα λέγουσιν. b. ὁ δὲ νοῦς· ἐπὶ δὲ τοῦ παρόντος ὁ Πέλοψ ἐναγισμοῖς καὶ θυσίαις τελευτήσας τιμᾶται παρὰ τοῖς τοῦ Ἀλφειοῦ ῥεύμασι περισημότατον ἔχων μνῆμα παρὰ τῷ πολυξένῳ βωμῷ. c. περιφραστικῶς οὖν ταῦτά φησιν ἀντὶ τοῦ ἀπέθανεν. 149 A

Q d. ἄλλως· *αἱμακουρίαις*: τοῖς μεθ' αἱμάτων γινομένοις ἐναγισμοῖς. κατ' ἐνιαυτὸν δὲ ἐγίνοντο τῷ Πέλοπι, ὡς καὶ τοῖς λοιποῖς. ἡ δὲ ἐτυμολογία ἀπὸ τοῦ κορέννυσθαι τὰς ψυχὰς αἵματος.

A 148. *πόρῳ κλιθείς*: τῷ ῥεύματι. 146

ABCDEQ 149 a. *τύμβον ἀμφίπολον ἔχων*: τινές φασι μὴ μνῆμα, ἀλλ' ἱερὸν εἶναι τοῦ Πέλοπος, καὶ πρὸ τοῦ Διὸς

---

1—6 sch. Eur. Or. 5. Tzetzes exeg. Il. p. 68 sq. mant. prov. 2, 94  10 Hes. *αἱμακουρίαι*. EM 35, 7. Greg. Cor. p. 215  21 Paus. 5, 13, 1 sq.

---

1 *λαγέτας*] *λεγέτας* **E** *τέτοκεν* **C** ‖ ἐξ varie add. **Cv** ‖ *ἡγεμόνας καὶ ἡγουμ. τ. λ.* **Qb** ‖ *ἡγουμένους*] oblitteratum repet. **A**, prius frustra conatus supra scribere; *ἡ γὰρ μόνη* **E** ‖ post *ἡγουμένους* (post *λαῶν* **Q**) add. *ἔτεκε* **BEQ** (post Ἱπποδ. **v**)  2 *Πλεισθένη* **A**  3. 4 *Ἵππαλκος* **E** *Ἵππαλμος* **C** (sch. Or., mant. prov.) *Ἱππάλκιμος* Leutsch  4 ⟨*ἐκ*⟩ *Δίας* **h** ‖ *νύμφης*] ***νόθος*** m. prov. Tzetzes l. l. et Chil. 1, 417  6 *Πλεισθένη* **A** ‖ *Πιτθέα* om. **E** ‖ post *νεώτερον* add. *διὰ τὸ ἐν μέσῃ εἶναι τῇ πόλει* **A** (cfr. $149^{b}$)  8 *μεμαῶτας* vel *-τε* $A^{ac}$  13 *ἐναγίζων* **E** ‖ *τοῖς* om. **E**  14 *περίσημον* **B** ‖ *σῆμα* **CD**  15 *οὖν* om. **CD** ‖ *ταῦτα — τοῦ* om. **BEQ**  21 l.] *ἐν δὲ (τῷ) τύμβον ἔχων* **CF** *ἐν δὲ τῷ τύμβῳ* **D** ‖ *τινές — 22 ἱερὸν* **BEQ** Thomas 93, 11 Ab.: *τινές φασι μνῆμα, ἄλλοι ἱερὸν* **A** *οἱ μὲν μνῆμα, ἄλλοι δὲ ἱερὸν* **CDF**  22 *εἶναι*] om. **B** *εἶναι φασὶν* **C** *ὥς φασι* **D**

αὐτῷ τοὺς Ἠλείους θύειν, | τοῦ Ἡρακλέους πρώτου κατὰ ABCEQ
τιμὴν τοῦτο πεποιηκότος. b. ἀμφίπολον δέ τινες τὸν περι-
πολούμενον, διὰ τὸ ἐν μέσῃ εἶναι τῇ πόλει· οἱ γὰρ οἰκισταὶ
ἐν μέσαις ταῖς πόλεσιν ἐθάπτοντο ἐξ ἔθους. c. ἄλλοι δὲ
πολούμενον ὑπὸ τῶν ἀγωνιζομένων· ἐν γὰρ τῷ σταδίῳ ἐστὶν
αὐτῷ ὁ τάφος. d. περιπολούμενον, ὡς τῶν ἐπιφοιτών-
των διὰ τὸ ἄγαν τῆς κατασκευῆς ἐκπρεπὲς κύκλῳ περιιόν-
των καὶ θεωμένων. e. ἔνιοι δὲ ὅτι οἱ δρομεῖς εἰς τὸν ABCDEQ
τάφον τοῦ Πέλοπος ἔκαμπτον.

149 f. ⟨ἀμφίπολον:⟩ διὰ τὸ ἐν μέσῃ εἶναι τῇ πόλει. A

150 a. πολυξενωτάτῳ παρὰ βωμῷ: ἔνιοι μὲν οὖν ABCDEQ
ἐνόησαν, ὅτι πολύξενόν φησι τὸν βωμὸν τὸν παρὰ τῷ τάφῳ
τοῦ Πέλοπος ἑστῶτα διὰ τὸ πλῆθος τῶν εἰς τὴν Ὀλυμπίαν
στελλομένων ἀγωνιστῶν τε καὶ θεατῶν, καί φασι τὸν ἑστῶτα
παρὰ τῷ Πέλοπος τάφῳ βωμὸν Πέλοπος εἶναι, ἔνθα αὐτῷ
τὰ ἐναγίσματα γίνεται. b. οἱ δὲ οὕτως· ὅτι Ἴαμος Ἀπόλ-
λωνος παῖς παρὰ τοῦ πατρὸς τὴν μαντικὴν λαβὼν περὶ τῆς
ἱερωσύνης ἔλεγε τοῖς ἐρωτῶσι. διὰ τὸ πλείστους οὖν ξένους
τῆς μαντικῆς ἕνεκεν ἀφικνεῖσθαι, πολυξενώτατον εἶπε τὸν
βωμόν. | καὶ τοῦτον τὸν βωμὸν Διὸς καὶ Πέλοπος λέγουσιν ABEQ

---

1 αὐτῷ] αὐτοὺς E ‖ Ἡρακλέος BQ 2. 3 τὸν περιπ. om. A ‖ περιπολήμενον E 3 εἶναι] οὖν E ‖ οἱ — 4 ἔθους om. C 4 ἔθαπτον B ‖ ἐξ ἔθους] ἰξέσθαι E ‖ δὲ ABCD: δὲ ἀμφίπολον τὸν PQb 5 πολύμιον E τὸν περιπολούμ. Thom. 93, 15 Ab. ‖ ὑπὲρ E ‖ γὰρ] γῇ E ‖ ἐστὶν om. CE 6 αὐτῷ B: αὐτοῦ A(C)Q αὐτῶν E ‖ sch. d praem. ἢ AC ἄλλως ἀμφίπολον B τύμβον ἀμφ. EQ 7 τῆς κατασκευῆς om. E ‖ ἐκπρεπὲς A(C): εὐπρεπὲς BQ ἐκπρέπον E 7. 8 περιόντων CE 9 τάφον BEQ: τύμβον ACD 11 πολυξενοτάτῳ BCDQ πολυξενώτατον E ‖ παρὰ βωμῷ] om. CDQ περὶ βωμοῦ E 11 οὖν — 12 φησι] πολυξενότατον ἐνόησαν C (D? exes.) ‖ οὖν om. E 12 φασι [D]EQ ‖ περὶ [D]E(Q)r (corr. iam Beck) ‖ τύμβῳ D 13 ἑστῶτα om. Bv ‖ τὰ Ὀλύμπια CD 15 τῷ AC^pc Q: τ(ῷ) vel τ(οῦ) B^cp τοῦ E τὸν C^ac D ‖ Πέλοπι Q^pc ‖ τάφῳ Schneider: αὐτοῦ ACDEQ om. Bv ‖ βωμὸν CDEQ: βωμῷ ABFK ‖ Πέλοπος AC(E^cp?)K: Πέλοπα B[D]Qv ‖ αὐτῶν E 16 οἱ] ἔνιοι Bv ‖ ἴαμβος Bv (corr. Beck) 17 περὶ] παρὰ A 18 διὰ τὸ πλ. οὖν Q: δ. τὸ πλ. εἶναι AE δ. τὸ πλ. γοῦν CD διὰ γοῦν τὸ πλ. Bv. Cfr. Lehrs Pindarsch. p. 198 19 ἕνεκα Q ‖ πολυξενότατον BCDQ 20 τοῦτον τὸν] τοῦτον Bv

οἱ ταύτην τὴν ἐξήγησιν ἐκδεξάμενοι. c. ἐπεὶ πολλοὶ ξένοι εἰσρέουσιν εἰς τὸν Ὀλυμπιακὸν ἀγῶνα· βωμὸς γὰρ ἐν Πίσῃ, ἐφ' ὃν θύουσι πάντες οἱ ξένοι.

ABCDEQ 151 a. τὸ δὲ κλέος τηλόθεν δέδορκεν: ὁ νοῦς· τὸ δὲ τῆς Ὀλυμπίας κλέος ἄνωθεν ἀπὸ τῆς τοῦ Πέλοπος οἰκήσεως ὁρᾶται· ὡς ἐκείνου τὸ τέλειον τῷ Ὀλυμπιακῷ ἀγῶνι περιθέντος. b. τὸ τηλόθεν χρονικῶς ἀκουστέον. c. τὸ
AB(C)EQ δὲ δέδορκεν, ἀντὶ παθητικοῦ τοῦ δέρκεται· | ἵν' ᾖ, ὁρᾶται. d. τουτέστι πανταχῇ βλέπεται καὶ ὁρᾶται ὁ Ὀλυμπιακὸς ἀγών. ἰδίως δὲ τὸ δέδορκεν ἐξενήνοχεν ἀντὶ παθητικοῦ τοῦ βλέπεται. e. ὅτι μακρόθεν ὁρᾶται τὸ κλέος καὶ εἰς δεῖξιν
ABEQ πίπτει. f. ἄλλως· τηλόθεν δέδορκε: τουτέστι πανταχῇ
BE βλέπεται καὶ βοᾶται ὁ Ὀλυμπιακὸς ἀγών. | τὸ γὰρ δέδορκεν, ἀντὶ παθητικοῦ τοῦ βλέπεται.

ABCDQ 154 a. ἵνα ταχυτὰς ποδῶν: πρῶτον γὰρ εὑρέθη δρόμου τὸ ἄσκημα, καὶ ἡ πρώτη θέσις τῶν Ὀλυμπίων δρόμου ἦν τὸ σχῆμα.

BEQ 154 b. ταχυτὰς ποδῶν ἐρίζεται ἀκμαί τ' ἰσχύος:
ABCDEQ ἀπὸ κοινοῦ τὸ ἐρίζεται. c. ὁ δὲ νοῦς· ἔνθα πρὸς ἀλλήλας ἐρίζουσι καὶ φιλονεικοῦσιν αἱ τῶν ἀκμαίων ἰσχύες, αἳ γενναίως πρὸς τοὺς πόνους χωροῦσι. d. τὸ δὲ ἀκόλουθον, αἱ ἀκμαῖαι ἰσχύες. e. ἀντὶ τοῦ, ἔνθα γίνονται καὶ δρό-

---

2 βωμὸν E 3 ἐφ' ὃν Bv: ἀφ' ὃν E ἀφ' οὗ A ἐφ' οὗ Qb 4 l. sic A: τηλόθε(ν) δέδορκεν BEQ τὸ δὲ κλέος C[D] ‖ ὁ νοῦς om. AC[D] 5 δὲ] δὲ περὶ E om. Q ‖ Ὀλυμπιάδος Gb Ὀλυμπιακῆς ἀγωνίας C ‖ ἄνωθεν] τηλόθεν καὶ ἄνωθεν CD ‖ τῆς om. E 6 τέλειον] τέλος καὶ E 7 περιέθετο E ‖ sch. b. praem. ἄλλως τηλόθ(εν) BQ ἢ ACD ἄλλως E ‖ τηλόθε BE 8 ἀντὶ] ἀντὶ τοῦ AE 9 τουτέστι πανταχῇ (-χοῦ Q) AEQ: ἀπανταχῇ Bv ‖ βλέπεται καὶ ὁρᾶται AE ὁρᾶται καὶ βλέπεται Q: βλέπεται καὶ ἀκούεται Bv βλέπεται Beck 10 δὲ] τε C om. E ‖ δέδορκας E[2] (ras.) ‖ ἐξενήνοχας BE[2] (ras.) ‖ ἀντὶ — 11 βλέπεται om. AC 10 ἀντὶ] ἀντὶ τοῦ EQ 12 ἄλλως — τουτέστι] ἢ ὅτι A ‖ δέδορκεν B ‖ τουτέστι EQ: ἀντὶ τοῦ B ‖ πανταχοῦ AE 13 βοᾶται] ὁρᾶται Schroeder ‖ γὰρ B: δὲ E 14 ἀντὶ B: ἀντὶ τοῦ E 15 ἵνα om. B ‖ ταχύτας C[1]D ‖ πρῶτον] ὅτι πρῶτον CD 15. 16 τοῦ δρόμου DKb 18 ταχ. ποδ. ἐρ. om. EQ 19 ὁ δὲ νοῦς om. BEQ 20 καὶ φιλ. om. CD 20 αἳ — 22 τοῦ om. D 20. 21 αἱ et χωροῦσαι b 22 ἀκμαῖαι A: ἀκμαὶ αἱ ‖ ἀντὶ τοῦ] τουτέστιν A om. C ‖ γίνονται] om. Bv γὰρ EQ

μοι καὶ πάλαι | καὶ παγκράτια καὶ πυγμαί· τοῦτο γάρ ἐστι ABCEQ τὸ θρασύπονοι ἀκμαὶ ἰσχύος.

157 a. ὁ νικῶν δὲ: ἔξωθεν ἀκουστέον τὸν Ὀλυμπια- ABCDEQ κὸν ἀγῶνα. b. ὁ νικῶν εὔδιον καὶ ἡδὺν τὸν λοιπὸν ἔχει βίον· ὡς τοῦ τέλους τῶν ἀγωνισμάτων ἐν τῷ Ὀλυμπιακῷ ὄντος | ἀγῶνι, καὶ τοῦ νικήσαντος ἔχοντος τὸ τέλειον τῆς ABCEQ δόξης. c. ἄλλως· ὁ νικῶν δὲ τὸν λοιπὸν αὐτοῦ βίον ABEQ διάγει ἐν τῇ γῇ μέλι ῥεούσῃ. d. ⟨μελιτόεσσαν εὐδίαν:⟩ ἀντὶ τοῦ, [ἔχει] ἡδεῖαν ἀνάπαυσιν. e. ἄλλως· ἀμφίβολον πότερον ὁ νικῶν τὰ Ὀλύμπια εἰς τὸν μετὰ ταῦτα χρόνον ἐν εὐδίᾳ ἐστὶν ἕνεκα τῶν ἄθλων· οἷον, ἕνεκα τοῦ νικῆσαι τὰ Ὀλύμπια ἐν εὐθυμίᾳ ἐστί, πολλάκις μέντοι εἴωθε δι' ἑτέρας συμφορὰς λυπεῖσθαι· ἢ οὕτως· ὁ νικήσας τὰ Ὀ|λύμπια BEQ ἕνεκα τῶν ἄλλων ἄθλων ἐν εὐδίᾳ ἐστίν· οὐκέτι γὰρ φιλοδοξεῖ οὐδὲ ἐπιθυμεῖ νικῆσαι ἕτερον ἀγῶνα. f. ἄλλως· ὁ νικῶν ἐν εὐδίᾳ διάγει ἡδόμενος ταῖς νίκαις.

158. (μελιτόεσσαν εὐδίαν:) ἡδεῖαν ἀνάπαυσιν. B^gl

159 a. τὸ δ' αἰεὶ παράμερον ἐσλόν: οἱ ἄνθρωποι BCDEQ τῶν ἔμπροσθεν πεπραγμένων ἀγαθῶν οὐκ εἰώθασι μεμνῆσθαι, ἀλλὰ τὸ παρ' ἡμέραν ἢ καλὸν ἢ κακὸν σκοποῦσιν·

---

8 Exod. 3, 8.

---

1 πάλαι] παλάτ(ια) E ‖ καὶ παγκρ. καὶ πυγμαί om. C ‖ πυγμή E 2 post h. sch. μελιτόεσσαν εὐδίαν· ἀντὶ τοῦ ἡδεῖαν ἀνάπαυσιν E (id. paullo aliter repet. 157^d) 3 l. add. λοιπὸν ἀμφιβόητον ἔχει A λοιπὸν add. CD (E, vid. infra) Q ‖ ἀκουστέον ACDQ: ἐξακουστέον Bv λοιπὸν ἀκουστέον E 4 ὁ] ὁ γοῦν τοῦτον Bv; cfr. Lehrs Pindarsch. p. 198 ‖ ἡδὺν τὸν] ἥδιστον Bv 5 τέλους CD: τελείου 6 τὸ τέλος ἔχοντος E (τέλος et C)

8 τῇ γῇ] εὐδίᾳ cj. b ‖ μελιρρεούσῃ E 8 sq. l. addidi, ἔχει delevi (om. et v) cum E^a (vid. supra ad vs. 3) 9 ἀντὶ — ἡδεῖαν] τουτέστιν ἡδεῖαν ἔχει A ‖ ἀμφίβολον δὲ, om. ἄλλως A 10 πρότερον B^ac 11 εὐδίᾳ] ἀδ(είᾳ?) E 12 πολλάκι Bv 13 συμφορᾶς A ‖ νικῶν E ‖ τὰ Ὀ] hic def. sch. A (f. 185^r); seq. vac. f. 185^v

14 ἕνεκε E ‖ ἀδ(είᾳ?) E 16 ἐν εὐδίᾳ B: εὖ EQ 18 αἰεὶ CD: ἀεὶ BEQv ‖ ἐσλόν B: ἐσθλόν E om. CDQ ‖ φησι post ἄνθρωποι add. CD 19. 20 μνημονεύειν Bv 20 τὸ CD: om. BEQv ‖ ἢ κακὸν ἢ καλὸν Bv ‖ σκοποῦσιν — p. 52, 2 εἶναι] . . . (lac.) τὸ γοῦν . . . (exes.) γινόμενον κρίνεται μέγιστον D

ἑκάστῳ οὖν, φησι, τῶν ἀνθρώπων τὸ παρ' ἡμέραν γινό-
**BEQ** μενον κρίνεται μέγιστον εἶναι. b. ἄλλως· τὸ διὰ τῶν
ἄθλων παραγινόμενον ἀγαθὸν παρ' ἐκείνην τὴν ἡμέραν τὴν
ἐνεστῶσαν, ἐν ᾗ τις ἐνίκησεν, ὕπατον δοκεῖ καὶ μέγιστον
ἀγαθὸν τῷ τετυχηκότι. c. ἢ οὕτω· τὸ παρ' ἡμέραν γινό-
**BCEQ** μενον· τὰ γὰρ ἐνεστῶτα τῶν μελλόντων προκρίνεται. d. ἄλ-
λως· τὸ δὲ καθ' ἡμέραν καὶ ἀδιαλείπτως παρὸν τοῖς ἀν-
θρώποις ἀγαθόν, τοῦτο ἔξοχον καὶ ὑπεράνθρωπον γίνεται
**BEFKQ** ἀγαθόν. e. ἢ οὕτω· τὸ δὲ παρὰ τὴν τοῦ στεφάνου ἡμέ-
ραν ἀγαθὸν ὕπατον γίνεται παντὶ ἀνθρώπῳ. ἡ δὲ ἡμέρα
**BCDEQ** καθ' ἥν τις στέφεται τιμιωτάτη ἐστίν. f. ἄλλως· ἐάν τις
πρότερον εὐτυχῇ ἐν τῷ ἄλλῳ βίῳ καὶ πάλιν εὐτυχήσας
νικήσῃ, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν ᾗ ἐνίκησεν ἐπιλέλησται τῶν
**Q** προτέρων εὐτυχημάτων. g. ἄλλως· τὸ γὰρ κατὰ προαίρεσιν
συμβαῖνον ἀγαθὸν ὕπατον καὶ μέγιστον γίνεται παντὶ ἀν-
θρώπῳ· ὥσπερ καὶ ὁ Ἱέρων ἐπιθυμήσας νίκης ἐνίκησε καὶ
ἐγένετο αὐτῷ τοῦτο τὸ παρ' ἡμέραν ἀγαθὸν κατὰ προ-
αίρεσιν τελεσθὲν ὕπατον καὶ μέγιστον.

**BCDEQ** 164 a. *Αἰοληίδι μολπᾷ*: ἤτοι ποικίλῃ· ποικίλα γὰρ
τὰ λυρικά· ἢ Θηβαίᾳ· οἱ γὰρ Αἰολεῖς ᾤκησαν τὰς Θήβας.
b. τινὲς δέ φασιν ὅτι ἄνωθεν Αἰολεὺς τὸ γένος ὁ Πίνδα-
ρος· οἱ δὲ ὅτι Αἰολίῳ ῥυθμῷ διὰ τῆς μουσικῆς χρῆται τῶν
ποιημάτων.

**BCDEQ** 165 a. *πέποιθα δὲ ξένον*: ἐμαυτῷ. τὸν Ἱέρωνα.
ἐμπεριέχοντα καὶ δύο τῶν καλῶν· ὅ ἐστιν, ἀγαθὸν καὶ

---

1 τὰ et γινόμενα **E** 2 διὰ scripsi: δὲ 3 περιγιν. **E** 6sqq. sch. d post f trp. **CFK** 7 δὲ om. **CFK** ‖ παρὸν **Q** et (post ἀνθρώποις trp.) **C**: παρὰ **BEFKv** 8 ἔξοχον καὶ **BCQ**: ἐξόχως **EFK** ‖ ὑπὲρ ἄνθρ. codd. 9 περὶ **Qv** 11 ἐστίν om. **Bv** 12 ἄλλῳ] προτέρῳ **C** ‖ εὐτυχήσας νικήσῃ **BQ**: εὐτυχήσας [ἐνίκησεν] **D**[**D**] (cfr. 13) ἀτυχήσας νικήσῃ **E** εὐτυχήσῃ νικήσας **CFK** 13 ἐν — ἐνίκησεν om. **D** ‖ τῇ μέρᾳ **E** 14 προτέρων **BEQ**: πρώτων **D** πρώην **CFK** ‖ ἀτυχημάτων **E** 19 Αἰολίδι **DQ** ‖ ποικίλα — λυρικά om. **CD** 20 ἔκτισαν **C** (abest **D**) 21 ἄλλως praem. **EQ** ‖ φασιν om. **C** φασιν ὅτι om. **D** ‖ ὅτι] οὕτως **E** 22 αἰολείῳ **C**pc? **D** ‖ χρᾶται **Qv** 23 πονημάτων **B** 24 ξένον om. **C** (hab. [**D**]) ‖ ἐμαυτῷ **Qr**: ἐμαυτ(ῷ?) **B** ἐμαυτὸν **E** ἐμαυτοῦ **h** πέποιθά φησιν ἐμαυτῷ μή τινα ξένον εἶναι ὡς **C**(**D**) 25 ἐμπεριέχεται τὰ δύο καλὰ **CD** ‖ ἀγαθὸν] ἀγ. ὄντα **CD**

*δυνάμενον ὃ βούλεται συντελεῖν.* | *ἐνίοις γὰρ τὸ ἕτερον* **BCEQ**
*ἠκολούθηκεν, οὐ τὰ δύο.* b. *ἄλλως· πεπίστευκα δὲ καὶ*
*πέπεισμαι ἀκριβῶς, μηδένα με ἔτι φίλον τῶν νῦν ἀν-*
*θρώπων ἐγκωμιάσαι τοῖς ὕμνοις ἀμφότερα ἔχοντα, καὶ*
*ἐπιστήμονα τὰ κατὰ ψυχὴν καὶ σώματος ἰσχὺν τούτου*
*ἀνδρειότερον· ἅπερ τὰ δύο τῷ Ἱέρωνι πάρεστιν.*
c. *ἔνιοι δὲ κατὰ τοῦ Πινδάρου αὐτὸ ἀκούουσιν, ὅπερ καὶ*
*μᾶλλον διὰ τὰ ἑξῆς ἐπαγόμενα· ἵν' ᾖ τὸ ἐγκώμιον ἐφ'*
*αὐτῷ κινῶν ὁ Πίνδαρος, καὶ ὁ νοῦς τοιοῦτος·* | *πιστεύω* **BCDEQ**
*δὲ μηδένα ἄλλον ποιητὴν ἐπιστήμονά τε εἶναι καὶ ἀν-*
*δρεῖον καὶ οὕτω δύνασθαι τοὺς φίλους ἐγκωμιάζειν ὥσπερ*
*ἐμαυτόν.* d. *ἄλλως· πεπίστευκα δὲ ὅτι οὐδένα ὕμνησα* **CDEQ**
*ἀμφότερα ἔχοντα, ἐμπειρίαν τε καλῶν καὶ δύναμιν· ἀνα-*
*φέρεται δὲ τοῦτο εἰς Ἱέρωνα.* e. *ἄλλως· τεθάρρηκά, φη-* **Q**
*σιν, ὅτι κυρίως ὑμνῶ τὸν εὐδύναμον καὶ φιλάρετον καὶ*
*δίκαιον καὶ γενναῖον.*

169 a. *δαιδαλωσέμεν ὕμνων πτυχαῖς: κοσμήσειν.* **BCDEQ**
*πτυχαῖς, ταῖς ποιήσεσιν· ἐπεὶ διαιρεῖται εἰς στροφὰς καὶ*
*ἀντιστρόφους καὶ ἐπῳδάς.* b. *ἄλλως· ὕμνων πτυχαῖς:*
*τοῖς ὕμνοις κατὰ περίφρασιν.* | *οἰκείως δὲ πρὸς τὸ δαι-* **BCEQ**
*δαλωσέμεν καὶ τὸ ποικίλλειν, ὥσπερ ἐπὶ κατασκευάσματος,*
*τὸ πτυχαῖς ἐπήγαγεν.*

171 a. *θεὸς ἐπίτροπος: οἱ μέν, φροντιστὴς τῆς σῆς* **CEHQ**

---

1 δ] *ὡς* **C** *ὦ* **D** ‖ *ἐνίοις* **C**: *ἐνὶ* **BEQv** ‖ *γὰρ* **BEQv**: *δὲ* **C** 2 *ἠκολούθησεν* **C** ‖ *ἄλλως* om. **C**[1] 2. 3 *δὲ καὶ πέπεισμαι* om. **C** ‖ *με*] om. **C** *μὲν* **E** ‖ *ἔτι φίλον* om. **E** 4 *ἐγκωμιάσαι* **BCQ**: *ἐγκωμιαστικοῖς* **E**. Ft. *ἐγκωμιάσειν* 6 *ἅπερ τὰ*] *ἅπαντ(α)* **E** ‖ *τὰ δύο*] *ἄμφω* **C** 7 *αὐτὸ*] *τοῦτο* **C** *αὐτοῦ* **E** 8 *τὰ*] *τῶν* **C** ‖ *ἐπαγόμενα*] *δηλοῖ* **C** ‖ *ἵν' ᾖ* — 9 *τοιοῦτος* om. **C** 8. 9 *ἐφ' αὐτῷ* ego: *ἐπ' αὐτῷ* ‖ *κοινῶν* **E**[pc] 10 *δὲ*] *μὲν* **E** 10. 11 *καὶ ἀνδρεῖον εἶναι* **CDQ** ‖ *ἐγκωμιάζειν* om. **E** 12 *ἄλλως* **EQ**: *ἢ οὕτως* **CD** ‖ *ὅτι* **EQb**: *ὡς* **CD** 13 *ἀμφότερα* **EQb**: *ἀμφότερον* **CD** ‖ *ἐμπειρίας* **E** ‖ *τε καλῶν καὶ* **CD**: *τε καὶ ἄλλων* **EQb** 14 *εἰς τὸν Ἱ.* **CD** 17 *δαιδαλωσέμεν* om. **CD** ‖ *κοσμήσειν*] om. **CD** *κοσμήσεις* **E** 18 *τοῖς ποιήμασιν* **GQb** 19 *ἀντιστροφας* (s. acc.) **B** ‖ *καὶ ἐπῳδάς* om. **E** ‖ *ἐπῳδούς* **b** ‖ *ἄλλως* om. **CD** 20 *τᾷ ὕμνῳ* **B** 21 *ποικίλλειν* **B**: *ποικίλοις* **CE** *ποικίλον* **Q** 22 *ἐπήγαγεν*] des. f. 15[r] B; f. 15[v] inc. O. II 23 *οἱ*] *ὁ* **v** ‖ *θεὸς* post *μὲν* add. **C** ‖ *φροντιστὴν* **E**[e corr.]

εὐδαιμονίας, ὦ Ἱέρων, ἀδιάπταιστόν σοι τὴν εὐδαιμονίαν CDEHQ φυλάττει. οἱ δὲ πάλιν ἐπὶ τοῦ Πινδάρου· | ἐπίτροπος θεὸς ἐπὶ τῷ ἐμῷ τρόπῳ· καὶ λέγει τὴν Μοῦσαν. b. θεὸς ἐπόπτης καὶ διοικητὴς τεαῖσι μήδεται μερίμναις, κῆδος ἔχων τοῦτο, εἰς τοῦτο σπουδάζων τὸ σοῦ προνοεῖσθαι. c. ἄλλως· θεὸς ἐπίτροπός σου ὢν ἔχει τε καὶ φυλάσσει τοῦτο HQ ταῖς σαῖς μερίμναις, τὸ νικᾶν σε. d. ἢ ὅτι θεὸς ἐπίτροπός σου ὢν τοῦτο ἐργάζεται· τὸ γὰρ μήδεται νῦν τοῦτο CDEHQ σημαίνει. e. **ταῖς τεαῖσι μερίμναις**: ἔμπειρόν τε εἶναι καὶ δυνατὸν τῶν καλῶν καὶ δραστήριον.

$E^{g1}$ 173. γράφεται καὶ **κῦδος** ἔχων ἀντὶ τοῦ συνέχων τοῦτο κῦδος.

CDEHQ 174 a. **εἰ δὲ μὴ ταχὺ λίποι**: εἰ δὲ μὴ ταχέως με ἐπι- EHQ λίποι ἡ Μοῦσα· | καὶ φανερώτερον τὸν λόγον ἐφ' ἑαυτοῦ τίθησι Πίνδαρος. οὐκ ἦν γὰρ προσῆκον περὶ τοῦ ἐγκωμιαζομένου λέγειν, ἐὰν μή σε ἐπιλίποι ἡ εὐδαιμονία, ἀλλὰ μετριώτερον ἔστιν αὐτὸ λαμβάνειν, ἐὰν ἐπὶ τοῦ Πινδάρου CDEHQ ἀκούωμεν· ἐὰν οὖν, φησι, μή με ἐπιλίποι ἡ Μοῦσα, | συνήσομαί σοι καὶ αὖθις τεθρίππῳ νικήσαντι γλυκερώτερον καὶ ἡδύτερον ὕμνον γράψαι καὶ ἐγκωμιάσαι σε, βοηθὸν τῶν ἐμαυτοῦ ποιημάτων εὑρίσκων τὴν σὴν νίκην· σοῦ γὰρ νικήσαντος ἔσται μοι πρόφασις καὶ ὁδὸς ἀφ' ἧς με δεῖ ἐγκωμιάσαι.

CEHQ 174 b. ἄλλως· **εἰ δὲ μὴ ταχὺ λίποι**: ἔνιοι οὕτως συνέθηκαν τὸν λόγον· ἐὰν μή με ὁ βίος ταχέως ἐπιλείψῃ,

---

1 διάπταιστον **EKQ** 2 ὁ θεὸς **Hv** 3 ἐπὶ [**D**]**EHQ**: ἤγουν **C** om. **v** 4. 5 κῆδος ἔχων τοῦτο om. **CD** 5 προνοεῖν **EK** 5. 6 ἄλλως om. **CD** 7 τὸ νικᾶν σε et 9 ταῖς τεαῖσι μερίμναις om. **Ev** (haplogr.) ‖ νικᾶν σε] νικῆσαι $Q^{ac}$? νικῆ(σαι) σε **D**? 8 νῦν om. **H** 9 sq. ad 165 pertinere vid. 9 ταῖς — μερίμναις **HQ**: om. **E** (vid. supra) ἢ **C** ἢ τὸ **D** 10 δυνατὸν] τὸν **E** ‖ δυν. et καὶ om. **v** ‖ τοῖς καλοῖς **CD** τῶν κακῶν **E** ‖ post δραστ. add. μήδεται δὲ, ἐργάζεταί σε νικητήν **v** 13 με om. **E** 15 γὰρ om. **E** 17 ἔστιν om. **E** ‖ ἐὰν et 18 ἀκούωμεν om. **v** 18 φησὶν οὖν ἐὰν **HQ** ‖ ἐπιλίποι **Ev**: ἐπιλείψῃ **H** ἐπιλείψοι **Q** 19. 20 καὶ ἡδ. om. **DQ** 20 γράψαι [**D**]**EHQ**: ᾆσαι **C** ‖ σε] δὲ **E** 22 ἀφ' ἧς — ἐγκωμιάσαι [**D**]**EHQ**: ἐγκωμιάζειν σε **C** 22 με] μὲν **E** 24 ἄλλως et l. om. **C** 25 ἐπιλίπῃ, s. s. οι **C**

ἀντὶ τοῦ, ἐὰν μὴ τελευτήσω, ἀλλὰ ζῶ, σὺν τῷ ταχεῖ τεθρίππῳ παραγεγονὼς εἰς τὸν εὐδείελον Κρόνιον, τουτέστι τὴν Ὀλυμπίαν, ἐλπίζω γλυκυτέραν σοι καὶ ἡδίω τῆς νῦν ᾆσαι ᾠδήν, ὁδὸν καὶ πρόφασιν τῶν λόγων μου τὴν σὴν εὑρίσκων νίκην. c. τὸ δὲ σὺν ἅρματι παραγεγονώς, οἱονεὶ σοῦ τεθρίππῳ CDEHQ νικήσαντος ἐν τῇ Ὀλυμπίᾳ καὶ ἐμοῦ ἐπὶ τῇ τοιαύτῃ νίκῃ γράφοντός σοι τὸν ὕμνον. d. ἄλλως· εἰ δὲ μὴ ταχὺ λί- EHQ ποι, ἔλπομαι πρὸς εὐδείελον ἐλθὼν Κρόνιον καὶ ἐπίκουρον εὑρὼν λόγων ὁδόν, ἔτι γλυκυτέραν σὺν ἅρματι θοῷ κλεΐξαι σου τὴν νίκην, ὦ Ἱέρων. e. ἄλλως· εἰ δὲ μὴ ταχὺ λίποι ὁ αἰών, ὦ Ἱέρων, καὶ ἅρματί σε νικήσαντα ἐλπίζω ὑμνήσειν. f. δύναται δὲ καὶ οὕτως ἀκούεσθαι· εἰ δὲ μὴ ταχὺ CDEHQ λίποι ὁ ἐπίτροπός σου δαίμων, ἔλπομαι ἐπίκουρον εὑρὼν ὁδὸν λόγων, ποιήσειν ἐγκώμιον βοηθῶν σου τῇ δόξῃ. 179[b] HQ

179 a. *Κρόνιον*: ἀκρωτήριον τῆς Πίσης· περὶ γὰρ τὸν CDHQ Κρόνιον λόφον ἄγεται [τὰ Ὀλύμπια] ὁ ἀγών. 180[b] HQ

179 b. *ἐμοὶ μὲν ὦν Μοῖσα*: ἐμοὶ μὲν οὖν δυνάμει CDEHQ ἡ Μοῦσα ἰσχυρότατα βέλη τρέφει τῶν λόγων, ὥστε βάλλειν καιρίως τοῖς ὕμνοις τοὺς νικηφόρους. c. ἄλλως· ἐγὼ μὲν ἐπὶ μουσικῇ πέποιθα· τὸ ἐμὸν βέλος ὑπὸ Μούσης τρέφεται· σὺ δὲ ἐν τῷ πλουτεῖν μέγας εἶ. 179[a] HQ

180 a. *βέλος ἀλκᾷ τρέφει*: τρέφει εἴρηκεν ἀντὶ τοῦ EF ἀλκὴν αὔξει.

---

1 ἀντὶ τοῦ E: ἤγουν C om. HQ ‖ ἐὰν] ἂν E ‖ τῷ τεθρίππῳ τε τῷ ταχεῖ E 2 εὐδείελον K: εὐδίελον ‖ Ὀλύμπου Q 3 καὶ ἡδίω om. C ‖ ὁδὸν — 4 νίκην om. C 4 εὑρίσκω E 5 παραγεγονὼς om. CD ‖ οἱονεὶ] ἀντὶ τοῦ CD ‖ σοῦ] om. DEv τοῦ Q 6 τῷ Ὀλύμπῳ Q ‖ τῇ (alt.) om. DEQ 7 γράψαντος CD ‖ σου Ev ‖ τάχα b 8 ὁ αἰών σε Ἱέρων post λίποι add. E 9 λόγων ὁδὸν] ὁδὸν λέγων E 11 ὦ om. E 12 δύναται — ἀκούεσθαι EHQ: ἢ C(D? lac. [D]) 13 ἔλπομαι] εὖ ἔλπομαι E 13. 14 ὁδὸν εὑρὼν CD 14 λόγον CQ λέγων E ‖ σοι E 17 τὰ Ὀλ. seclusi ‖ ὁ ἀγών om. HQv 18 Μοῖσα om. CDQ, ἐκ ταύτης τῆς προφάσεως αἰτεῖ τὸν Ἱέρωνα λέγων add. C(D) ‖ οὖν δυν. om. C (lac. [D]) 19 ἡ Μοῦσα iter. E ‖ μέλη Q[ac]v 21 μουσικὴν E ‖ πέποιθε(ν) [D]Q ‖ μουσικῆς Ev μουσικῆς Μούσης h 22 πλούτῳ CD 23 βέλος] οὐ βέλος EFK

HQ 180 b. *ἄλλοισι δ' ἄλλοι μεγάλοι*: ἐκ ταύτης τῆς προφάσεως αἰτεῖ τὸν Ἱέρωνα.

EHQ 181. *τὸ δ' ἔσχατον κορυφοῦται*: τὸ δὲ τελευταῖον καὶ τὸ πλῆρες, οὗπερ οὐκ ἔστιν ὑπερβολὴν τοῖς ἀνθρώποις εὑρεῖν, ὑψοῦται καὶ ἔστι τοῖς βασιλεῦσιν.

CDEHQ 182 a. *μηκέτι πάπταινε*: μηκέτι περιβλέπου καὶ ζήτει τῆς οὔσης εὐδαιμονίας ἐν σοὶ μείζονα· ἔχεις γὰρ τὸ τέλειον. b. μηκέτι περαιτέρω τούτων ζήτει ὧν ἔχεις, βασιλεὺς γενόμενος. 185 CD

Bgl 183. (*πόρσιον*:) μεγαλώτερον.

CDEHQ 184 a. *εἴη σέ τε τοῦτον ὑψοῦ χρόνον πατεῖν*: ὁ νοῦς· εἴη σὲ μὲν τὸν χρόνον τοῦτον ὃν ζῶμεν ἐν ὕψει καὶ εὐδαιμονίᾳ διαζῆν, ἐμὲ δὲ τοσαῦτα τοῖς νικηφόροις προσδιαλέγεσθαι τοῖς ἐγκωμίοις, προφανῆ καὶ ἐπίσημον ὄντα διὰ τὴν σοφίαν ἐν τοῖς Ἕλλησιν. b. ἄλλως· εἴη σέ τε τοῦτον τὸν χρόνον ὃν ζῶμεν μὴ ἀποβαλεῖν τὴν βασιλείαν, ἐμέ τε ἐπινίκους γράφειν καὶ ὑμνεῖν τοὺς νικῶντας. fin. sch. CD

CDEHQ 185. *ὑψοῦ*: τῷ μὲν ὑψοῦ τὴν εὐδαιμονίαν ᾐνίξατο, τῷ δὲ πατεῖν τὸ ζῆν ᾐνίξατο πάλιν. 184 CD

EHQ 186. *τοσσάδε νικαφόροις*: ἀντὶ τοῦ, τοσούτοις νικηφόροις ὁμιλεῖν, οἷος εἶ σύ. χαίρω δὲ γράφων τοιάδε, καὶ ἔσται τοιαῦτα οἷα ἐπὶ σοῦ.

---

1 ἄλλοι δ' ἄλλοισι H ‖ μεγάλοι H: ἔρμεαν? Q τί μέγα v 2 αἰνεῖ? ‖ ἢ, ἐπ' ἄλλοις δὲ πράγμασίν εἰσιν ἄλλοι μεγάλοι add. v 3 κορυφοῦται om. HQv ‖ δὲ om. HQv 4 οὗπερ HQ: οὕτως E 5 ὑψοῦται EQ: κορυφοῦται καὶ ὑψοῦται Hv ‖ post βασιλεῦσιν add. ἢ, τὸ δὲ μέγιστον τῶν ἄλλων μέγεθος ἐπὶ τοῖς βασιλεῦσιν ἔχει ηὐξημένην τὴν ἔξοχον αὐτοῦ αὔξησιν v 6 l. E: τὸ δ' ἑξῆς CD μηκ. π. πόρσιον (H)Q ‖ περίβλεπε Qv 7 οὔσης σοι CD, om. ἐν σοὶ 8 τέλος E 11 ὑψοῦ — πατεῖν om. EHQv ‖ post πατεῖν sch. 185 inser. CD 11. 12 ὁ δὲ νοῦς CD 12 εἴη CD: εἴη δὲ ‖ τοῦτον τὸν χρ. v 13. 14 διαλέγεσθαι CD ‖ πρόφαντον CD 15 ἄλλως scripsi: ἀλλ' CDE ἄλλως ἀλλ(ὰ) HQv ‖ τε om. EHv 16 τε] δὲ [D]Qv 17 ἐπινικίους [D]Qv 18 sq. l. om., tum ᾐνίξατο δὲ τῷ μὲν ὑψοῦ τὴν εὐδ., τῷ δὲ cett. C(D) (cfr. ad 11) ‖ τῷ] om. E τὸ Dv ‖ ᾐνίξατο scripsi, CD secutus: ηὔξατο EH ἥψατο, γρ. καὶ ἤρξατο Q 19 τῷ δὲ πατεῖν CH (abest D): τῷ π. δὲ E τὸ δὲ π. Qv ‖ ἤν ξατο (sic) C (abest D): ηὔξατο 20 τοσούτοις EHQ: τοσοῦτο(ν) Gh τοσούτων P 21 οἷος HQ: οἷς E 22 ἔστι E ‖ ἐπὶ — p. 57, 1 καὶ om E (hab. KP)

187. *πρόφαντον:* φανερὸν καὶ ἔξοχον ἐν τῇ σοφίᾳ πανταχῇ κατὰ τοὺς Ἕλληνας ὄντα. **EHKQ**

τέλος τοῦ Θηβαίου Ἱέρωνος. **EFKQ**

---

188. Greg. Cor. p. 213: τὸ πάντη περισπῶσι (Δωριεῖς) παντᾶ λέγοντες. Πίνδαρος· πρόφαντον σοφίᾳ καθ' Ἕλλανας ἐόντα παντᾶ. Cfr. Apoll. de adv. 625.

---

## Scholia in Olympionicarum carmen II.

Θήρωνι Ἀκραγαντίνῳ ἅρματι. sch. inscr. A 1C **ABCDEQ**

Τῆς δευτέρας ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστὶ ιδ'. τὸ α' περιοδικόν, διπλοῦς ἴαμβος. τὸ β' ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ τροχαϊκῆς. τὸ γ' ἀντισπαστικὸν ἀπ' ἀδιαφόρου τοῦ πρώτου ποδὸς δίμετρον ἀκατάληκτον ἰαμβικῇ κατακλειόμενον. τὸ δ' χοριαμβικὸν δίμετρον καταληκτικὸν ἀπὸ ἰαμβικῆς συζυγίας. τὸ ε' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ς' ἀντίσπαστος καὶ συλλαβή. τὸ ζ' ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον καταληκτικὸν ἀπὸ τροχαϊκῆς. τὸ η' ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. τὸ θ' παιωνικὸν δίμετρον καταληκτικόν. τὸ ι' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. τὸ ια' ὁμόχρονον τῷ ς' τῆς στροφῆς. τὸ ιβ' ἀντισπαστικὸν **ACDEFQ**

---

1 πρόφαντον **K(P)Q**: προφατὸν **H** πρόφατον **v** ‖ ἔξοχον. φανερόν, om. καὶ **H** ‖ τῇ om. **Qb** 3 Θηβαίου] Συρακουσίου **Q**[s] 8 τοῦ δευτέρου εἴδους **E** ‖ στροφὴ **V**: ἀντιστροφὴ **A** 9 ἐστὶ om. **V** ‖ ἴαμβος ⟨καὶ διπλοῦς τροχαῖος⟩ **b** 10 τροχαϊκῆς ego: τροχαίου 11 ἀπ' ἀδιαφόρου **F**: ἀπὸ διαφόρου **AE** ἀπὸ διαφορᾶς **CDQ** ‖ δίμετρα ἀκατάληκτ(α) **A** 12 ἰαμβικῇ (ego; -κῷ Schneider) κατακλειόμενον Schneider: ἰαμβικοῦ κατακλειόμενον **A** ἰαμβικὸν ἀποκλείσει **V** 14 ἀντίσπαστος **CDQ**: ἀντισπαστικὸν **A** ἀντίσπαστον **EF** 15 ἐλάσσονος **V** 16 τροχαϊκῆς ego: τροχαίου **AV** τροχαίων Tzetzes 16. 17 ὑπερκατάληκτον **AV**: ἀκατάληκτον Tzetzes 17 καταληκτικόν **V**: ὑπερκατάληκτον **A** 18 βραχυκατάληκτον **ACDEF**[ac]: καταληκτικόν **F**[pc] **Qv** Tzetzes 19 ὁμόχρονον **V**: ὅμοιον **A**

δίμετρον βραχυκατάληκτον. τὸ ιγ' ἐφθημιμερὲς ἰαμβικόν. τὸ ιδ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

ἡ δὲ ἐπῳδὸς κώλων ἐστὶν η'. τὸ α' χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον ἀπὸ ἰαμβικῆς. τὸ β' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ γ' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. τὸ δ' παιωνικὸν δίμετρον ἀκατάληκτον. τὸ ε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ϛ' μικτὸν τροχαϊκὸν ἀπὸ συζυγίας ἰαμβικῆς. ἡ δὲ ἀπόδοσις ἐν τῷ *Λάιον τοῦ ῑ* πάσχει ὑφίζησιν. τὸ ζ' ἐπιωνικὸν ἰαμβικῆς ἐπιφερομένης. τὸ η' ἰαμβικὸν μικτὸν ἀπὸ τροχαϊκῆς.
15 A 23 C 1 E

ABCD$^{ab}$EHQ Inscr. Γέγραπται Θήρωνι Ἀκραγαντίνῳ ἅρματι νικήσαντι τὴν οζ' Ὀλυμπιάδα. ἦν δὲ ὁ Θήρων τὸ ἀνέκαθεν ἀπὸ Οἰδίποδος. ἐκήδευσε δὲ Γέλωνι τῷ τυράννῳ, δοὺς αὐτῷ τὴν θυγατέρα Δημαρέτην, ἀφ' ἧς καὶ τὸ Δημαρέτειον ὠνομάσθη νόμισμα. καὶ αὐτὸς δὲ ὁ Θήρων τὴν Πολυζήλου τοῦ ἀδελφοῦ Ἱέρωνος [θυγατέρα] ἔγημε, καθά φησι Τί-
BCD$^{ab}$EHQ μαιος (FHG I, 213). | ἦν δὲ ὁ Θήρων υἱὸς Αἰνησιδάμου.
8 BD$^{a}$EHQ 11 CD$^{b}$

A(E$^{gl}$) 1 a. Ἀναξιφόρμιγγες: ἤτοι ⟨οἱ⟩ τῶν φορμίγγων

---

3 ἐπῳδὴ E ‖ ἐστὶν om. V ‖ α' om. A 3. 4 δίμετρον E 4 βραχυκατάληκτον om. A ‖ ἰαμβικῆς ego ἰαμβικοῦ Q(v): ἰωνικοῦ ‖ τροχαϊκὸν A: χοριαμβικὸν V 5 ὑπερκατάληκτον F$^{2}$Q 5. 6 δίμετρον βραχυκατάληκτον ACF$^{2}$Q: τρι(τρίμετρον F$^{1}$)βραχυκαταληκτικὸν DEF$^{1}$ 7 μικτὸν V: μικρὸν A 9 Λάιον CDF(Q): λέοντι A lac. E ‖ τοῦ ι'] lac. E ‖ ἐπιωνικὸν V: ἀπὸ ἰωνικῆς καὶ A 9. 10 ἰαμβικῆς ἐπιφερομένης A$^{cp}$F ἰαμβικοῦ ἐπιφερομένης C: ἰαμβικοῦ ἐπιφερομένου DEQ 10 τὸ V: τοῦ A ‖ τροχαϊκῆς CDFQ: τροχαϊκοῦ AE 12—18 cfr. sch. Thom. 106, 14 Ab. 12 l. Θήρωνι Ἀκραγαντίνῳ praem. v προοίμιον ϟ Θήρωνι Ἀκραγαντίνῳ νενικηκότι ἅρματι praem. B (m. 2?) ‖ γέγραπται AB(D$^{a}$)EHQ: γέγραπται δὲ (γὰρ C) ὁ ἐπινίκιος CD$^{b}$ Thom. ‖ ἅρματι om. C ‖ ἅρματι — 16 νόμισμα om. D$^{b}$ 12 νικήσαντι A Thom.: νενικηκότι V 13 οζ'] om. A οϛ' pap. Oxyrrh. CCXXII, 1, 18 ‖ τὸ om. V Thom. 14 δοὺς A: ἐπιδοὺς V Thom. 15 τὸ om. A ‖ δημάρετον A$^{ac}$ δημαρέτιον A$^{pc}$ 15. 16 ὠνομάσθη Schneider: ὠνομάσθαι A προσωνομάσθη V Thom. 16 Πολυζή(λου) A$^{ac}$ Πολυξέ(νην) A$^{pc}$Q 17 θυγατέρα ἔγημε AQ ἔγημε θυγατέρα B: ἔγημε CDEH (Thom.); seclusi θυγ. 20 ἤτοι οἱ ego: ἤτοι A ἢ E

ἀνάσσοντες· ἕπονται γὰρ τοῖς ὕμνοις καὶ φόρμιγγες, δι' οὓς καὶ ἀπεδείχθησαν· ἢ οἱ ἀνασσόμενοι ὑπὸ φορμίγγων | ὕμνοι· A
πρότερον γὰρ ἐνδίδωσι ⟨τὸ⟩ μέλος ὁ κιθαριστής, ἔπειτα ἡ ᾠδὴ λέγεται· ὡς καὶ ἐν Πυθιονίκαις (P. I, 1)· χρυσέα φόρμιγξ Ἀπόλλωνος καὶ ἰοπλοκάμων σύνδικον Μοισᾶν κτέανον.

1 b. *Ἀναξιφόρμιγγες ὕμνοι*: οἱ τῆς φόρμιγγος B(CD)E(H)Q
ἀνάσσοντες. πρῶτον γὰρ τὰ ᾄσματα συντίθενται, εἶθ' οὕτω πρὸς αὐτὰ καὶ ἡ λύρα ἁρμόζεται. c. ἢ οὕτως· ὦ ὕμνοι οἱ ὑπὸ τῆς φόρμιγγος ἀνασσόμενοι. πρῶτον γὰρ ἔκρουον, εἶτα ἐπῇδον. καὶ τούτου μάρτυς Ὅμηρος (α 155)·

ἤτοι ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν.

ἐμφανίζει δὲ τὸν μουσόληπτον. ὡς ἐπιζητῶν γὰρ τίνα ὀφείλει ὑμνῆσαι, εἶτα καθ' ἑαυτὸν δοκιμάζων .... d. ἄλλως· *ἀναξιφόρμιγγες ὕμνοι*: τὴν αἰτίαν αὐτὸς παρέστησε παρ' ἣν τοὺς τρεῖς δεῖ ἐπαινεῖν· Δία ὅτι τούτου ἱερὸς ὁ τόπος· Ὀλυμπιάδα δ' ἔστησεν Ἡρακλῆς· διὸ ὑμνητέον αὐτὸν ὡς ἥρωα· ἄνθρωπον δὲ Θήρωνα. τυποῖ δὲ ὁ Πίνδαρος ὅτι δεῖ καθ' ἕκαστον ἐπίνικον ὑμνεῖν θεόν, ἥρωα, ἄνδρα.

3. (*κελαδήσομεν*:) ὑμνήσομεν. B$^{gl}$

4 a. *ἤ τοι Πίσα μὲν Διός*: τὴν αἰτίαν παρέστησε, A
παρ' ἣν τοὺς τρεῖς ἐπαινεῖ· Δία μὲν γὰρ ὅτι τούτου ἱερὸς ὁ τόπος· Ὀλυμπιάδα δὲ ἔστασεν Ἡρακλέης· ὅτι τὰς ... μέμνηται ὡς ἥρωος· Θήρωνος δὲ ⟨ὡς⟩ ἀνθρώπου. τυποῖ δὲ ὁ Πίνδαρος ὅτι δεῖ καθ' ἕκαστον ἐπίνικον τοὺς τρεῖς ὑμνεῖν, θεόν, ἥρωα, ἄνθρωπον.

---

1 καὶ **AE**: αἱ **b** ft. καὶ ⟨αἱ⟩ 2 οἱ om. **E** || ὑπὸ **A**: ἀπὸ τῶν **E** || post φορμίγγων add. διαπορητικὸν δὲ τὸ προοίμιον **E** 3 τὸ addidi 5 ιβ' πλοκάμων σ. μυσανητεανόν **A** 6—10 cfr. sch. Thom. 107, 7 Ab. 6 οἱ — 7 ἀνάσσοντες] οἱ ὑπὸ τῆς φ. ἀνασσόμενοι **E** 7 ἅρματα **DE** 8 ἢ οὕτως **HQ**: ἢ **B** ἤτοι **C(D)** om. **E** 9 οἱ om. **E** 12 τὸ μουσ. **H** 13 ἑαυτῶν **E** || lac. indicavi; aut φησί (post δοκιμάζων) addi aut γὰρ deleri iubet Beck 13 ἄλλως — 14 ὕμνοι om. **CD** ὕμνοι om. **Bv** || αὐτὸς παρέστησε **CDEHQ**: δηλοῖ **Bv** 15 τοὺς τρεῖς **CD** (cum **A**): ὁ νοῦς τρία δὲ **B(E)HQv** || ἱερὸν **Br** 16 ἔστασεν **Q** 17 ἄνθρωπον — 18 ἥρωα hic om. **E**; cfr. p. 61, 5 18 δεῖ καθ' ἕκαστον **A**: δεῖ καὶ **CEHv** δεῖ **DQ** καὶ **B** 20 παρέστησεν **A**$^{ac}$ 21 παρῆν: **V** || ἐπαινεῖς: **b** 22 τὰς] τούτου Schneider 23 ὡς addidi

BE(H)Q 4 b. *ἤτοι Πίσα μὲν Διός*: ἡ μὲν Πίσα τοῦ Διός ἐστιν ἱερά· δι' ἣν ὑμνεῖν τὸν θεὸν δεῖ· τὸν δὲ Ὀλυμπιακὸν ἀγῶνα ἔστησεν Ἡρακλῆς· ἦν γὰρ κατά τινας παραμεληθείς.

A 7 a. *ἀκρόθινα πολέμου*: Ζηνόδοτος μετὰ τοῦ ῑ γράφει ἀκροθίνια, ἅπερ κυρίως λέγεται παρὰ τὰς τῶν καρπῶν θῖνας, τουτέστι σωρούς, [ἢ] οἷον τὰ τῆς θινὸς ἀπάργματα καὶ ἄκρα· λέγεται δὲ ἡ λέξις μεταφορικῶς ἐπὶ παντὸς ἀπάργματος ... κορυφαῖον καὶ κάλλιστον.

CD 7 b. *ἀκρόθινα πολέμου*: τὰς ἀπαρχὰς τῶν λαφύρων.

BCDEHQ c. πρὸς Αὐγέαν πολεμήσας τὸν Ἤλιδος τύραννον καὶ νικήσας ἐκ τῆς λαφυραγωγίας [τὰς ἀπαρχὰς τῶν λαφύρων
C προσαγαγὼν ἔκτισε] τὸν ἀγῶνα διέθηκεν. 12 B 8 D^b 11 EHQ

d. ἀκροθίνια δὲ καὶ τὰ ἀπάργματα.

A 8 a. *Θήρωνα*: Θήρων υἱὸς ἦν Αἰνησιδάμου· εἶχε δὲ συγγενεῖς Κάπυν καὶ Ἱπποκράτην, οἵτινες ἦσαν ἀδελφοί· περὶ ὧν Καλλιστράτης (FHG IV, 433) ἐν τῷ ζ' φησίν.

b. *τετραορίας*: τοῦ ἅρματος. ἡ λέξις παρὰ τὸ ἀρηρέναι καὶ ἡρμόσθαι τοὺς ἵππους ἑαυτοῖς.

BCD^ab EHQ 8 c. τὸν δὲ Θήρωνα νικήσαντα τεθρίππῳ ὑμνή-
BCDEHQ σωμεν. 1 D^a d. ὁ δὲ νοῦς αὐτῷ· σεμνύνεται μὲν ὁ Ὀλυμπιακὸς ἀγὼν τῷ Διὶ καὶ τῷ καταβεβληκότι τὴν ἀρχὴν

---

5 EM 53, 10. EG 29, 40. Hes. Suid. s. v. lex. Bach. 56, 14. sch. Eur. Phoen. 203. Eust. Od. 1862, 29 10 cfr. p. 7, 1 sqq.

---

1 *Πίσσα* utrobique **BH** 2 *ἱερόν* **B**v ‖ *δι' ἣν*] *δ' ἣν* **E** *δι' ἣν ⟨αἰτίαν⟩* Beck ‖ *ὑμνεῖ* **E** 3 *παρ' ἀλήθ(ειαν?)* **E** 4 *ἀκροθόνια* **b** 5 *λέγεται* ego: *λέγει* 6 *ἢ* om. Red. 7 *λέγ(εται)* **A** *λέγει* **b** ‖ *μεταφο(ρικῶς)* ‖ *ἐπὶ π.* scripsi: *ἀπὸ π.* (corr. ex *ἀπολλ*) **A** *ἅπαντος* **b** 8 lac. indicavi 9 l. et **BEHQ** ‖ *ἀκροθίνια* **CD** *ἀκροθίνιον* **E** 10 *Αὐγέαν* **BEHQ**: *Αὐγείαν* (*-γέαν*) *γὰρ* **CD** ‖ *τὸν*] *τῆς* Beck 11 *τὰς* — 12 *προσαγαγών* om. **CD** 12 *ἔκτισε τ. ἀ. διέθηκεν* **E**: *τὸν ἀγ. διέθηκεν* **CDHQ** *ἔκτισε τὸν ἀγ.* **B**. Seclusi *τὰς* — *ἔκτισε* 15 *συγγενῆ*: ego 16 *Ἱππόστρατος* **b** recte, ut vid. 17 *τετραωρίας*: **b** 18 *τοὺς ἵππους* Schneider: *τοῖς* (cp., ex corr.) *ἵπποις* ‖ *ἑαυτοῖς* del. **b** 19 *Θήρωνα δὲ* pro l. praem. **CD** ‖ *τὸν δὲ Θήρωνα* **CD^b**: *τοῦτον οὖν τὸν Θήρωνα* **BD^a EHQ** ‖ *τεθρίππῳ νικήσαντα* **B(D^a)EHQ** 20 *ὁ δὲ νοῦς αὐτῷ* om. **CD** ‖ *αὐτῷ* **BH**: om. **E** *αὐτοῦ* **Q**

Ἡρακλεῖ, οὐδὲν δὲ ἧττον καὶ τρίτον σεμνύνεται Θήρωνι νενικηκότι. 1 BH inscr. $CD^{b}$ 12 E $13^{b}$ Q

8 e. (τεραορίας:) τεθρίππου ἅρματος. $B^{gl}$

11 a. δίκαιον ξένον: τὸν μετὰ δικαιοσύνης τοὺς ξένους ὑποδεχόμενον. $1^{d}$ ἄνθρωπον — ἄνδρα, dein inscr. E — CDEHQ

11 b. (δίκαιον ξένον:) ξενοδοχικόν. ἀντὶ τοῦ δίκαιον καὶ εἰς τοὺς ξένους· οὐ γὰρ αὐτὸς ἦν ξένος. $E^{gl}$

12 a. ἔρεισμ' Ἀκράγαντος: ἕδρασμα ὄντα καὶ τείχισμα τῆς Ἀκράγαντος. καὶ Ὅμηρος (Γ 229 etc.)· ἕρκος Ἀχαιῶν. Ἀκράγας δὲ καὶ ποταμὸς καὶ πόλις ἐν Σικελίᾳ. $13^{c}$ HQ — BEHQ

12 b. ἔρεισμα δὲ τὸν ὄντα ἕδρασμα καὶ τείχισμα. CD

13 a. εὐωνύμων τε πατέρων: τῶν καλῶς ὀνομαζομένων πατέρων ἀπάνθισμα. A

13 b. εὐωνύμων τε πατέρων: προγόνων. πάνυ δὲ ὑπερβαλλόντως ἐπαίρει τὸ ἐγκώμιον, καὶ ἐνδόξων προγόνων ἔτι κατ' ἐπίτασιν αὐτὸν ἄνθος λέγων. 1 $Q^{a}$ 14 $HQ^{b}$ — $BEHQ^{ab}$

c. εὐωνύμων: ἐνδόξων· ἐπεὶ ὁ Θήρων ἀπὸ Κάδμου εἶχε τὸ γένος. $13^{b}$ HQ — (B)EHQ

14 a. ὀρθόπτολιν: ὅτι συνέκτισε καὶ αὐτὸς τὴν Ἀκράγαντα. ἢ ὀρθὸν ἐν τῇ πόλει ἢ ὀρθὴν πόλιν ἔχοντα. metr. A — A

14 b. ὀρθόπολιν: τὸν τῇ ἑαυτοῦ δικαιοσύνῃ ὀρθοῦντα καὶ σῴζοντα τὰς πόλεις, ὡς ἐρυσίπολιν καὶ σωζόπολιν. ἐνταῦθα διὰ τὸ ἐνοικίσαι τὴν Ἀκράγαντα, ὁμώνυμον οὖσαν τῷ ὁμωνύμῳ ποταμῷ Ἀκράγαντι. $15^{c}$ B — BCDEHQ

---

18 Eust. vit. Pind. 12, 19 Ab.

---

6 ξενοδοχικόν scripsi: ξενοδόχ(ον) τὸν $E^{cp}$ 8 ἕδρασμα ὄντα καὶ τείχισμα E(H)Q: τείχισμα ὄντα Bv 10 Ἀκράγας bis hab. v ‖ Ἀκρ. δὲ πόλις καὶ ποτ. τῆς Σικελίας Bv 13 καλῶς b: καλῶν 15—17 cfr. sch. Germ. 110, 13 Ab. 16 ἐπῇρει E 17 ἔτι om., ἐπεὶ ὁ Θήρων — 19 τὸ γένος hic inscr. Bv 18. 19 cfr. sch. Germ. 110, 12 Ab. 19 εἶχε om. HQ Germ. 23 ὀρθόπτολιν D 24 ἐρυσίπτολιν CQb ‖ σωζόπτολιν C 24. 25 ἐνταῦθα BH: ἐνταῦθα δὲ D ἐ. καὶ CEQ 25 ἐνοικῆσαι $BH^{ac}$v ft. συνοικίσαι ‖ τὴν BCH: τὸν DEQ ‖ οὖσαν om. CD

A 15a. *καμόντες*: ἀναστροφή ἐστιν ἐπὶ τοῦ καμόντες οἱ πολλὰ θυμῷ, κατὰ τὸ ἄρθρον τὸ οἱ· ἵνα ἀναστρέψωμεν καὶ προτάξωμεν· οἱ πολλὰ θυμῷ ..... οἱ πρόγονοι τοῦ Θήρωνος ἔσχον τὴν Ἀκράγαντα· οἴκημα γὰρ ποταμοῦ .... τοῦ Ἀκράγαντος καὶ τὴν πόλιν ὁμοίως καλεῖσθαι. οἱ δὲ Ἀκραγαντῖνοι Γελῴων εἰσὶν ἄποικοι· ὥστε τὸ πατέρων ἄωτον λέγει ἐπὶ τῶν Θήρωνος προγόνων, οἳ οὐχ ἁπλῶς εἰς τὴν Γέλαν μετῆραν, ἀλλὰ εὐθὺς ἀπὸ Ῥόδου εἰς τὴν Ἀκράγαντα. καὶ τοῦτο ἐξ αὐτοῦ Πινδάρου σαφηνίζεται, ὡς καὶ Τίμαιός (FHG I, 214) φησι.

B(CD)EHQ 15b. *καμόντες οἳ πολλὰ θυμῷ*: οἱ πατέρες, φησί, οἱ τοῦ Θήρωνος. Ῥόδιοι γὰρ ὄντες ἄνωθεν, καὶ στάσιν ἐμφύλιον ἀποφεύγοντες μετῴκησαν τὴν Σικελίαν, καὶ αὐτόθι πρός τινας βαρβάρους πολεμήσαντες ἔκτισαν τὴν πόλιν. 16 B

B(CD)EHQ 15c. *καμόντες οἳ πολλά*: ὁ λόγος καθολικὸς ἐπὶ τῶν προγόνων τοῦ Θήρωνος, οἳ πρῶτον μὲν ἦλθον εἰς
B(CD)HQ Γέλαν, κἀκεῖθεν εἰς Ἀκράγαντα. | οὐ γὰρ λέγει ὁ Πίνδαρος ὅτι καμόντες τὴν Ἀκράγαντα ἔκτισαν, ἀλλ' ὅτι καθόλου καμόντες πολλὰ τοῦ Θήρωνος οἱ πρόγονοι ἔσχον τὴν Ἀκρά-
BCDEHQ γαντα. d. ἱερὸν δὲ εἶπεν οἴκημα τὴν Ἀκράγαντα, διὰ τὸ Ἀθηνᾶς αὐτόθι νεὼν εἶναι περιττῶς ἁγιστευόμενον· ἢ διὰ τὸ τὴν Ἀκράγαντα τῇ Περσεφόνῃ εἰς τὰ ἀνακαλυπτήρια ὑπὸ Διὸς δοθῆναι. ὅτι δὲ περὶ Ἀκράγαντός ἐστι τῷ Πινδάρῳ ὁ λόγος, σαφὲς ἐξ ὧν περὶ τοῦ πλούτου τοῦ Θήρωνος

---

1 Eust. vit. Pind. 10, 7 Ab. 22 sch. N. 1, 17; Plut. Tim. 8,4

---

2 κατὰ Schneider: καὶ || οἳ Schneider 2. 3 ἀνατρέψωμεν καὶ προστάξωμεν: Schneider 3 οἳ (pr.) Schneider 3 sq. lac. indicavi 6. 7 ἀώτων 7 οὐχ ἁπλῶς] οὐδόλως V (p. 63, 9). Sed ft. post ἁπλῶς lac. stat. 8 τὴν Γέλαν Schneider: τὸν Γέλωνα 11 sqq. sch. 15 b et c in un. confl. **CD** 11 θυμῷ om. **BQ** 12 οἱ om. **Bv** || ὄντες] ἦσαν **Bv** 13 φυγόντες **CD** || τὴν] εἰς τὴν **Q** (et de cj. Beck) 15 καθολικὸς **EHQ**: καθαρὸς **Bv** || ἐπὶ ego: ἐπεὶ περὶ **BEH** (ἐπὶ περὶ **H**ac) **Q** ἐστι περὶ Beck 17 Γέλλαν **B** semper, ceteri saepius; ἥλαν **E** 20 et 22 τὴν] τὸν **E** 22 τῇ Περσ. om. **E** || ἄνω καλυπτήρια **B** 23 ὑπὸ Διὸς] ὑποδο(χὴν?) **E** || ὅτι] οὕτως **E** 24 ἐξ ὧν — p. 63, 1 φησιν **DEHQ**: ἐκ τῶν π. τ. πλ. τ. Θήρωνος. διεξιὼν γάρ φησιν **Bv**

*διεξιών φησιν* (vs. 90 sqq.)· *ἐπί τοι Ἀκράγαντι τανύσας*
*αὐδάσομαι ἐνόρκιον λόγον ἀλαθεῖ νόῳ, τεκεῖν μή τινα ἑκα-*
*τόν τ' ἐτέων πόλιν φίλοις | μᾶλλον εὐεργέταν πραπίσιν ἀφθο-* **BEHQ**
*νέστερον χεῖρα Θήρωνος. Ἱππόστρατος δὲ* (FHG IV, 433) *ἱστο-*
*ρεῖ αὐτὸν πλούτῳ διενηνοχέναι. ἀλλ' οἵ γε πρόγονοι τῶν*
*Ἀκραγαντίνων Γελῷοι οὐχ οὕτως ηὐπορήκεσαν, ἀλλὰ καὶ*
*πᾶν τοὐναντίον μόγις καὶ ταπεινῶς διέζων, ἐπὶ φυλακῇ τῆς*
*πόλεως μισθαρνοῦντες. ἔνιοι δέ φασιν ὅτι οἱ τοῦ Θήρωνος*
*πρόγονοι οὐδόλως εἰς τὴν Γέλαν κατῆραν, ἀλλ' εὐθὺς εἰς*
*τὴν Ἀκράγαντα ἀπὸ Ῥόδου· ὡς καὶ ὁ Πίνδαρος λέγει* (fr. 119)·
*ἂν δὲ Ῥόδον κατῳκίσθεν· ἔνθεν δ' ἀφορμαθέντες ὑψηλὰν*
*πόλιν ἀμφινέμονται, πλεῖστα μὲν δῶρ' ἀθανάτοις ἀνέχοντες,*
*ἕσπετο δ' ἀενάου πλούτου νέφος.* $15^{b}$ **B**

16 a. *ἱερὸν ἔσχον οἴκημα: Ἀρίσταρχος τὴν πόλιν* **BCEHQ**
*οἴκημα ποταμοῦ προσηγορεῦσθαί φησι διὰ τὸ ὁμώνυμον* cfr. **A** 70
*εἶναι τῷ ποταμῷ Ἀκράγαντι· τὴν γὰρ ὀνομασίαν ἡ πόλις*
*ἀπὸ τοῦ ποταμοῦ ἔσχεν.* b. *Ἀρτέμων δὲ ὁ ἀπὸ Περγά-* **BEHQ**
*μου* (FHG IV, 341) *τὴν Γέλαν οἴεται δεῖν ἀκούειν. καὶ γὰρ*
*ταύτην ὁμώνυμον εἶναι Γέλᾳ τῷ ποταμῷ, τοὺς δὲ Ἀκραγαν-*
*τίνους Γελῴων εἶναι ἀποίκους· ὥστε τὸ πατέρων ἄωτον ἐν*
*Γέλᾳ ἐπὶ τῶν τοῦ Θήρωνος προγόνων συντετάχθαι. κεφαλαιώ-*
*σει δὲ χρῆται τῇδε· τὸ καμόντες ἔφη προσήκειν μᾶλλον ἀκούειν*

---

1 *τοι* **DH**: *τῷ* **B** *τὸ* **E** *τε* **Q** 2 *αὐδάσομεν* **D** ($Q^{a.c.}$?) ‖ *ἀλαθεῖ* **B**: *ἀληθεῖ* ‖ *νόμῳ* **EQ** 3 *τ' ἐτέων*] *τ' ἐὼν* **E** ‖ *παρὰ ποσὶν αὐφονέστερον* **E** 4 *Ἱππόστρωτος* **E** 5. 6 *τῶν Ἀκραγαντίνων*] exspectes *τοῦ Θήρωνος* cl. Her. 7, 154 6 *Γελ(λ)ῷοι* **EGHQ**: *Γελλῆνοι* **Br** ‖ *εὐπορήκεσαν* **Bv** 7 *φυλακῆς* **E** 10 *Ἀκράγαντος* **E** 11 *ἂν*] *ἐν* $Q^{s}$**b** ‖ *κατῴκισαν* **E** ‖ *ἔνθεν δ'* **GH**: *ἐν δ'* **Bv** *ἔνθ'* **Ehb** (J. G. Schneider) *ἔνθα καὶ* **Q** ‖ *ἀφορμαθέντες* **BGH**: *ἀφορμασθέντες* **Er** *εὐαρμοσθέντες* **Q** ‖ *ἔνθεν ὁρμαθέντες* Schroeder 13 *ἕσπετο* **GQb**: *ἔπετο* **BEHv** *εἵπετο* Hermann ‖ *ἀεννάου*: J. G. Schneider
14 l. om. **C** ‖ *Ἀρίσταρχος* om. **B** 15 *προσαγορεύεσθαι* **E** *προσαγορεῦσαι* **Q** 17 *ὁ* om. **E** 18 *Γέλλαν* omnes 19 *ταύτην* **BQ**: *ταυτὸν* **E** (corr. ex *ταντὸν*) **H** ‖ *Γέλλαν* **E**; mox post *ποταμῷ* repet. 16 *τὴν γὰρ* — 17 *ποταμοῦ*, sed del.; 19 *τοὺς* in ras. $E^{1}$ 20 *Γελῴων* **BHQ**: *Γελλῶν* **E** ‖ *ἀποίκημα* **E** ‖ *τὸ* **A** (sch. $15^{a}$): *τῶν* ‖ *ἄωτον*] *αὐτῶν* **E** 20. 21 *ἐπὶ τῶν ἐν Γέλᾳ*? an *ἐν Γέλᾳ* ortum ex *λέγει*? cfr. **A** $15^{a}$ 21 *κεφαλαιώσει* et 22 *τῇδε* scripsi: *κεφαλαιώδει* et *τῷδε*

ἐπὶ τῶν τὴν Γέλαν ἐκτικότων, ἀλλ' οὐ τὴν Ἀκράγαντα. οἱ μὲν γὰρ ἀπὸ τοῦ ῥάστου συνῳκίσθησαν, οἱ δὲ χαλεπῶς καὶ μόλις. Ἀντίφημος γὰρ ὁ Ῥόδιος καὶ Ἔντιμος ὁ Κρής, οἱ τὴν εἰς Γέλαν στείλαντες ἀποικίαν, πρῶτον μὲν περὶ τὴν συναγωγὴν ἔκαμον οὐ μετρίως, συναθροίζοντες τοὺς ἐκ Πελοποννήσου καὶ Ῥόδου καὶ Κρήτης, εἶτα περὶ τὸν διάπλουν, εἶτα περὶ τὸν κατοικισμόν, καὶ πάλιν διαγωνισάμενοι πρὸς τοὺς Σικανούς. c. Μενεκράτης δέ (FHG II, 344) φησι ληρεῖν τὸν Ἀρτέμωνα· μὴ γὰρ καμεῖν τοὺς περὶ Ἀντίφημον περὶ τὴν ἀποικίαν, ἀλλὰ μᾶλλον κατὰ εὐπέτειαν πολλὴν αὐτοῖς πάντα συμβεβηκέναι. περὶ τίνων οὖν λέγει· καμόντες οἳ πολλά; περὶ τῶν Θήρωνος προγόνων. τούτους γὰρ Θηβαίους ἀνέκαθεν ἀπὸ Κάδμου εἶναι. Κάδμου γὰρ .... Πολύδωρος· τοῦ δὲ Αἵμων· τοῦτον δὲ ἐν κυνηγεσίῳ ἐμφύλιόν τινα ἀποκτείναντα Ἀθήναζε ἀποστῆναι· τοὺς δὲ ἀπὸ τούτου πάλιν ἐξ Ἀθηνῶν ἀποστάντας σὺν τοῖς Ἀργείοις Ῥόδον κατοικῆσαι, καὶ μετὰ ταῦτα ἐλθεῖν εἰς Ἀκράγαντα, καὶ μέχρι Θήρωνος ἑπτὰ πρὸς ταῖς ὀκτὼ γενεὰς συναριθμεῖσθαι. ἴσως οὖν πρὸς ταῦτα ἀφορῶν ὁ Πίνδαρός φησι· καμόντες
**BDEHQ** οἳ πολλὰ θυμῷ ἱερὸν ἔσχον οἴκημα ποταμοῦ. d. οἴκημα δὲ ποταμοῦ τὴν πόλιν εἶπε διὰ τὴν ὁμωνυμίαν. e. λείπει δὲ ἡ ἐπί, ἵνα ᾖ, τὸ ἐπὶ τοῦ ποταμοῦ οἴκημα ἔσχον, τὴν πόλιν.

**A** 18a. ὀφθαλμός: ἀντὶ τοῦ περίβλεπτοι ἦσαν ἐν

---

1 ἐπὶ **EHQ**: ὑπὲρ **Bv** ‖ Ἀκράγαντι **E** 2 τοῦ ῥαίστου **BH** ῥάστου **Q** ὀρέστου **E** ‖ μόγις **EH** 3 οἱ τὴν **b** (οἱ — στείλαντες vel οἵτινες — ἔστειλαν Beck): οἵτινες 4 στείλοντ' **E** ‖ πρῶτον repet. **E** 5 τοὺς] τὰ **E** 6 εἶτα **b**: εἰς τ(ὰ) **BG** εἰς τὸ **Qv** εἰς τὸν **EH** 7 οἰκισμὸν **Bv** ‖ διαγωνισάμενος **E** 8 Σικελούς **E** ‖ δέ φησι ληρεῖν] φαληρεῖν **E** 9 Ἀρτέμονα **B** 10 αὐτοῖς **B**: αὐτοῦ **E** αὐτῶν **H** αὐτ̃ corr. in αὐτῶ **Q** ‖ πάντα] παρὰ **E**
13 lac. expl. **A** 70 sic: (Κάδμου γὰρ) Πολύδωρον· τοῦ δὲ Λάβδακον· τοῦ δὲ Λάιον· τοῦ δὲ Οἰδίποδα· εἶτα Ἐτεοκλέα· τοῦ δὲ (Πολύδωρον) 14—18 cfr. Thom. 110, 21 Ab. 14 Αἵμονα **E** (et **A** 70) ‖ ἐμφ. τινα ἐν κυνηγ. **E** 16 μεταστάντας **EH** Thom.
18 ἑπτὰ πρὸς ταῖς ὀκτὼ **A** (sch. 70) **b**: κζ' **EQ** εἴκοσι ἑπτὰ **BH** (Thom.) 20 θυμῷ om. **B** 22 ἡ ἐπὶ om. **E** 24 ἀντὶ Schneider: ἀπὸ

*Σικελίᾳ· ἀπὸ τοῦ θαυμαστοῦ μέρους τοῦ σώματος τοῦ ὀφθαλμοῦ.*

18 b. *Σικελίας τ' ἔσαν ὀφθαλμός: οἱονεὶ τὸ ἐξαί-* CDEHQ
*ρετον καὶ λαμπρότερον ἦσαν τῆς Σικελίας· ἀξιολογώτερον
γὰρ ἐν σώματι ὀφθαλμός.* c. *ἵν' εἴπῃ ὅτι περίβλεπτοι
ἦσαν.*

19 a. *μόρσιμος: οὐχ ὁ μεμοιραμένος, ἀλλ' ἀντὶ τοῦ* A
*εὔμοιρος. ⟨Ὅμηρος⟩ (Γ 182)· μοιρηγενὲς ὀλβιόδαιμον.*
b. *βούλεται δὲ λέγειν ὅτι ὁ βίος αὐτοῖς ἐπηκολούθησεν ἐκ
πεπρωμένης τινὸς τὴν εὐδαιμονίαν αὐτοῖς καὶ τὴν χάριν
ἐπιπέμπων ἐπὶ ταῖς γνησίαις αὐτῶν ἀρεταῖς.*

19 c. *αἰών τ' ἔφεπε μόρσιμος: ἐπηκολούθησε δὲ* CDEHQ
*τὴν εὐδαιμονίαν ἄνωθεν ἐπιπέμπων ταῖς γνησίαις αὐτῶν
ἀρεταῖς.* d. *ἢ οὕτως· εὔμοιρος βίος ἐπηκολούθησεν αὐτοῖς
ἐκ πεπρωμένης τινός.* e. *ὡς καὶ παρ' Ὁμήρῳ (Γ 182)·* DHQ
*μοιρηγενὲς ὀλβιόδαιμον.*

21 a. *γνησίαις: ἰδίαις. γνήσια γὰρ τὰ ἴδια πονή-* CDEHQ
*ματα, καὶ τὰ ἐκ καμάτων, καὶ οὐκ ἐξ ἐπεισάκτων.* b. *ἢ* DHQ
*γνησίαις ἀρεταῖς, ταῖς ἐκ γένους συγγεγενημέναις αὐτοῖς.*

22e CDEHQ

22 a. *Κρόνιε: οὐ μόνον ὅτι Κρόνου παῖς, ἀλλ' ὅτι* A
*Κρόνιος λόφος καλεῖται ὁ ἐν Ὀλυμπίᾳ.*

22 b. *ἀλλ' ὦ Κρόνιε: ὁ νοῦς· ὦ Ζεῦ τὸν οὐρανὸν* B
*κατοικῶν καὶ τὸ καὶ τὸ, ἡσθεὶς τούτοις τοῖς ὕμνοις αὔξησον ἔτι καὶ ἐπιπλέον ἀβλαβῆ αὐτοῖς τὴν πατρῴαν γῆν διαφύλαξον.*

22 c. *ὁ δὲ νοῦς· ἀλλ' ὦ τοῦ Κρόνου καὶ τῆς Ῥέας παῖ* CDEHQ

---

7 Eust. Il. 402, 9

---

3 *ὀφθαλμός* om. DHQ 4 *λαμπρότατον* D ‖ *ἀξιολογώτατον* E 5 *ἐν τῷ σ.* b ‖ *ὀφθαλμός* EQ: *ὁ ὀφθ.* CDHv ‖ *ὅτι* om. E 8 *εὔμοιρος* b: *δίμοιρος* ‖ *Ὅμηρος* add. Schneider 12 *δ' ἔφεπε* CH ‖ *μόρσιμος* om. CDHQ 12 sqq. scrib.: *εὔμοιρος βίος — τινὸς, ἐπηκολούθησε δὲ — ἀρεταῖς,* om. *ἢ οὕτως* 12 *δὲ* om. DHQ 15 *πεπρωμένου γένους* E 17. 18 *ποιήματα* Qv 18 *καὶ οὐκ ἐξ ἐπεισάκτων* om. C ‖ *οὐκ* om. E 19 *ἀρεταῖς* om. H 22 *καλεῖται ὁ* b: *ὃ καλεῖται*

Ζεῦ, τὸν οὐρανὸν κατοικῶν, ὅστις τοῦ Ὀλυμπιακοῦ ἀγῶνος διοικεῖς τὸ ἔδαφος καὶ τὸν πόρον τοῦ Ἀλφειοῦ, ἡσθεὶς τούτοις τοῖς ὕμνοις ἔτι καὶ ἐπιπλέον ἀβλαβῆ αὐτοῖς τὴν πατρῴαν γῆν διαφύλαξον. d. τοῖς περὶ Θήρωνα. metr. C 27 DEHQ

CDEHQ 22 e. ἀλλ' ὦ Κρόνιε παῖ: οὐ πατρωνυμικῶς, ἀλλ' ἀπὸ τοῦ λόφου. εὔχεται δὲ τῷ Διΐ, ἐπειδὴ καὶ τοῦ ἀγῶνος καθ' ὃν νενίκηκε προστάτης ὁ Ζεύς. 25 C

BDEHQ 23 a. ἕδος Ὀλύμπου νέμων: ἀντὶ τοῦ οἰκῶν. Ὅμηρος (B 499)· οἵ τ' ἀμφ' Ἅρμ' ἐνέμοντο, ἀντὶ τοῦ ᾤκουν.

DEHQ b. ἵν' ᾖ· ἐν τῷ Ὀλύμπῳ οἰκῶν. δύναται δὲ καὶ τὸ νέμων νοεῖσθαι ἐπὶ τοῦ διοικῶν καὶ διέπων.

C 23 c. ἕδος Ὀλύμπου: τὴν Ὀλυμπίαν φησί. τὸ δὲ νέμων ἀντὶ τοῦ διοικῶν, διέπων.

CDEHQ 24 a. ἀέθλων τε κορυφάν: τῶν ἀγωνισμάτων τῶν ἐν Ὀλυμπίᾳ γινομένων· αὐτῷ γὰρ ὁ ἀγὼν οὗτος ἀνάκειται. 27 C

A 24 b. κορυφάν: ⟨τὸν⟩ Ὀλυμπικὸν ἀγῶνα, καθὰ ἐξέχει τῶν ἄλλων ἀγώνων. c. ἀπὸ κοινοῦ τὸ νέμων.

CDEHQ 25. πόρον Ἀλφεοῦ: τὴν Ἦλιν. ἀπὸ κοινοῦ δὲ συναπτέον τὸ οἰκῶν ἢ διοικῶν. 22c

B(C)DEHQ 27 a. εὔφρων: καλῶς διανοούμενος. εὐμενὴς ὤν.
b. ἔτι καὶ ἐπιπλέον τὴν πατρῴαν γῆν αὔξησον τῷ λοιπῷ
BEHQ γένει· λέγει δὲ αὐτῷ τῷ Θήρωνι. c. ἔτι, ἵνα τῇ προσούσῃ εὐδαιμονίᾳ ἔτι καὶ τοῦτο ὁ Ζεὺς παράσχῃ.

---

9 Eust. Il. 636, 18. Od. 1554, 21

---

2 καὶ τὸ ῥεῦμα post πόρον add. C 3 αὐτοῖς om. E 4 τοῖς (τῆς E) περὶ Θήρωνα DEH: καὶ ἐπὶ πλέον αὔξησον τῷ λοιπῷ γένει· λέγει δὲ τοῖς π. Θ. CQ 6 παῖ om. E ‖ πατρωνυμικὸν EQ 7 δὲ] καὶ E 8 ἐνίκησε E 9 ἀντὶ τοῦ οἰκῶν. Ὅμηρος DEHQ: οἰκῶν. καὶ Ὅμηρος Bv 10 Ἅρμ'] αἷμ' E 16 ὁ ἀγὼν om. E 18 κορυφᾶν ‖ Ὀλυμπιακὸν b 19 τὸ νέμων b: τῶν ἐμῶν 20 πόρον Ἀλφεοῦ C: ἕδος (δὲ) Ὀλύμπου DEHQ ‖ τὴν Ἦλίν φησιν C 20. 21 συναπτέον om. C 22 sch. 27 et 28 et 29ª in unum contr. C ‖ εὔφρων BE: εὔφρων ἄρουραν (D)HQ ‖ καλὸς E 23 γῆν om. E 24 an πρὸς τῇ οὔσῃ? cfr. p. 69, 24

28 a. *κόμισον*: ἀπὸ μεταφορᾶς τῶν κομῶν, τουτέστι τῶν τριχῶν, αἳ ἐπιμελείας ἀξιοῦνται. οἱ δὲ, ἐπιμελείας ἀξίωσον· ὡς γάρ τινες, φυγὰς ἦν· ἀνακόμισον οὖν αὐτὸν εἰς τὴν πατρίδα. A

28 b. *κόμισον*: αὔξησον. εὔχεται τοὺς ἀπογόνους Θήρωνος ἄρχειν τῶν Ἀκραγαντίνων. B(C)DEHQ

29 a. *λοιπῷ γένει*: τοῖς περὶ Θήρωνα καὶ Ξενοκράτην ἀδελφούς. συγγενεῖς δὲ οὗτοι Ἱέρωνος τοῦ Αἰτναίων βασιλέως. 31 C B(C)DEHQ

29 b. *τῶν δὲ πεπραγμένων*: Δεινομένους παῖδες δ' ἐγένοντο, Γέλων, Ἱέρων, Πολύζηλος, Θρασύβουλος· κηδεστὴς δὲ ἐγένετο Θήρων τῷ Πολυζήλῳ καὶ τῷ Γέλωνι. κηδεστὴν οὖν ὄντα, φησὶν ὁ Δίδυμος, τὸν Θήρωνα τῷ Πολυζήλῳ παραμυθεῖται ὁ Πίνδαρος, γράφων κατὰ λέξιν οὕτως· Πολυζήλῳ τοίνυν τῷ τοῦ Ἱέρωνος ἀδελφῷ [Ἱέρωνι καὶ Θρασυβούλῳ Θήρων κηδεστής] Γέλωνος [μετὰ] τὴν στρατηγίαν καὶ τὴν γυναῖκα Δημαρέτην κατὰ τὴν τελευτὴν ἐγγυήσαντος, ὥστε ἥνπερ εἶχε Γέλων πρὸς Θήρωνος, ταύτην εἶχε ὁ Πολύζηλος πρὸς Γέλωνος, . . . . . γαμβρῶν οὖν γεγονότων αὐτῶν Ἱέρων λαμπροῦ τινος τοῦ Πολυζήλου ὑπάρχοντος καὶ σφόδρα παρὰ τοῖς Σικελικοῖς εὐδοκιμοῦντος ὑπὸ φθόνου τὸ μὲν πρῶτον εἰς ἀνοικισμὸν αὐτὸν Συβάρεως ἐξέπεμψε, τῷ μὲν λόγῳ χρηστὴν αὐτῷ καὶ λαμπρὰν ἐλπίδα τιθεὶς, τοῖς δὲ ἔργοις μεταστὰς αὐτὸν ἐκ τῆς Σικελίας . . . . . . A

---

1 sch. VL *E* 359. EM 526, 44. Hes. Suid. *κόμιζε*. Zon. 1245

---

2 *οἱ δὲ*] *οἷον*? et post *ἀξίωσον* interpungendum? 3 *ἀξίως* $\mathbf{A}^{ac}$ 5 *κόμισον αὔξησον* om. **D** ‖ *κόσμησον* **HQ** ‖ *εὔχεται τῷ ἀπογόνῳ χείρωνος* **E** 7 *τοῖς*] *τῷ* et *τοῖς* **B** *τῷ* **v** ‖ *Ξενοκράτου* **E** 8 *ἀδελφούς* **Q**: *ἀδελφούς* et *ἀδελφοῖς* **B** *ἀδελφοῖς* **EH** om. **D** 10 *Δεινομ(ένους)* 13 *τὸν* Schneider: *τῷ* 14 *γρ(άφων)* **A**: *γράφει* Schneider ‖ *κατὰ λέξιν* Schneider: *κατάλεγ* $\mathbf{A}^{cp}$ 15 *Ἱέρωνι* $\mathbf{A}^{pc}$: *Ἱέρων* $\mathbf{A}^{ac}$ ft. *Γέλωνι* scrib. et haec verba ante *Πολυζήλῳ* trp. 16 *Γέλων*: Schneider ‖ *μετὰ* seclusi: *καὶ* Schroeder; *μετὰ τῆς στρατηγίας* Schneider 18 *ἥνπερ* ego: *εἴπερ* **A** *ἅπερ* Schneider (quia mox *ταῦτα* Red.) ‖ *Γέλων πρὸς Θήρωνος* Schneider: *Θήρων πρὸς Γέλωνα* 19 *Γέλωνος* Schneider: *Θήρω(να)* ‖ lac. indicavi 24 desunt haud pauca.

BDEHQ 29 c. *τῶν δὲ πεπραγμένων:* ὁ Θήρων θυγατέρα ἑαυτοῦ ἐξέδωκε πρὸς γάμον Πολυζήλῳ τῷ ἀδελφῷ Ἱέρωνος, ὃς πεμφθεὶς ὑπὸ Ἱέρωνος πολεμῆσαι τοῖς περιοίκοις Σικελιώταις βαρβάροις, ἔπαυσε τὸν πόλεμον χωρὶς τῆς τοῦ Ἱέρωνος γνώμης, καὶ διὰ τοῦτο ἐν ὑφοράσει ἦν. Θρασυδαίου δὲ τοῦ Θήρωνος υἱοῦ πείσαντος τὸν Πολύζηλον ἐπιθέσθαι τῷ Ἱέρωνι, ὑπισχνουμένου αὐτοῦ τοῖς πράγμασι συναντιλήψεσθαι, γνοὺς ὁ Ἱέρων ἔκρινεν αἱρήσειν τὴν Ἀκράγαντα καὶ Θήρωνα καὶ Θρασυδαῖον. μελλόντων δὲ τῶν φίλων .... ἔπεμψε Σιμωνίδης ὁ λυρικὸς πρὸς αὐτὸν συμβουλεύων, ἐκταράξαι μᾶλλον βουλόμενος τῷ μηνύειν τὴν μέλλουσαν αὐτῶν προδοσίαν ἔσεσθαι καὶ τοὺς προδιδόντας. ὁ δὲ εὐλαβηθεὶς ἐξεχώρησε τῶν πραγμάτων τῷ Ἱέρωνι, ὕστερον δὲ ἀπέλαβεν ἀπ' αὐτοῦ τὴν τυραννίδα, καὶ διελύθησαν τῆς ἔχθρας, ὡς καὶ κηδείαν τινὰ πρὸς ἀλλήλους ποιήσασθαι, ἀδελφιδῆν Θήρωνος Ἱέρωνος λαβόντος γυναῖκα. ὅθεν ὁ Πίνδαρος παραπέμψασθαι παραινεῖ τὰ προγεγενημένα. 31 DEH

BCEHQ 29 d. [*ἄλλως· τῶν δὲ πεπραγμένων:*] ζητεῖται, δι' ἣν αἰτίαν εὐξάμενος τῷ Θήρωνι τὰ κάλλιστα, κατάπαυσιν τῶν πραχθέντων δεινῶν αἰτεῖται τὸν Δία. καὶ ὁ μὲν Ἀρίσταρχός φησι, διὰ τὸ κεκμηκέναι τοὺς τοῦ Θήρωνος πατέρας κατὰ τὴν Ῥόδον, τῶν πραγμάτων στασιαζομένων, καὶ οὕτω τὴν μετοικίαν εἰς τὴν Σικελίαν στειλαμένων. ὁ δὲ Δίδυμος τὸ ἀκριβέστερον τῆς ἱστορίας ἐκτίθεται, μάρτυρα Τίμαιον (FHG I, 214) τὸν συντάξαντα τὰ περὶ τῆς Σικελίας προφερό-

---

1. 2 αὐτοῦ DEHQ 4. 5 τῇ τ. Ἱ. γνώμῃ, om. χωρὶς, E (τῇ .... γνώμῃ et Q) 5 Θρασυδαίου Q ($E^{cp}$ $H^{cp}$): Θρασυδίου B Θρασιμήδ(ους) D 7 συναντιλαβέσθαι DHQ 9 Θρασύδιον B || μελόντων B || lac. indicavi, in qua de proditione amicorum dictum erat 10 ἔπεμπε B 11 μᾶλλον DEHQ: μᾶλλον καὶ B || βουλόμενον D ἑλόμενον E || τῷ (sic) μηνύειν B: μηνύων DEGHQ 11. 12 αὐτῶν BDGHQ: αὐτοῦ E αὐτῷ b 12 τοὺς om. E || παραδιδόντας B 14 ὑπέλαβεν E 15—17 cfr. Thom. 114, 11 Ab. 16 ἀδελφιδῆν — γυναῖκα om. D || ἀδελφιδῆν scripsi cl. sch. J. II inscr.: ἀδελφὴν 17 παραπέμπεσθαι DHQ 18 ἄλλως et l. om. C l. om. Q 20 δεινῶν] δεῖν E 23 τὴν εἰς τὴν Σ. μετοικεσίαν Gb εἰς τὴν Σ. τὴν μετοικίαν Q || εἰς τοὺς Σικελίαν B 25 συμπράξαντα E || προφερόμενα E

μενος. ἡ δὲ ἱστορία οὕτως ἔχει· | Θήρων ὁ τῶν Ἀκραγαν- BCDEHQ τίνων βασιλεὺς Γέλωνι τῷ Ἱέρωνος ἀδελφῷ ἐπικηδεύσας γάμῳ συνάπτει τὴν ἑαυτοῦ θυγατέρα Δημαρέτην, ἀφ' ἧς καὶ τὸ Δημαρέτειον νόμισμα ἐν Σικελίᾳ. τοῦ δὲ Γέλωνος τελευτᾶν τὸν βίον μέλλοντος, Πολύζηλος ὁ ἀδελφὸς τὴν στρατηγίαν καὶ τὴν γαμετὴν τοῦ ἀδελφοῦ διαδέχεται κατὰ τὰς Γέλωνος προστάξεις, ὥστε τὸ Θήρωνος εἰς Γέλωνα κῆδος εἰς τὸν Πολύζηλον μετατεθεῖσθαι. λαμπρῷ δὲ αὐτῷ καὶ περιβλέπτῳ τυγχάνοντι κατὰ τὴν Σικελίαν Ἱέρων φθονήσας ὁ ἀδελφὸς καὶ πρόφασιν σκηψάμενος τὸν πρὸς Συβαρίτας πόλεμον, ἀπελαύνει τῆς πατρίδος. ἀλλὰ καὶ τοῦτον κατώρθωσε τὸν πόλεμον ὁ Πολύζηλος. ὁ δὲ μὴ φέρων γυμνότερον αὐτοῦ κατηγορεῖν ἐπειρᾶτο νεωτερισμοῦ. καὶ οὕτω τὸν Θήρωνα, ὑπεραγανακτήσαντα θυγατρὸς ἅμα καὶ γαμβροῦ, συρρῆξαι πρὸς Ἱέρωνα πόλεμον παρὰ Γέλᾳ τῷ Σικελιωτικῷ ποταμῷ, οὗ Καλλίμαχος μέμνηται (fr. 361)· οἵ δὲ Γέλᾳ ποταμῷ ἐπικείμενον ἄστυ. μή γε μὴν εἰς βλάβην, μηδὲ εἰς τέλος προχωρῆσαι τὸν πόλεμον· | φασὶ BCEHQ γὰρ τότε Σιμωνίδην τὸν λυρικὸν περιτυχόντα διαλῦσαι τοῖς βασιλεῦσι τὴν ἔχθραν. τούτοις οἰκείως τοῖς φθάσασιν εὔχεσθαι τῷ Διί φησι τὸν Πίνδαρον ὁ Δίδυμος, ὥστε λοιπὸν αὐτοῖς εἰρηναῖον εἶναι τὸν βίον. e. ἡ οὖν διάνοια BCDEHQ αὕτη· σὺ μέν, ὦ Ζεῦ, παράσχοις πάντα τὰ κάλλιστα, καὶ πρὸς τῇ οὔσῃ εὐδαιμονίᾳ πλείονα δοίης ἀγαθά. εἰ δέ τι ἐν τοῖς φθάσασι χρόνοις συμβέβηκεν ἄτοπον, εἴτε δικαίως εἴτε μή, τοῦτο οὐχ οἷόν τέ ἐστιν, οὐδὲ αὐτῷ τῷ χρόνῳ, ὥστε μὴ γεγενημένον ποιῆσαι. τὸ γὰρ γενόμενον ἀγένητον ποιῆσαι

---

1—15 cfr. Thom. 113, 22 Ab. 3 γάμον E ‖ ἑαυτοῦ C: αὐτοῦ ‖ Δημερέτην et 4 Δημερέτειον E 5 ὁ ἀδελφὸς C: ἀδελφὸς 6 βασιλείαν Thom. ‖ τοῦ ἀδελφοῦ BDEH: αὐτοῦ CQ 7 Γέλωνος BDEH: Γ. τοῦ ἀδελφοῦ CQ 8 μετατίθεσθαι E ‖ αὐτῷ om. Bv 10 σκηψάμενος b: σκεψάμενος ‖ τὸν om. E 13 γῦμνο E (om. -τερον) 15 γαμηρᾶς E ‖ περὶ CD 17 γάλα E ‖ Γέλα ποταμοῦ κεφαλῇ A (79, 2) ‖ ἐπικείμενοι E ‖ μή γε μὴν Q (hb ex Brub.): μή γε μιν BEHv μήτε μὴν C μὴ μέντοι γε DG 18 μηδὲ CDEHQ: μὴ B 19 παρατυχόντα C 20 οἰκεῖον Ch οἰκείοις E 21 post φησι repet. εὔχεσθαι E 23 πάντα CDEHQ: πᾶσι B 26 οὐδὲ C: οὔτε 27 ἀγέννητον E

ἀδύνατον· ἴσως δὲ λήθη ἄν τις γένοιτο τῶν κακῶν, ἀγαθῆς μοίρας διαδεξαμένης. 34 CDEHQ

A 32a. ὁ πάντων πατήρ: τὸ φθάσαν γενέσθαι ἀδύνατον ἀπαλειφθῆναι. ἄλλως· οὐ δυνατὸν γὰρ ἀποίητον γενέσθαι . . . b. . . . τὰ πραχθέντα εἴτε δικαίως εἴτε ἀδίκως οὐδ' ἂν ὁ πάντων πατὴρ δυνηθείη χρόνος· λήθην μέντοι ἱκανὸς ἐμβαλεῖν τύχη σὺν ἀγαθῇ· φθερεῖ δὲ τῶν ἀγαθῶν πραγμάτων ἡ χαρὰ τῶν ἀτόπων τὰς βλάβας, ὅταν πάλιν εὐδαιμονία παραγένηται.

BCDEH 31. οὐδ' ἂν χρόνος ὁ πάντων πατήρ: τῶν δὲ πεπραγμένων ἔργων τὸ τέλος ἀποίητον καὶ ἀγένητον θέμεν οὐδ' ἂν ὁ πάντων πατὴρ χρόνος δύναιτο, ἀλλ' ἔστιν ἀδύ-
BCEH νατον. | καὶ Ὅμηρος (I 249)·

οὐδέ τι μῆχος
ῥεχθέντος κακοῦ ἔστ' ἄκος εὑρεῖν· ἀλλὰ πολὺ πρὶν
φράζεσθαί σ' ἄνωγα. $29^{d}$ CDEH

A 34a. λάθα δέ: τοῦ δὲ κακοῦ λήθη γένοιτ' ἂν ὑπ' ἀγαθοῦ τινος ἐπιγινομένου· τὸ γὰρ παλίγκοτον πῆμα οὕτως ἂν μόνως ἀποθνήσκοι χάρματός τινος ἐπιγινομένου.

BCDEQ 34b. λάθα δὲ γένοιτ' ἄν: τῶν δὲ κακῶν γένοιτο ἂν
B(C)EQ λήθη, διαδεξαμένης εὐδαιμονίας. | ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ὅτι οἱ περὶ Θήρωνα τὸ ἀνέκαθεν δεδυστυχήκασιν, ἀλλ' εἰς λήθην αὐτῶν ἐξέπεσεν ἡ δυστυχία διὰ τὴν ἐπισυμβᾶσαν εὐτυχίαν.

B(C)DEQ 35a. ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνᾄσκει: ὑπὸ γὰρ τῆς χαρᾶς τῶν γεγενημένων ἀγαθῶν τὸ κακὸν

---

1 γένηται E ‖ καιρῶν r (ex B male lecto?) 4 ἀπολειφθῆναι: Schneider ‖ ἄλλως del. vid. 5 lac. indicavi 6 ἱκανὸς ego: ἱκανῶς 7 φθείρει? 10 l. om. CD ὁ πάντων πατήρ om. Bv 11 πεπρωμένων E ‖ ἔργων BDEH: ἔργων ἐνδίκως τε καὶ μὴ C ‖ ἀγέννητον $C^{ac}$EHr ‖ θεῖναι C 12 οὐδ' ἂν χρ. ὁ π. π. δύναται E ‖ ἀλλ' ἔστιν ἀδύνατον DEH: ἀλλὰ ἀδύνατον Bv om. C 14 μῆχος CEH: μῆχαρ Bv 15 ἔστ'] οὔτ' v ‖ ἀλλὰ — 16 ἄνωγα om. C 16 σ' ἄνωγα] ἄμυγα E 17 κακοῦ b: καλοῦ ‖ γένοιτ' ἂν b ex V: γένηται 19 ἀποθνήσκει: b 20 l.] λάθα(η) δὲ πότμῳ DQ λάθα δέ C 25 πῆμα θνᾄσκει om. DQ 26 τῶν γεγενημένων ἀγαθῶν B: τῆς τῶν ἐναντίων τῶν ἀγαθῶν DEQ

ἀφανίζεται καὶ τὸ παλίγκοτον καὶ ἄτοπον δαμασθὲν καὶ ἀναιρεθὲν ὑφ' ἡδονῆς θνήσκει, μάλιστα ὄλβου ἐπιγινομένου ὑψηλοῦ ἐκ θείας μοίρας. b. ἄλλως· τὸ δὲ τραχὺ πῆμα νικᾶται ὑπὸ τῆς ἀγαθῆς χαρᾶς καὶ ἀφανίζεται, ὁπόταν εἰς ὕψος τὴν εὐδαιμονίαν ἀναφέρῃ ἡ μοῖρα [καὶ ὅταν τὴν εὐδαιμονίαν εἰς ὕψος ἄγῃ]. **BEQ**

35 c. π α λ ί γ κ ο τ ο ν: τὸ χαλεπὸν καὶ ἐναντίον τῷ ἀγαθῷ. **$B^{g1}$CQ**

36 a. δ α μ α σ θ έ ν: ἀντὶ τοῦ ἡττηθέν. b. ⟨π α λ ί γ κ ο τ ο ν:⟩ εἰς τοὐπίσω τὸν κότον ἀποβαλὼν καὶ εἰς λήθην ἐμπίπτειν τῶν κακῶν. c. ἢ π α λ ί γ κ ο τ ο ν ἵνα εἴπῃ τὸ ἰσχυρὸν παρὰ τὸ δὶς ἐπιφοιτᾶν δύνασθαι. **A**

38 a. ἀ ν ε κ ά ς: ἄνωθεν· ἢ ἄνω. b. ὅταν ἡ τοῦ θεοῦ μοῖρα τὸν ὄλβον ἄνω αὐξήσῃ. **A**

38 c. (ἀ ν ε κ ά ς:) πόρρω. ἤγουν ἄνω. ἐξ ὕψους. **$B^{g1}$**

e. ἀ ν ε κ ά ς: ἄνω. εἰς ὕψος πολύ. **C**

39 a. ἕ π ε τ α ι δ ὲ λ ό γ ο ς: οὗτος ὁ λόγος ἀκολουθεῖ ταῖς τοῦ Κάδμου κόραις· μεγάλων γὰρ κακῶν τυχοῦσαι ἐκ μεταβολῆς μεγάλων ἀγαθῶν ἐπειράσθησαν. εὖ δὲ τὸ τῶν Κάδμου θυγατέρων μεμνῆσθαι, ἵνα οἰκείῳ παραδείγματι χρήσηται· τὸ γὰρ τοῦ Θήρωνος γένος ἐνθένδε κατάγεσθαί φησιν ὁ Πίνδαρος ἐν ἐγκωμίῳ οὗ ἀρχή (fr. 118)· βούλομαι παίδεσσιν Ἑλλάνων. **A**

39 b. ἕ π ε τ α ι δ ὲ λ ό γ ο ς ε ὐ θ ρ ό ν ο ι ς Κ ά δ μ ο ι ο κ ο ύ ρ α ι ς: οἰκειότατα πρὸς τὴν γνώμην ἑαυτοῦ καὶ τὸ παράδειγμα λαμβάνει, ὅτι τοὺς προδυστυχήσαντας καὶ εὐδαιμονία διαδέχεται, ὥσπερ καὶ τὰς Κάδμου θυγατέρας. ὁ αὐτὸς γὰρ λόγος διαδέχεται αὐτὰς καὶ ἐπ' αὐτῶν ἁρμόζει. αὗται γὰρ **BCDEQ**

---

1 καὶ (pr.) et 2 θνήσκει ft. del. 2. 3 ἐπιγενόμενον ὑψηλὸν **E** 3 ἄλλως **EQ**: πῆμα θνάσκει **Bv** 5 καὶ — 6 ἄγῃ secl. **b** 5 ὅταν **BQ**: ὅτι ὅταν **E** 9 κότον Schneider: κόπον ‖ ἀποβαλὼν **A** prave: ἀποβαλὸν **b** ἀποβαλεῖν Schneider 9. 10 ἐκπίπτον **b** 18 μεγάλης et -ων **A** ‖ τῶν ego (cfr. p. 72, 8): τοῦ 21 ἐγκωμίου ἀρχῇ: Schneider (οὗ ἡ ἀρχή **b**) 22 παίδεσσιν an -εσσιν **A** incert. 23 εὐθρόνοις — κούραις om. **CDQ** Κάδμοιο κούραις om. **B** 24 οἰκειότατ(α) **BDv**: οἰκειότατον **EQb** 25 λαμβάνει **CDEQ**: ἐκφέρει, μᾶλλον δὲ λαμβάνει **Bv** ἐκφέρει **b** ‖ καὶ om. **Bv** 26 ὁ αὐτὸς — 27 ἁρμόζει om. **D** 27 διαδέχεται αὐτὰς om. **Bv** ‖ αὐτῶν] αὐτὴν **E** ‖ ἁρμόσει **$B^{1}$v**

τὸ μὲν πρότερον εἰς τοσαύτην δυστυχιῶν ὑπερβολὴν ἐληλύθασιν ὥστε καὶ τραγικαῖς ὑποθέσεσι χορηγίαν παρασχεῖν· ἀλλ' ἐφάμιλλος καὶ εὐδαιμονία τὰς κόρας διεδέξατο· τούτων δὲ μέμνηται, ἐπεὶ ὁ Θήρων εἰς Λάιον ἀνάγει τὸ γένος.

BDEQ c. ἄλλως· ἕπεται δὲ λόγος: οὗτος ὁ λόγος ἀκολουθεῖ καὶ ταῖς τοῦ Κάδμου κόραις· μεγάλων γὰρ κακῶν τυχοῦσαι, πάλιν ἐκ μεταβολῆς μεγάλων ἀγαθῶν ἐκοινώνησαν. εὖ δὲ τῶν Κάδμου θυγατέρων τὸ παράδειγμα φέρει· ἄνωθεν γὰρ Θηβαῖος ὁ Θήρων.

BCDEQ 39 d. εὐθρόνοις: τοῦτο πρὸς τὴν διαδεξαμένην εὐτυχίαν ἀκουστέον.

BCDEQ 40. ἔπαθον αἳ μεγάλα: Ἰνώ, Σεμέλη, Αὐτονόη, Ἀγαυή· ἐπεὶ καὶ αὗται παθοῦσαι ἐν ἀρχῇ, ὕστερον ἔτυχον τῆς ἐκ θεῶν τιμῆς.

A 42 a. πιτνεῖ: ἢ πίπτει ἢ προκατάρχει.

BCDEQ 42 b. πιτνεῖ: καταπίπτει.

BDEQ 42 c. τὸ δὲ βαρὺ πένθος πιτνεῖ καὶ ἀφανίζεται τῶν κρεισσόνων διαδεξαμένων ἀγαθῶν.

CEQ 42 d. ἄλλως· ἡττᾶται γὰρ τὸ κακὸν ὑπὸ τῶν ἀγαθῶν, καὶ λύσις ἐστὶ τῆς συμφορᾶς ὅταν ἀγαθόν τι ἐπιγίνηται.

e. ἐὰν δὲ χωρὶς τοῦ σ γράφηται, ἔσται τὸ νόημα τοιοῦτον· πρὸ τῶν ἀγαθῶν τοῖς ἀνθρώποις τὰ κακά· ὅπερ καὶ ἐν ἑτέρῳ φησίν (fr. 225)· ὁπόταν θεὸς ἀνδρὶ χάρμα πέμψῃ, πάρος μέλαιναν καρδίαν ἐστυφέλιξεν.

BCDEQ 44. ζώει μὲν ἀποθανοῖσα: ἠστειεύσατο πρὸς τὴν τῆς
BCEQ εὐτυχίας ὑπερβολήν, ὅτι δοκήσει μὲν | τέθνηκεν ἡ Σεμέλη τῷ βρόμῳ τοῦ πυρὸς τοῦ κεραυνίου, ζῇ δὲ νῦν συνδιατρίβουσα τοῖς οὐρανίοις θεοῖς.

---

2 τραγικοῖς B[s] || χορείαν E 3 pro ἀλλ' — διεδέξατο hic inser. 6 μεγάλων — 7 ἐκοινώνησαν D; quae postea suo loco repet. 4 ἐπειδὴ CDE 10 εὐθρόνοις· τοῦτο BCE: τὸ εὐθρόνοις δὲ DQ 12 ἀγανή E 13 ἐπεὶ δὲ καὶ E 15 πίπτει ego: πιτνεῖ 16 πιτνεῖ B: πιτνεῖ καὶ E πένθος (δὲ) πιτνεῖ C[D]Q 19 ἄλλως om. C 20 ἐπιγένηται Cb 21 ἔσται om. E 22 ἀνθρώποις] ἀ. γὰρ Qb 23 ἑτέροις E || ὁπότε Qb 24 πάρος μέλαιναν Nauck: πρὸς μέλ. EQ προμέλ. C πρόσθε μ. b 25 ζώει μὲν ἀποθανοῦσα B ζώη ἀποθανοῖσα E: ζώει μὲν ἐν Ὀλυμπίοις [D]Q || ἠστειεύσατο] τοῦτο C 27 κεραυνοῦ CE

45. *βρόμῳ*: ἤχῳ πυρός· ἐκεραυνώθη γάρ. A

48 a. *Παλλάς*: Ἀθηνᾶ ἡ πολιοῦχος τῶν Θηβαίων· οὐκ εἶπε δὲ τὴν Ἥραν, ὅτι μητρυιά. A b. *φιλέοντι δὲ Μοῦσαι*: ὡς Θηβαίαν οὖσαν· φιλόλογοι δὲ Θηβαῖοι. c. [*καὶ Ζεὺς πατήρ*:] τὸ κῶλον τοῦτο ἀθετεῖ Ἀριστοφάνης· περιττεύειν γὰρ αὐτό φησι πρὸς ⟨τὰς⟩ ἀντιστρόφους.

48 d. *φιλεῖ δέ νιν Παλλάς*: τοῦτο οἱ μὲν ἁπλῶς διὰ BCDEQ τὴν ἐν θεοῖς διατριβὴν λέγουσιν· οἱ δὲ ὅτι ὡς ἐπιχωρία θεός. ἄγαλμα γὰρ αὐτῆς ὁ Κάδμος ἱδρύσατο ἐν Ὄγκαις, κώμῃ τῆς Βοιωτίας. Ὀγκαία οὖν ἡ Ἀθηνᾶ τιμᾶται.

48 e. *φιλέοντι δὲ Μοῖσαι*: οἱ μὲν διὰ τὰ περὶ αὐ- BEQ τῆς τοῖς ποιηταῖς εἰρημένα· οἱ δὲ διὰ τὸν Ἑλικῶνα, ὅς ἐστι τῆς Βοιωτίας. καὶ αὗται οὖν ἐπιχώριοι. f. *φιλέοντι δὲ Μοῖσαι*: περισσόν ἐστι κῶλον ὡς πρὸς τὴν ἀντίστροφον· ὅθεν καὶ ὀβελίσκος αὐτῷ παράκειται. πᾶσαι γάρ εἰσι δεκατεσσάρων [ὁμοῦ] κώλων, αὕτη δὲ μόνη δεκαπέντε εὑρίσκεται ἔχουσα. g. *φιλέοντι δέ*: καὶ τοῦτο ὡς θεαὶ ἐπι- C χώριοι διὰ τὸν Ἑλικῶνα, ὅς ἐστι Βοιωτίας ὄρος· οἱ δέ, διὰ τὸ ἐν ταῖς ποιήσεσι τὴν Σεμέλην ᾄδεσθαι.

50. *ὁ κισσοφόρος*: ἐπιθετικῶς ὁ Διόνυσος. παῖς δὲ DEQ ἤτοι ὁ νεαρός, ἢ πρὸς αὐτὴν τὴν Σεμέλην [λέγει].

51 a. *λέγοντι δέ*: ἀντὶ τοῦ καὶ ἐν θαλάσσῃ· πρῶτος A γὰρ ὁ σύνδεσμος, εἶτα ἡ πρόθεσις.

---

8 sch. Aesch. Sept. 149. Hes. Ὄγγα Ἀθηνᾶ. Tzetzes ad Lyc. 1225 22 Eust. vit. Pind. 10, 8 Ab.

---

4 *Θηβαῖοι* ego: *Ἀθηναῖοι* ‖ *καὶ — 5 πατήρ* seclusi; cfr. 48$^{f}$ 6 *αὐτῷ*: **b** ‖ *τὰς* add. Schroeder 7 *φιλεῖ — τοῦτο* om. **D** ‖ *νιν* **C**: *μιν* **BEQ** 8 *λέγουσιν* om. **CD** ‖ *ὅτι*] *οὕτως* **E** 9 *θεᾶ* **CE**$^{ac}$ ‖ *αὐτὴν* **D** *αὐτῇ* **E** 11 *τῶν* et 12 *εἰρημένων* **E** 11. 12 *αὐτοῖς* **EQ**$^{s}$ 13 *καὶ* om. **Bv** ‖ *ἐπιχώριαι* **Q** 13—17 cfr. Tricl. 117, 11 Ab. 13. 14 *καὶ ἔστι περισσὸν τὸ κῶλον* **v** om. l. *ἄλλως· ἔστι π. τὸ κ.* **hb** 14 *ὡς πρὸς* **EQ**: *πρὸς* **B** 15 *ὅθεν — παράκειται*] *ὅθεν καὶ ἡμεῖς οὐ γεγράφαμεν ἐν τῷ κειμένῳ* **v** ‖ *ὀβελίσκος* **B**$^{ac}$ (in mg. *δ*) *ὀβόλος* **E** *ὀβολὸς* (o incert.) **Q** *ὀβελὸς* **b** 15. 16 *εἰσι δεκατεσσάρων ὁμοῦ* **B**: *εἰς ιδ′* **E** *ιδ′* (corr. ex *δ′*) *εἰσι* **Q**. Seclusi *ὁμοῦ* 20 l. *παῖς ὁ κισσ.* [**D**]**Q** 21 *λέγει* om. **b** 23 *πρόφασις*: **b**

BCDEQ 51 b. *λέγοντι δ' ἐν καὶ θαλάσσᾳ*: φασὶ δὲ καὶ τὴν Ἰνὼ Κάδμου θυγατέρα μετὰ τῶν θυγατέρων τοῦ Νηρέως ἐν τῇ θαλάσσῃ διὰ παντὸς τοῦ χρόνου ἄφθαρτον οὖσαν BCEQ διάγειν καὶ τετάχθαι. | αὕτη δὲ ἡ Λευκοθέα Νηρηὶς γενο- HQ μένη. c. οὕτως γάρ, ἤγουν Λευκοθέα, καλεῖται. ἡ γὰρ Ἰνὼ μεταξὺ Βοιωτίας καὶ Ἀττικῆς φυγοῦσα ἦλθεν εἰς τὸν BCEQ Ἰσθμὸν καὶ ἐκεῖθεν ἥλατο εἰς τὴν θάλασσαν. d. μαρτυρεῖ δὲ καὶ Ὅμηρος (Ε 333)·

τὸν δὲ ἴδεν Κάδμου θυγάτηρ, καλλίσφυρος Ἰνώ,
Λευκοθέη, ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα,
νῦν δ' ἁλὸς ἐν πελάγεσσι θεῶν ἐξέμμορε τιμῆς.

A 52 a. *Νηρέως*: Δωρίδος καὶ Νηρέως αἱ Νηρηίδες. b. καὶ ἡ Ἰνώ ποτε κακωθεῖσα ὕστερον εἰς ἀθανασίαν μετέβαλεν, ἐνάλιος γενηθεῖσα θεός. τὸν δὲ ἴδε cett. usque ad τιμῆς.

A$^{gl}$BCDEQ 55 a. *ἤτοι βροτῶν*: ἀντὶ τοῦ δή, ἵνα ᾖ ἡ ἀρχὴ τοῦ λόγου· τῶν δὴ βροτῶν οὐκ ἔστιν οὐδὲν κεκριμένον πέρας θανάτου· ἄδηλον γὰρ πότε συμβήσεται ὁ θάνατος τοῖς ἀν- BDEQ θρώποις. b. ἄλλως· τοῖς ἀνθρώποις τὸ τέλος τοῦ θανά- BCDEQ του κατ' οὐδὲν σαφές ἐστιν. c ἢ οὕτω· τοῖς ἀνθρώποις τὸ τέλος τοῦ βίου κατ' οὐδὲν σαφὲς, οὐδὲ ποδαπὴν τὴν ἐπιοῦσαν ἕξουσιν ἡμέραν ἴσασιν.

B(C)EQ 56 a. *πέρας οὔτι κέκριται*: οὐδὲ τοῦτο διακεκριμένον ἐστὶν οὐδὲ ἀναμφισβητήσιμον καὶ ἑστηκὸς, ποίαν ἡμέραν BCDEQ εἰρηναίαν καὶ ἀγαθὴν διάξομεν. b. παῖδα δὲ ἡλίου

---

1 καὶ (alt.) om. E 4 διάγειν καὶ τετάχθαι] lac. D ‖ δὲ BEQ: δέ ἐστιν C 7 ἥλλατο Q ἥλλατο r 9 τὸν] ἴόν E ‖ δὲ ἴδε A (vid. infra) C: δὲ εἶδε BEQ δ' εἶδεν v ‖ καλίσφυρος AQ 10 Λευκοθέα CE ‖ μὲν V: μέν ποτ' A ‖ αὐδήεσα B 11 ἐν om. v 16 ἤτοι — 17 λόγου om. A 16 l. ἤτοι βροτῶν BC: ἤτοι E ἤτοι βροτῶν γε κέκριται DQ ‖ ἤτοι ante ἀντὶ add. C ‖ δή] δὲ E$^{1}$ 17 λόγου] l. οὕτω v ‖ δή] δὲ E 18. 19 τοῖς ἀνθρώποις γὰρ ἄδηλον π. σ. ὁ θ. Bv 21 σαφὲς CEQ: σαφές ἐστιν B ποτὲ D 21 ποταπὴν CD 22 ἕξουσιν ἡμέραν] ἡμ. ἐξουσίαν E ‖ ἴστασιν E 23 sch. 56 et 58 inverso ordine et licenter mutata C ‖ οὔτι] ἀντὶ τοῦ E 24 ἀσφισβητ. E ‖ ἡμέραν om. Q 25 ἀγαθὴν καὶ εἰρηναίαν EQ 25 — p. 75, 1 cfr. Tricl. 119, 14 Ab.; Germ. ib. 17

τὴν ἡμέραν, ἐπεὶ ὁ ἥλιος τὴν ἡμέραν γεννᾷ ἀνατέλλων. | ἀὴρ **DQ**
γὰρ ὑπὸ ἡλίου φωτιζόμενος ποιεῖ τὴν ἡμέραν.

58 a. οὐδ' ἀσύχιμον: λέγει ὅτι ἄδηλος ἡ τύχη τῶν **A**
ἀνθρώπων. τὴν δὲ ἡμέραν θυγατέρα τοῦ Ἡλίου ἔφη ἐναντίως Ἡσιόδῳ· ἐκεῖνος γάρ φησι (Theog. 124)·

⟨Νυκτὸς δ' αὖτ'⟩ Αἰθήρ τε καὶ Ἡμέρα ἐξεγένοντο·

καθὸ ἐκ τῆς ἐπιτολῆς αὐτοῦ ἡ ἡμέρα γεννᾶται. b. ἀμφίβολον δὲ πότερον αὐτῷ ὁ λόγος καὶ ἐπὶ τοῦ θανάτου· οὐδὲ ὁπότε τελευτήσομεν τὴν ἐσχάτην ἡμέραν .... ὅτι ἀθορύβως ἐν τῷ τοῦ ζῆν χρόνῳ. οὕτω δὲ καὶ Ἀρίσταρχος ἀκούει.

58 c. οὐδ' ἀσύχιμον: ἥσυχον. ἀπράγμονα. εὐτυχῆ. **BDEQ**
d. οὐδ' ὁπότε ἐν ἡσυχίᾳ ἐσόμεθα | ἀθορύβως καὶ ἀταρά- **BEQ**
χως ἐν τῷ τοῦ ζῆν χρόνῳ. e. οὐδ' ὁπότε διατελέσομεν **B(C)EQ**
ἡμέραν ἥσυχον. f. ἡμέρα δὲ ἡσύχιος, ἡ τοῦ θανάτου· ἐπεὶ ἐν αὐτῇ θανόντες ἡσυχάζομεν.

58 g. (ἀσύχιμον:) θανάσιμον. **B^gl**

60 a. ἀτειρεῖ σὺν ἀγαθῷ: ἀβλαβεῖ. ἀκαταπονήτῳ. **BE**
ἀνεμποδίστῳ. b. ὁπότε σὺν τῷ ἀβλαβεῖ ἀγαθῷ τελευτήσομεν.

61. (τελευτάσομεν:) πληρώσομεν. **B^gl**

62 a. ῥοαὶ δ' ἄλλοτ' ἄλλαι: ῥεύματα δὲ ἀλλοῖα καὶ **AB(C)DEQ**
ἀλλοῖα μετὰ εὐθυμιῶν τε καὶ μόχθων εἰς τοὺς ἀνθρώπους

---

1 τὴν ἡμέραν (pr.) **BC**: om. **E** τὴν ἡμέραν εἶπεν **DQ** ‖ τὴν ἡμέραν (alt.) **BCE**: αὐτὴν **DQ** ‖ ἀνατέλλων om. **DQ** 2 γὰρ **Q**: δὲ **D** 4. 5 ἐναντ(ίως) Ἡσιόδ(ῳ) **A** ‖ Ἡσίοδος Red., **b** 7 τῆς ἐπιτολῆς αὐτοῦ ἡ ego: τῆς ἐπὶ τῆς αὐτῆς **A** τῶν νυκτῶν cj. **b** τῆς ἐπ' αὐτῆς Schneider τῆς ἐπὶ τῆς αὐτῆς ⟨ἡμέρας νυκτὸς⟩ Mommsen ἐκ τῆς αὐτῆς aut ἐκ τῆς νυκτὸς Sybel p. 4 8 καὶ] ἐστὶν? 9 ὅτι **A** prave: ἢ ὅτι cj. **b** ἢ ὁπότε Horn de Arist. studd. Pind. p. 15 ‖ θόρυβος cj. Schneider 10 post χρόνῳ addi vult ἐσόμεθα Horn 12 οὐδ' ὁπότε Horn n. 21 οὐδὲ πότε **b**: οὐδέποτε ‖ ἡσυχίᾳ **DEQ**: εὐτυχίᾳ **Bv** 13 οὐδ' ὁπότε] ut supra 12 14 ἥσυχον **B**: ἡσύχιον **C** ἡσύχιμον **EQ** ‖ post ἥσυχον lac. stat. Horn 14—15 cfr. Germ. 119, 11 Ab.; Tricl. ib. 13 14 ἡμέραν δὲ ἡσύχιον **Q** ‖ ἡσυχ(ιος?) **E^cp** ‖ ἡ **BQ**: τὴν **E** 15 ἐπεὶ — ἡσυχάζομεν et **A^gl** 21 δ' **V**: τ' **A** ‖ ῥευμάτων **E** 21. 22 καὶ ἀλλοῖα **B(C)E**: om. **AQ** καὶ πάλιν ἀλλοῖα **DG** 22 ἀθυμιῶν **A** ‖ τε καὶ **A**: καὶ μετὰ **V**

B(C)EQ ἔρχονται. b. θέλει δὲ εἰπεῖν ὅτι οὐχ οἷόν τέ ἐστιν ἀν-
θρώπους ὄντας ἀεὶ ἐν εὐθυμίᾳ διάγειν, ἀλλὰ πάντως καὶ
BEQ ἀτόποις ἐντυγχάνειν ἀνάγκη. c. ἄλλως· ῥεύματα. μετα-
βολαί. d. αἱ τῆς τύχης φοραὶ ἄλλοτε εἰς ἄλλους ἀνθρώ-
πους μεταβαίνουσιν ἢ εὐθυμίαν ἢ πόνον παρέχουσαι.
A 65 a. οὕτω δὲ: οὕτω δὲ ἐπὶ τούτων τῶν περὶ τὸν
Θήρωνα ἡ πατρικὴ μοῖρα κακὸν φέρει καὶ πάλιν ἀγαθόν.
b. ἡ ἐξ ἀρχῆς τοῦ γένους τούτου μοῖρα.
BCDEQ 65 c. οὕτω δὲ μοῖρα ἕως τοῦ ἄλλῳ χρόνῳ: ἐνταῦθα
ἡ ἀνταπόδοσις τῆς διανοίας καὶ ἧς ἐξέθετο γνώμης. οὕτω
δὴ καὶ τὸν αὐτὸν τρόπον τὰ ῥεύματα τῆς τύχης ἄλλως καὶ
ἄλλως φέρεται ἐπί τε καλῶν καὶ κακῶν, καὶ οὐκ ἔστιν ἐπί-
BCEQ μονα, | ὥστε δείκνυσθαι ἐκ τοῦ κατὰ Θήρωνα γένους. τού-
του μὲν γὰρ εὔφρονα καὶ καλλίστην γένεσιν ἀπέδειξεν ἀπὸ
προγόνων ἐκ τοῦ τοὺς θεοὺς ἀνωρθωκέναι αὐτοῦ τὴν εὐδαι-
BCDEQ μονίαν· | ἐπάγει δέ τι καὶ πῆμα ἐναντιώτατον τῷ ἀγαθῷ
ἔστιν ὅτε· ἀφ᾽ οὗ πήματος ἔστι θεάσασθαι κακῶς διατεθὲν
καὶ τὸ Λαΐου γένος. ὃν δὴ συμβέβηκεν ὑπὸ τοῦ ἰδίου
BDEQ παιδὸς φονευθῆναι Οἰδίποδος, | ἐν ὁδῷ περιτυχόντα κατὰ
τὴν Φωκίδα, καὶ ἐπὶ πέρας ἀγαγεῖν τὸ πρότερον αὐτῷ χρησ-
μῳδηθέν (Eur. Phoen. 18)· μὴ σπεῖρε παίδων ἄλοκα δαι-
μόνων βίᾳ. ὁ δὲ Θήρων τὴν συγγένειαν ἔχει πρὸς τὸ γένος
BCEQ τὸ τοῦ Οἰδίποδος, | καὶ διὰ τοῦτο οἰκείως τοῖς περὶ αὐτὸν
BEQ ἐχρήσατο λόγοις. | πῶς δὲ συγγενής ἐστιν, ἐροῦμεν ἑξῆς.
ἑρμηνεύεται δὲ καὶ οὕτως· οὕτω δὲ ἅτε πατρῷον· ὃν

---

1 ἔρχονται AD ἔρχεται Q: ἀνέρχεται Bv ἐξέρχεται E ‖ ὅτι] οὕτως E 2 ἀεὶ om. E 3 ἀτρόποις E ‖ ἀνάγκαις EQ ‖ ῥευμάτων E 4 εἰς ἄλλους] ἄλλαι εἰς b 5 μεταβαίνουσιν EQ: μεταβαίνουσαι καὶ B 9 μοῖρα BCDQ: μοῖρ᾽ ἅτε πατρῴιον E ‖ ἕως — 10 γνώμης om. C ‖ ἕως τοῦ] τῷ E 10 ἡ ἀνταπόδοσις BQ: ὁ ἀντ. ... (lac.) E αὐτὸ ἡ ἀπόδοσις D ‖ ἐξέθετο γνώμης BEQ: ἐξέγνωμεν D 11 ἄλλως καὶ CDEQ: ἄλλοτε Bv 13 ἐκ — γένους om. E 14 ἀπέδειξεν Beck: ὑπέδ. BCEv ἐπέδ. Q 15 ἐκ τοῦ] καὶ ἐκ E ‖ αὐτῶν Q 16 καὶ om. E 20 τῆς Φωκίδος EQ 20. 21 χρησμωδοθέν E χρησμοδοτηθέν Dv 21 σπεῖρε DGQ: σπεῖραι BEv ‖ παίδων BQ: τέκνων E (ut Eur.) παίδων τέκνων D ‖ ἄλοκα B 22 συγγέννειαν B 23 τὸ τοῦ BQ: τοῦ DE 25 δὲ (alt.)] δὴ Bv ‖ ὃν BQ: ὁ γὰρ E

τρόπον κατὰ τῶν προγόνων τῶν περὶ τὸν Θήρωνα κατέχει τὸν εὔφρονα πότμον ἡ τύχη, καθάπερ τὸ πατρῷον κατέσχε.

d. τουτέστι τῶν Καδμιδῶν. 68ª D

65 e. οὕτω δὲ μοῖρ' ἅτε πατρώιον: ἡ ἐξ ἀρχῆς ἀπὸ γένους μοῖρα ἅμα τοῖς ἀγαθοῖς καὶ πήματα ἄγει, ἀφ' οὗ ἀνεῖλεν ὁ Οἰδίπους τὸν Λάιον. 68ᶠ D 65ᵍ Q DEQ

65 f. ὅτι ἐκ πλούτου κακὸν ἄγει ἡ μοῖρα ἐν ἄλλῳ χρόνῳ, τεκμήριον ὁ Λαΐου παῖς. 68ᵉ Q g. ἄλλως· οὕτω δὲ καὶ ἐπὶ τούτων τῶν περὶ τὸν Θήρωνά, φησιν, ἡ πατρῴα κακὸν ἄγει μοῖρα καὶ πάλιν ἀγαθόν. 65ᶠ Q EQ

68 a. ἐπί τι καὶ πῆμ' ἄγει: ἐπάγει καί τι. b. χρόνος ἀντὶ χρόνου, ἀντὶ τοῦ ἐπήγαγεν. c. παλιντράπελον: ἢ τὸ ἐναντίον τῷ κακῷ· ἢ τὸ ἀηδές. A

68 d. ἐπί τι καὶ πῆμ' ἄγει: ἐπάγει δὲ ἡ μοῖρα καὶ κακόν τι ἐναντίον ἑτέρῳ χρόνῳ· ἵν' ᾖ· ἔστιν ὅτε καὶ κακῶν πεῖραν ἡ μοῖρα δίδωσιν. εἶτ' ἐκ παραδείγματος· τοιγαροῦν καὶ τὸ γένος Λαΐου τάδε ἔπαθεν. 68ᶠ Q e. θεόρτῳ: ὑπὸ θεοῦ ὀρθουμένῳ. ἀσφαλεῖ. θεοδωρήτῳ. 65ᵉ D 68ᵈ Q BDEQ BDQ

68 f. παλιντράπελον: ἀντεστραμμένον. g. ἡ δὲ ὅλη διάνοια οὕτως ἔχει· ἡ ἀπὸ τοῦ γένους μοῖρα ⟨ἐπὶ⟩ τὸν περὶ τὸν Θήρωνα εὔφρονα πότμον καὶ ὄλβον ὃν ὁ θεὸς ὀρνύει καὶ δίδωσιν, ἐπάγει τι καὶ ἀντεστραμμένον πῆμα ἐν ἄλλῳ χρόνῳ. BDEQ

69. ἐν ἄλλῳ δὲ χρόνῳ καὶ ἐπί τινα βλάβην ἄγει ἀντεστραμμένως καὶ ἐναντίως τοῖς πρῴην ἀγαθοῖς. C

---

19 Suid. Phot. lex Bachm. 326, 30

---

1 τῶν (pr.)] τὸν E 2 πότμον] ποταμὸν E ‖ ἡ] κατέχει ἡ B, sed κατέχει del. ‖ τὸν πατρῷον et 3 τὸν τῶν Κ. cj. Mommsen suppl. p. 19 3 Καδμίδων Qv Κάδμου E 4 l.] πατρώιον (D)Q 7 ἄλλως praem. Q ‖ ὅτι E ὅτι δὲ GQ ‖ χρόνῳ GQ: χρόνῳ δὲ E 8 οὕτω δὲ GQ: οὕτω E 9 φησιν EG: μεταβάλλεται τῶν τοῦ Ἱέρωνος προγόνων Q προγόνων b 11 καί τι ego: δὲ τί 17 τοιάδε D 18 ὀρθουμένῳ BG ὀρθούμενον Q: ὁρμώμενον D ‖ ἀσφαλεῖ om. D ‖ θεοδωρήτῳ GQ: om. BD 20 ἐπὶ add. h πρὸς ved παρὰ addi vol. Beck 21 ὀρνύ^ε B ὀρύνει E: ὀρίνει DQv

Bε[1] 70 a. (ἀφ᾿ οὗπερ:) ἀφ᾿ οὗ πήματος ἔκτεινεν ὁ παῖς τὸν πατέρα.

A 70 b. *μόρσιμος υἱός*: ὁ ἀναγκαῖος ⟨καὶ⟩ κατὰ μοῖραν αὐτῷ γεγονώς. γράφεται καὶ μόριμος, ὁ μόρον ἐπενεγκών. c. ἢ ὁ εἱμαρμένος, διὰ τοῦ σ̄. d. μόρσιμον υἱὸν τὸν Οἰδίπουν, καθὸ μοῖραν ἐπήνεγκε τῷ πατρὶ Λαΐῳ· ἐν δὲ τοῖς παιᾶσιν (fr. 68) εἴρηται περὶ τοῦ χρησμοῦ τοῦ ἐκπεσόντος Λαΐῳ· καθὰ καὶ Μνασέας ἐν τῷ περὶ χρησμῶν (FHG III, 157) γράφει· Λάιε Λαβδακίδη, ἀνδρῶν περιώνυμε πάντων. e. *ἐξ οὗπερ*· ἀφ᾿ οὗ χρόνου Λάιον ἐφόνευσεν Οἰδίπους. (cfr. V 16) εἰσὶ γὰρ ἀπόγονοι τούτων οἱ περὶ Θήρωνα. f. ἄλλως· περὶ τῶν Θήρωνος προγόνων, ὅτι οὗτοι τὸ γένος ἀπὸ Θηβαίων εἶχον, ἀπὸ Κάδμου τὸ ἀνέκαθεν. Κάδμου γὰρ Πολύδωρον· τοῦ δὲ Λάβδακον· τοῦ δὲ Λάιον· τοῦ δὲ Οἰδίποδα· εἶτα Ἐτεοκλέα· τοῦ δὲ Πολύδωρον· τοῦ δὲ Αἵμονα. τοῦτον δὲ τῶν ἐμφυλίων ἀνδρῶν ἀποκτείναντά τινα τῷ κυνηγεσίῳ Ἀθήναζε μεταστῆναι· τοὺς δὲ ἀπὸ τούτου πάλιν ἐκ τῶν Ἀθηνῶν μεταστάντας ἅμα τοῖς Ἀργείοις Ῥόδον κατοικῆσαι μέχρι τινῶν γενεῶν κἀκεῖ μείναντας ἐλθεῖν εἰς Ἀκράγαντα, καὶ μέχρι Θήρωνος τὰς ἁπάσας γενεὰς ζ΄ πρὸς ταῖς η΄ ἀριθμεῖσθαι. ταῦτα ἱστορεῖ ἐν ἐγκωμίῳ οὗ ἡ ἀρχή (fr. 118)· βούλομαι παίδεσσιν Ἑλλάνων. ἐν δὲ τοῖς προεκκειμένοις καὶ ταύτην τὴν πολλὴν ἄλην αὐτῶν ἀποκλαίοντα τὸν Πίνδαρον φάναι (vs. 15 vulg.)· καμόντες οἳ πολλὰ θυμῷ ἱερὸν ἔσχον οἴκημα ποταμοῦ. g. ἵνα λέγῃ τὴν

---

3 sqq. cfr. Hesych. *μόρσιμοι: ἀναγκαῖαι. εἱμαρμέναι. μεμοιραμέναι. ἢ ἕτοιμοι εἰς θάνατον* 3 *ἀναγκαίως* **b** ‖ *καὶ* addidi 4 *μόρσιμος*: ego 5 *ὁ εἱμαρμένος* ego (cl. Hesych. l. l.): *ὁ ἡμαρτημένος* **A** *μεμοιραμένος* Horn. n. 17 8 *Μνασαίας*: **b** 10 *ἀφ᾿ οὗ* **A**pc *ἀφ᾿ οὗπερ* **A**ac ‖ *Οἰδίππους* 11 *ἄλλως· ⟨Δίδυμος παρατιθέμενος τὰ Τιμαίου φησὶν⟩ περὶ* Horn 13 *Κάδμον*: Schneider ex **V** 15 *Πολύδωρος*: Horn 16 *τούτων*: Schneider ex **V** 17 *τῷ*] *⟨ἐν⟩ τῷ* Horn ‖ *κυνηγεσίῳ* **V**: *κυνηγίῳ* 18 *μεταστάντος*: Schneider ex **V** 19 ft. *κἀκεῖ μείναντας μέχρι τινῶν γενεῶν* 21 *ταῖς* **b**: *τοῖς* ‖ *ἱστορεῖν* Horn 23 *προεγκειμένοις*: Schneider ‖ *ἄλλην*: Schneider 23. 24 *ἀποκλίναντα*: Schneider *ἀποφαίνοντα* Horn 25 dist. Horn

Γέλαν, οὕτω καλουμένην πόλιν ἐν Σικελίᾳ παρὰ τῷ ποταμῷ
τῷ Γέλᾳ, ὡς Καλλίμαχος (fr. 361)· οἱ δὲ Γέλα ποταμοῦ
κεφαλῇ ἐπικείμενον ἄστυ. οἱ δὲ τὴν Ἀκράγαντα· πάλιν
γὰρ αὕτη πόλις ἐστὶ Σικελίας ὁμώνυμος τῷ ποταμῷ. ἔχοι
δ' ἂν μᾶλλον τὸ β' λόγον. μετὰ γὰρ καμάτου ἐκτίσθη
Ἀντιφήμου τοῦ Ῥοδίου καὶ Ἐντίμου τοῦ Κρητὸς κατὰ χρησ-
μὸν Ἀπόλλωνος μαχεσαμένων Σικελιώταις περὶ τοῦ χωρίου.
h. ἱερὸν δὲ οἴκημα ἡ Ἀκράγας ὅτι Ζεὺς ἔδωκεν αὐτὴν
Περσεφόνῃ.

70 i. μόριμος υἱός: ἤτοι ὁ κατὰ μοῖραν αὐτῷ γενό- BEQ
μενος, ἢ ὁ μόρον ἐπενεγκών. k. ὁ δὲ χρησμὸς ὁ δοθεὶς BDEQ
Λαΐῳ δημώδης· Λάιε Λαβδακίδη καὶ τὰ ἑξῆς. l. μόρσι- DQ
μος υἱός: ὁ μεμοιραμένος. ἢ ὁ μόρου αἴτιος τῷ πατρί.

72 a. τὸ δὲ χρησθὲν παλαίφατον: τὸ δὲ μαντεῖον BDEQ
τὸ δοθὲν Λαΐῳ κατὰ τὴν Πυθῶνα παρ' Ἀπόλλωνος, τοῦτο
πατροκτονήσας ἐπὶ πέρας ἤγαγεν ὁ Οἰδίπους. b. ἄλλως· Q
παλαίφατον: τὸ πάλαι πεφατισμένον καὶ ῥηθὲν Λαΐῳ.
c. ἐν δὲ Πυθῶνι: τὸ δὲ χρησθὲν τῷ Λαΐῳ ἐν Πυθοῖ, C
τὸ (Eur. Phoen. 18) μὴ σπεῖρε, Λάιε Λαβδακίδα, ἄλοκα
δαιμόνων βίᾳ, εἰς γὰρ κακόν σου τοῦτ' ἔσται, ἐξεπλήρωσεν
Οἰδίπους.

72 d. (τελέσας:) γράφεται καὶ τέλεσε. E$^{gl}$

73 a. ἰδοῖσα δ' ὀξεῖ' Ἐρινύς: ἤτοι ὀξέως βλέπουσα, B(C)DEQ
ἢ ὀξέως τιμωρουμένη. b. ἐστύγησεν ὥστε ἀλληλοφονίαν
γενέσθαι τοῦ γένους αὐτοῦ. | Ἐτεοκλῆς γὰρ καὶ Πολυνεί- B(C)EQ
κης | ἀλλήλους ἀνεῖλον. c. τοῦτο δὲ ὀξέως θεασαμένη B(C)Q

---

11 anth. Pal. 14, 67. hyp. Soph. O. T. et Eur. Phoen.

---

2 δὲ Γέλα **V**: δ' ἀγέλα 5 ft. τὸ α', cl. **V** 8 ἔδωκεν αὐτὴν Schneider: σε δῶκεν αὐτῇ 10 μόριμος **E**$^1$: μόρσιμος **BE**$^2$**Q** || υἱός **B**: δὲ υἱός **EQ** 10. 11 γεννώμενος **E** 12 δημώδης **B**: ἐστὶ δημώδης **DE** ἢ δημώδης **Q** || Λάιε — ἑξῆς om. **B** 12. 13 sch. 70 l ante k **D** || μόρσιμος υἱός **D**: ἄλλως μόρσιμος: ὡς εἰπεῖν ἢ **Q**; item, sed ὡς εἶπον **Gb** 14 τὸ δὲ (pr.) **E**: τοῦτο δὲ **B** Πυθῶνι **D** ἐν δὲ Πυθῶνι **Q** || χρηστὸν **E** || παλαίφατον **B**: om. **DQ** π. τέλεσε **E** 15 τὴν **DQ**: τὸν **BEv** || τοῦτον **v** 16 ἐπὶ **DEQ**: εἰς **Bv** 20 σοι? 23 ἰδοῖσα an ἰδοῦσα **B** incertum || Ἐρινύς **C**: Ἐριννύς **BE** om. **DQ** || sch. 73 frustula quaedam **C**

ἡ Ἐριννὺς τὸ γεγονὸς ὑπὸ Οἰδίποδος, ἀνεῖλεν αὐτοῦ τὸ BDQ γένος καὶ δι' ἀλλήλων χωρῆσαι ἐποίησεν. c. λέγει δὲ Ἐτεοκλέα καὶ Πολυνείκην. 81 C

DEQ 75. *γένος ἀρήιον*: ἤτοι γενναῖον τὰ πολεμικὰ, ἢ ὅτι ἀπὸ Ἄρεος τὸ γένος κατῆγε δι' Ἁρμονίαν.

A 76 a. *Θέρσανδρος*: Θέρσανδρος ἔγημε Δαμώνασσαν τὴν Ἀμφιαράου· ἀδελφοὶ δὲ αὐτοῦ Τιμέας καὶ Ἀλάστωρ. b. τὸ δὲ ἑξῆς τοῦ λόγου· λείφθη δὲ ὁ Θέρσανδρος τοῦ Πολυνείκους πεσόντος οὐκ ἦν . . .

BDEQ 76 c. *λείφθη δὲ Θέρσανδρος*: τὸ ἑξῆς· ἐλείφθη δὲ τοῦ Πολυνείκους πεσόντος Θέρσανδρος, Ἀνδρότιμος, Ἄλαστος. ὁ δὲ Θέρσανδρος ἐν Μυσίᾳ τρωθεὶς ὑπὸ Τηλέφου τελευτᾷ.

B(C)DEQ d. ἄλλως· ἐλείφθη δὲ λοιπὸν ὁ υἱὸς Πολυνείκους ἀναιρεθέντος Θέρσανδρος, ὅστις αὐτῷ ἐξ Ἀργείας τῆς Ἀδράστου θυγατρὸς γέγονεν.

B(C)DEQ 78. *νέοις ἐν ἀέθλοις*: ἐν τοῖς ἀκινδύνοις ἀγωνίσμασι καὶ πρέπουσι νέοις· λέγει δὲ τοῖς δι' ἀγῶνος· [*ἐν μάχαις τε*:] καὶ ἐν πολέμοις ὁ τίμιος καὶ γενναῖος τυγχάνων.

B(C)DEQ 80 a. *Ἀδραστεΐδαν*: ἐνταῦθα ἀντὶ ἑνικοῦ πληθυντικῶς ἐξήνεγκεν· ἔστι γὰρ Ἀδραστεΐδος· ἐκ μιᾶς γὰρ τῆς Ἀδράστου θυγατρὸς Ἀργείας γέγονε. b. τὸ δὲ Ἀδραστεΐδαν οὐ περισπαστέον· ἔστι γὰρ θηλυκὸν καὶ ἔχει τὴν εὐθεῖαν

---

80 c. EM 18, 46: *Ἀδραστεϊδῶν*: Ἄδραστος κύριον· Ἀδραστίδης, Ἀδραστιδῶν· καὶ πλεονασμῷ τοῦ ε̄, Ἀδραστεϊδῶν θάλος.

---

2 δι ] κατ' B[s] ‖ δι' ἀλλήλων ⟨χειρὸς⟩ vel ⟨φόνου⟩ Beck 5 κατῆγον DQ ‖ δι' Ἁρμ. om. D 6 ἔγημε Schneider: ἐπὶ μὲν A ἐπὶ μὲν ⟨γάμῳ ἔσχε⟩ b ‖ Δαμώνασαν: b 7 Τιμέας Paus. 2, 20, 5: Τιμίας ‖ Ἀλάστωρ A: Ἄδραστος Paus. l. l. (sed cfr. Bethe ap. Pauly-Wissowa s. v. Alastor) 9 οὐκ ἦν verba corrupta cum 81 θάλος ἀρ. contin. A 10 ἐλείφθη E ‖ δὲ (alt.)] δὴ E 11 schol. integrum non esse susp. Beck 12 ὁ δὲ Θ. om. D ‖ ὑπὸ Τηλέφου (-θου Q, δὲ add. D) ἐν Μ. τρωθεὶς (τεθεὶς D) DQ 13 δὲ] δὴ E ‖ λοιπὸν ὁ BQ: λοιπὸς D λοιποὺς ὁ E 14 Θερσάνδρῳ E[ac] 16 ἐν (in l.) om. v ‖ ἀγωνίσμα B 17. 18 ἐν μάχαις τε om. CDEQ; seclusi 18 τίμαιος E 19 ἀντὶ τοῦ ἑνικοῦ E ‖ ἑνικῶς C ‖ πληθυντικῶς BCD? E: -κὸν D? Qv 20 ἐξήνεγκεν DQv: ἐξήγαγεν BCE

ʼΑδραστεῖς, τῶν ʼΑδραστεΐδων· | τὸ γὰρ ἀρσενικὸν περισπᾶται, οἱ ʼΑδραστεῖδαι, τῶν ʼΑδραστειδῶν. 87 C BDEQ

81 a. *θάλος ἀρωγὸν δόμοις:* [*τιμώμενος:*] ὁ Θέρσανδρος. γίνεται γὰρ ʼΑργείας τῆς ʼΑδράστου θυγατρὸς καὶ Πολυνείκους, εἰς ὃν ἀναφέρει τὸ γένος ὁ Θήρων. b. ʼΑδραστεΐδων δὲ εἶπε κατὰ τὸ πληθυντικὸν ἀντὶ ἑνικοῦ ʼΑδραστίδος· μιᾶς γὰρ ἐγένετο τῆς ʼΑργείας ὁ Θέρσανδρος. c. οὐ δεῖ περισπᾶν τὸ ʼΑδραστεΐδαν· εἴρηται γὰρ ἀπὸ τοῦ ʼΑδραστίδες· Δαναίδες. A

81 d. *θάλος ἀρωγὸν δόμοις:* τὸ βλάστημα τοῦ ʼΑδράστου γένους. e. ἀπὸ γὰρ Θερσάνδρου καὶ Κάδμου οἱ πρόγονοι τοῦ Θήρωνος. f. ἐπεὶ Θέρσανδρος καὶ Διομήδης οἱ ἐπίγονοι ἐπιστρατεύσαντες ταῖς Θήβαις τῶν προαναιρεθέντων πατέρων ἐξεδίκησαν τὸν φόνον. B(C)DEQ

82 a. *ὅθεν σπέρματος:* ἔστι μὲν καὶ οὕτως διαστεῖλαι· ὅθεν σπέρματος ἔχοντι ῥίζαν· εἶτα ἀπ᾿ ἄλλης ἀρχῆς· πρέπει τὸν Αἰνησιδάμου· ἣν καὶ ὁ Δίδυμος ἀποδέχεται. ʼΑρίσταρχος δὲ οὕτως· ὅθεν σπέρματος ἔχοντι ῥίζαν τὸν Αἰνησιδάμου· ὥστε ἴσον εἶναι τῷ, ἀφ᾿ ὧν ἔχοντι τὸ σπέρμα τῷ Αἰνησιδάμου υἱῷ πρέπει λυρῶν καὶ ἐγκωμίων τυγχάνειν. γίνεται δέ, φησιν ὁ Δίδυμος, κατὰ τὴν ἐκφορὰν ταύτην παρέλκον τὸ τυγχανέμεν. τὴν δὲ αἰτιατικὴν πτῶσιν τοῖς ἄνω συναπτέον ὡς προείρηκα, καὶ τὸ πρέπει τὸν Αἰνησιδάμου ἀπὸ ἄλλης ἀρχῆς· ὁ δὲ Θήρων τοῦ σπέρματος ἔχει ῥίζαν ἀπὸ τούτων. b. *ὅθεν σπέρματος·* ἀπὸ γὰρ Οἰδίποδος οἱ περὶ Θήρωνα. c. Αἰνησιδάμου γὰρ παῖδες Θήρων καὶ Ἱέρων. A

82 d. *ὅθεν σπέρματος ἔχοντι:* ἀφ᾿ οὗ γένους, τοῦ Θερσάνδρου, ἔχουσι τὴν ῥίζαν οἱ περὶ Θήρωνα. B(C)DEQ | τὸ δὲ γένος B(C)EQ

---

2 ʼΑδραστῖδαι **B** ʼΑδραστίδαι **D** ʼΑδραστείδαι **E** || ʼΑδραστιδῶν **BD** 3 l. *θάλος — δόμοις* cum 76 contin. **A** || *δήμοις* **A** || *τιμώμενος* seclusi 5. 6 *ἄδραστε· ἰδὼν* 6 ʼΑδραστίδ(ος) 11 sq. cfr. 25 sq. 12 *ἐπειδὴ* **DE** 14 *πατέρων* **BDQ**: *νεκρῶν* **C** om. **E** 17 *ἣν*] *ὃ* cj. **b** 18 *ἔχοντι* **b**: *ἔχον* **A** *ἔχοντα* Hartung, Bergk; cfr. Schroeder ad h. l. || *τὸν*] *τῷ*? Hartung 19 *ὡς τῶν ἴσων*: ego 20 *λυρῶν*] ρ ex corr. 22 *παρέλκων* $A^{ac}$ 28 *ὅθε* **B** || *ἔχοντι* **BC**: *ἔχοντι ῥίζαν* **E** *ἔχοντα* **Q** om. **D**

B(C)DEQ *Λαΐου καὶ Οἰδίποδος ὁ Θήρων οὕτω κατάγει˙* | *Λαΐου Οἰδίπους˙ τούτου Πολυνείκης˙ οὗ Θέρσανδρος˙ οὗ Τισαμενός˙ οὗ Αὐτεσίων˙ οὗ Θήρας˙ οὗ Σάμος. οὗτος ἔσχεν υἱοὺς δύο, Τηλέμαχον καὶ Κλύτιον˙ ὧν ὁ μὲν Κλύτιος ἔμεινεν ἐν Θήρᾳ τῇ νήσῳ, ὁ δὲ Τηλέμαχος ἐν χώρᾳ . . . ., ὅθεν συλλέξας δύναμιν ἔρχεται εἰς Σικελίαν καὶ κρατεῖ τῶν τόπων˙ ἐξ οὗ Χαλκιοπεύς˙ οὗ Αἰνησίδαμος˙ οὗ Θήρων.* 76 C

A 87 a. *Ὀλυμπίᾳ μὲν γάρ: εἰς μὲν τὰ Ὀλύμπια ἐνίκησε μόνος, εἰς δὲ τὰ Πύθια μετὰ Ἱέρωνος τοῦ ἀδελφοῦ. τὸ γὰρ παλαιὸν ποιοῦντες ἀμφότεροι τὰς δαπάνας ἴσας, ἔπεμπον ἅρματα εἰς τὸν ἀγῶνα, καὶ νικώντων αὐτῶν κοινῶς τὰς δαπάνας καὶ τὴν νίκην εἶχον.*

BDEQ 87 b. *Ὀλυμπίᾳ μὲν γὰρ αὐτός: Ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς καθ' ἑαυτὸν γέρας εἴληφεν˙ ἀντὶ τοῦ ἐν Ὀλυμπίᾳ ἐνίκησεν˙ ἔσχε δὲ καὶ κοινὰς πρὸς τὸν ἀδελφὸν Ξενοκράτην νίκας ἐν Ἰσθμῷ καὶ Πυθοῖ. ἐξ ἑνὸς γὰρ οἴκου πρὸς ἱπποτροφίαν διδόντες καὶ ἀπὸ κοινῶν χρημάτων, ἀμφότεροι καὶ ταῖς νίκαις ἀνεγράφοντο.* c. *καὶ οἱ μὲν βούλονται ἀκούειν οὕτως˙ οἱ κοινοὶ αὐτῶν ἵπποι νικήσαντες ἀμφοτέροις παρεσχήκασι κοινὴν καὶ τὴν δόξαν˙ οἱ δὲ ὅτι ἐν τοῖς κοινοῖς ἵπποις ἀμφότεροι, ἕκαστος ἰδίᾳ ἐν τοῖς αὐτοῖς ἵπποις ἐνίκησε τέθριππον˙ ὃ καὶ μᾶλλον.*

DEQ 87 d. *ἄλλως˙ Ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς γέρας ἔδεκτο:*
EQ *ἀντὶ τοῦ μόνος˙ Πύθια δὲ καὶ Ἴσθμια Ξενοκράτης.* e. *κατὰ δὲ τοὺς Ἀριστοτέλους Πυθιονίκας μόνος Θήρων ἀναγέγραπται˙ ἤτοι οὖν συλληπτικῶς εἴρηκεν, ἢ ἐπεὶ Θήρωνος*

---

1—7 cfr. Thom. 123, 10 Ab. 1 *οὕτω*] *οὐ* C 2. 3 *Τισαμένης* CDE 3 *Αὐτεσίων* CE: *ἀντεσίων* B[D]Q Thom. v 5 *τῇ νήσῳ*] *τηνοὺς*? E ‖ *ἐν χώρᾳ* .... (lac.) B: *κατοικεῖ ἐν χωρίῳ* C *κατοικεῖ* χ̄ E *κατῴκει ἐν χώρᾳ* DQ Thom. v ‖ *ὅθεν* — 6 *ἔρχεται* om. E 7 *οὗ Ἐμμενίδης* post *Χαλκιοπεύς* add. Thom. et b, cl. sch. O. III 68. P. VI 4 9 *Ξενοκράτους* b vix recte 13 l.] om. DQ *τὸ γέρας ἔδεκτο* add. E ‖ *Ὀλυμπίᾳ* — 14 *εἴληφεν* om. B 14 *τὸ γέρας* E ‖ *ἔλαβεν* Gb 15 *πρὸς τὸν ἀδ. κοινὰς* E 18 *ἀνεγράφοντο* DEQ: *ἐνεγράφοντο* Bv ‖ *βούλονται*] *ὤλοντ(ο)* E 20 *δόξαν* DEQ: *δόσιν* B 20 *ὅτι ἐν* BDQ: *οὕτως* E 21 *τοῖς αὐτοῖς* ego: *αὐτοῖς τοῖς* 23 *ἄλλως* [D]Q: om. E 25 *Ἀρισσιέλους* E *τοῦ Ἀριστοτέλους* Q

ἵπποις ὁ Ξενοκράτης ἐνίκησε, διὸ καὶ συνανεκήρυξε Θήρωνα. f. ὁμόκληρον δὲ τὸν ἀδελφὸν ἢ διὰ τὸ τοῦ αὐτοῦ DEQ κλήρου καὶ φύσεως μετέχειν, ἢ ὅτι Ἴσθμια καὶ Πύθια ὁμοίως ἐνίκησε, διὰ τοὺς δύο στεφάνους μετασχὼν καὶ τῆς αὐτῆς δόξης. g. ἄλλως· Ξενοκράτης ἦν Θήρωνος ἀδελφός. οὗτος ἐνίκησεν ἱπποτροφῶν καὶ Πύθια καὶ Ἴσθμια, καὶ γέγραφε Πίνδαρος εἰς τὰς τούτου νίκας· κοινὰς οὖν φησιν αὐτῶν εἶναι τὰς νίκας διὰ τὸ ἐκ τοῦ αὐτοῦ οἴκου εἶναι τὰς χορηγίας | καὶ τὰς ἐπιμελείας τῆς ἱπποτροφίας. τὴν γοῦν Ἰσθ- EQ μικὴν νίκην ὑμνῶν Θρασύβουλον προσεφώνησε τὸν τοῦ Θήρωνος υἱόν [οὗτος τοῦ Ξενοκράτους] (J. II, 1)· οἵ μὲν πάλαι, ὦ Θρασύβουλε, φῶτες. οὕτω κοινὰς ἡγοῦντο τὰς νίκας. h. ἐν Ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς γέρας καὶ τιμὴν C ἐδέξατο· ἐν τῇ Πυθοῖ δὲ καὶ Ἰσθμοῖ πρὸς τὸν ὁμόκληρον ἀδελφὸν Ξενοκράτην καὶ αὐτὸν αἱ κοιναὶ χάριτες τὰ ἄνθη τῶν ἁρμάτων τῶν δωδεκαδρόμων, ἤγουν τὰς νίκας, ἤγαγον. οἱ κοινοὶ ἵπποι αὐτοῖς δόξαν ἔφερον· ἢ ἐν τοῖς ἰδίοις ἵπποις ἕκαστος ἰδίᾳ ἐνίκησε τέθριππον.

89 a. ὁμόκλαρον: ἤτοι τῆς αὐτῆς τύχης κεκοινωνη- A κότα, ἢ τοῦ αὐτοῦ κλήρου καὶ [τῆς] φύσεως μετέχοντα· τὸν Ξενοκράτην δὲ λέγει· ἦν γὰρ Θήρωνος ἀδελφός. οὗτος ἐνίκησεν ἱπποτροφῶν καὶ Ἴσθμια καὶ Πύθια, καὶ γράφει ὁ Πίνδαρος εἰς τὰς νίκας τούτου. κοινὰς οὖν αὐτοῖς τὰς νίκας φησὶ γεγονέναι διὰ τὸ ἐκ τοῦ ⟨αὐτοῦ⟩ οἴκου τὰς χορηγίας τῆς ἱπποτροφίας γεγονέναι.

89 b. ὁμόκλαρον ἐς ἀδελφεόν: ἤτοι διὰ τὴν συγ- B(C)DEQ

---

1 συνανεκήρυξε GQ: συνεκήρυξε E 2 ἢ DQ: ἤτοι E ‖ τοῦ DQ: τὸ E 4 ἐνίκησαν E ‖ διὰ b: διὰ τὸ DEGQ ‖ στεφάνους [D]Q: στεφάνων E ‖ μετασχὼν b: μετασχεῖν 5 ἦν DQ: οὖν E 6 καὶ Πύθια καὶ Ἴσθμια DQ: Ἴσθμια καὶ Πύθια καὶ Νέμεα E 9 τῆς GQ: τῆς δὲ E 9. 10 Ἰσθμιακὴν Q 10 Θρασύβουλον b: -λος 11 Θήρωνος EGQ falso: Ξενοκράτους b ‖ εἰ μὲν E 12 ἡγοῦντο κοινὰς Q 15 αὐτὸν ego: αὐτῶν 17 ἰδίοις] voluit κοινοῖς 20 τῆς seclusi (V) ‖ μετέχοντα ego: μετέχουσι et -σιν (p. c.) 22 ἱπποτροφῶν (-τρόφων E) V: ἱπποδρόμων A ἱπποδρομῶν Schneider 24 φασι: V ‖ supplevi ex V 25 ἱπποδρομίας: V 26 ὁμόκληρον B ‖ ἐς om. E ἐς ἀδ. om. DQ

γένειάν φησιν, ἢ ὡς ὁμοῦ ἱπποτροφούντων αὐτῶν καὶ ἀγωνιζο-
BEQ μένων καὶ ὁμοῦ νικησάντων Ἴσθμια τεθρίππῳ. c. φησὶν οὖν ὅτι ἐν Ἰσθμῷ αἱ χάριτες τῆς νίκης τῆς ἐν τῷ τεθρίππῳ κοιναὶ ἤγαγον αὐτοῖς τὰ ἄνθη τῶν στεφάνων. ἀπὸ σελίνων γὰρ τὸ στέμμα. d. ἢ οὕτως· αἱ δὲ χάριτες αἱ ἐν Πυθῶνι καὶ Ἰσθμῷ τὰ ἄνθη τῶν τεθρίππων εἰς αὐτὸν καὶ τὸν ἀδελφὸν ἤνεγκαν.

A$^{gl}$ 89 e. (ἀδελφεόν:) εἰς τὸν Πράξανδρον ἀδελφὸν τοῦ Θήρωνος ὄντα.

A 90 a. Ἰσθμοῖ τε: ἐπιρρηματικῶς λέγεται· οἴκοι. b. ⟨κοιναί:⟩ ὡς ἅμα ἱπποτροφούντων αὐτῶν καὶ ἀγωνιζομένων, καὶ ἅμα νικώντων.

B$^{gl}$ 91. (ἄνθεα:) νίκας.

A 92 a. δυωδεκαδρόμων: ὅτι δώδεκα δρόμους ἔτρεχον
A$^{mg}$ τὰ τέλεια ἅρματα, τουτέστιν ι΄ καὶ β΄ καμπτῆρας. b. τὸ γὰρ παλαιὸν οὐκ ἔκαμπτον οἱ ἵπποι ζ΄ καμπτούς, ἀλλὰ δώδεκα.

A 93 a. τὸ δὲ τυχεῖν: τὸ τυχεῖν πειρώμενον ἀγῶνος καὶ λύπην λύει καὶ τὴν ἀθυμίαν ἐκβάλλει. b. τῷ ἀποτυγχάνοντι κοινὸν ἔγκλημα ἡ ἄνοια καὶ ἡ ἀφροσύνη. c. ὁ νοῦς· πρῶτον μὲν τὸ πειρᾶσθαι ἀγῶνος παρέχει κάματον τοῖς ἀγωνιζομένοις, ὕστερον δὲ πόνων λύσιν καὶ εὔκλειαν ἔχει.

DEQ 93 d. τὸ δὲ τυχεῖν πειρώμενον: οὕτως· ⟨ὁ⟩ ἐπιτυχὼν οὐκέτι ἐν ἀγωνίᾳ ἐστὶ, παρόσον ἄφρονας μὲν λέγουσι τοὺς ἀγωνιζομένους, τοὺς δὲ νικήσαντας οὐκέτι.

CDEQ e. ἢ οὕτως· τὸ πειρώμενον τοῦ ἀγωνίσματος τυχεῖν λύσιν ποιεῖ τῆς ἀφροσύνης, ὥσπερ τὸ μὴ νικῆσαι ἄφρονα ποιεῖ.

BEQ f. ἄλλως· τὸ δὲ ἐπιτυχεῖν καὶ νικῆσαι ἀποπειρώμενον ἀγῶνος τῶν δυσκόλων φροντίδων τῶν ἐπὶ τῇ νίκῃ ἀπολύει.

---

2 Ἴσθμια τεθρ. om. D 3 ὅτι BQ: οὕτως E ‖ τῆς (ante ἐν) om. E 4 κοινὰ v 10 ἐπιρρηματικὸν: b ‖ λέγ(εται) A: λέγει b ‖ ⟨ὡς⟩ οἴκοι b; sed cfr. p. 81, 8 sq. 14 δρόμους] ς add. A$^{s}$ 15 καμπτῆρας] μ add. A$^{s}$ 16 καμπάς? 19 τῷ ⟨γὰρ⟩ cj. Mommsen suppl. p. 21 23 οὕτως DQ: οὗτος E ft. ⟨ὁ νοῦς⟩ οὕτως ‖ ὁ addidi 23. 24 ἐπιτυχεῖν E 24. 25 λέγει C (vid. ad p. 85,4) E 26 τὸ] τὸν E$^{s}$ 27 τὸ μὴ νικῆσαι C: τὸ (τὸν E) μὴ νικῶντα DEQ 28 ἄλλως EQ: τὸ δὲ τυχεῖν πειρώμενον B 29 ἀπολύειν E

g. ἄλλως· τὸ νικῆσαι δέ, φησι, τὸν ἀγωνιζόμενον παράλυσιν ποιεῖ τῆς ἀφροσύνης καὶ τῆς λύπης. h. δύναται δὲ καὶ κυρίως κεῖσθαι ἡ ἀφροσύνη, ἵν' ᾖ· | ὁ νικήσας νομίζεται ἐκτὸς ἀφροσύνης εἶναι· | κρίνουσι γὰρ οὐ τὸ εὖ βεβουλεῦσθαι διὰ τὸ ἐλθεῖν ἐπὶ τὸν ἀγῶνα. CEQ CDEQ DEQ

96 a. ὁ μάν: ἀντὶ τοῦ ὅταν. b. ὁ δὲ νοῦς· ὅταν ᾖ πεποικιλμένος ὁ πλοῦτος σὺν ἀρετῇ, πορίζει τὰ εὐφραίνοντα, καὶ τὰ ἑαυτοῦ καὶ τὰ ἀπὸ τῆς ἀρετῆς περιγινόμενα ἑαυτῷ· ἀρετὴν μὲν γάρ τις ἔχων, ἀχόρηγος δὲ ὢν διὰ τὸ πένης εἶναι, πολλῶν στέρεται τῶν εὐφραινόντων· πλούσιος δὲ ὢν ἀρετὴν μὴ ἔχων οὐ χρῆται τοῖς εὐφραίνουσι. καὶ ⟨ἡ Σαπφώ·⟩ (fr. 80) πλοῦτος ἄνευ ἀρετῆς ⟨οὐκ ἀσινὴς πάροικος. b. ὁ πλοῦτός γε μὴν ταῖς ἀρεταῖς⟩ κεκοσμημένος καὶ τῶν ἐξ αὐτοῦ εὐφραινόντων καὶ τῶν ἐκ τῆς ἀρετῆς κοσμούντων δίδωσι καιρὸν καὶ ἡδονήν. c. πολλὴν καὶ συνετὴν διάνοιαν πρότερον παρασχών, μετὰ ταῦτα καὶ τὰς ἰδίας ὁ πλοῦτος καὶ τὰς τῆς ἀρετῆς εὐφροσύνας παρέχει. d. προπαρασχὼν τὴν μέριμναν δι' ἧς πάντα ἀγρεύεται. A

96 e. ὁ μὰν πλοῦτος ἀρεταῖς: οἱ μετὰ ἀρετῆς πλουτοῦντες εὐγενῶς τὰ δύο φέρουσι τά τε ἀγαθὰ καὶ τὰ κακά· οὔτε γὰρ τὸν πλοῦτον ἀποδέχεται οὔτε τὴν ἀρετήν, ἀλλὰ τὰ δύο ἡνωμένα. φησὶ γάρ· ὁ πλοῦτος κοινωνῶν τῇ ἀρετῇ ποιεῖ τοὺς ἀνθρώπους εὐγενῶς φέρειν τὰ ἀγαθὰ καὶ τὰ κακὰ ὑπὸ τὸν αὐτὸν καιρόν, τὴν βαθεῖαν αὐτοῦ ὑπέχων μέριμναν, ὅ ἐστιν ὑπεράνω ὢν τῶν προσπιπτόντων ἀγαθῶν τε καὶ κακῶν. τὸ δὲ ἀγροτέραν σημαίνει ἀγρευτικὴν καὶ ἐρευνητικήν. 98 (C)E DEQ

96 f. ὁ μὰν πλοῦτος: ὁ νοῦς· ὁ δὲ πλοῦτος οὐ μόνος ὢν καθ' ἑαυτόν, ἀλλὰ καὶ ἀρετῇ κεκοσμημένος, καιρίως τῶν τε ἑαυτοῦ ἀγαθῶν καὶ τῆς ἀρετῆς ἀπολαύει, συνετὴν ἔχων BDEQ

---

1 δέ φησι om. C ‖ pro 4 sq. hab. p. 84, 24 ἄφρονας — 25 οὐκέτι C 4 οὐ DEGQ: καὶ b om. U 5 βεβουλέσθαι E ‖ ἐπὶ om. E 7 περιορίζει τὰ εὖ φρονοῦντα: b 9 γὰρ μέν A[ac] 10 εὐφρονούντων A[ac] 11. 12. 13 supplevi ex V 19 ἀρεταῖς om. DQ 20 εὐγενῆ E 21 ἀποδέχονται: ego 23 εὐγενῆ E 24 αὐτοῦ] αὐτῶν? 28 ὁ μὰν πλοῦτος BC (cfr. ad p. 86, 16) et praem. ἄλλως EQ: om. D 30 ft. ⟨τῶν⟩ τῆς

B(C)EQ τὴν φροντίδα πρὸς τὸ ἀγρεύειν τὰ καλά. | τούτων γὰρ τὸ ἕτερον καθ' ἑαυτὸ οὐχ ἡδύ· ὡς καὶ Καλλίμαχος (H. in Jov. 95)·

οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν,
οὔτ' ἀρετὴ ἀφένοιο· δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

καὶ ἡ Σαπφώ (fr. 80)· πλοῦτος ἄνευ ἀρετῆς οὐκ ἀσινὴς πάροικος. ἡ δὲ ἐξ ἀμφοτέρων κρᾶσις εὐδαιμονίας ἔχει τὸ EQ ἄκρον. τοῦτο προσεῖναι τῷ Θήρωνι μαρτυρεῖ. 104 B g. ἄλλως· ὁ πλοῦτός γε μὴν ταῖς ἀρεταῖς κεκοσμημένος καὶ τῶν ἐξ αὐτοῦ εὐφραινόντων καὶ τῶν ἐκ τῆς ἀρετῆς κοσμούντων δίδωσι καιρὸν καὶ ἡδονήν, τὴν πολλὴν καὶ βαθεῖαν καὶ συνετὴν διάνοιαν εὔκολον καὶ εὔληπτον καὶ ἀγροτέραν διδούς. h. βαθεῖαν: τὴν συνετήν. i. ὑπέχων: ὑποCEQ τιθείς. k. ἀγροτέραν: ἀγρευτικὴν τῶν ἡδέων, θηρευτικωτέραν πρὸς τὸ πορίζειν τὰ ἀγαθά. 101 CE

B (C)DEQ 98 a. φέρει τῶν τε καὶ τῶν: τῶν αὐτοῦ καλῶν καὶ τῆς ἀρετῆς. b. ἢ τῶν ἐπὶ τῇ ἀθλήσει καμάτων. c. ἐκείνων, φησὶ, καὶ τούτων τῶν καλῶν. 102 B 96f (C) E

A 99. βαθεῖαν: τὴν συνετὴν, ἀπὸ τῶν ἐν βάθει ὑδάτων.

A 100 a. τὴν ἅπαντα ἀγρεύουσαν. b. ἀγροτέραν: ἀντὶ τοῦ εὐαγροτέραν, καὶ θηρευτικὴν εἰς τὸ πορίζειν.

Bgl 100 c. (ἀγροτέραν:) φροντιστικήν.

A 101 a. ἀστὴρ ἀρίζηλος: ὁ τοιοῦτος πλοῦτος ὁ μετὰ ἀρετῆς ἀστὴρ ἀρίζηλός ἐστι καὶ ἐτυμώτατον ἀνδρὶ φέγγος.

B(C)DEQ 101 b. ἀστὴρ ἀρίζηλος: ὁ μετὰ ἀρετῆς πλοῦτος ὡς ἀστήρ ἐστιν ἔκδηλος, ἀληθινὸν φῶς τοῖς ἀνθρώποις. 98 B

A 102 a. εἰ δέ νιν ἔχων: ἤτοι καθόλου [καὶ] ἐξαιρετέον τὸν δέ σύνδεσμον ἢ μεταληπτέον εἰς τὸν δή· ὁ γὰρ λόγος τοιοῦτος· ὁ μετὰ τῆς ἀρετῆς πλοῦτος ἀστήρ ἐστιν ἀρίζηλος

---

1 ἀγορεύειν V ‖ τούτων] τοῦτο C ταύτην E 2—8 cfr. Thom. 126, 12 Ab. 4 αὔξειν B² 6. 7 ἀγαθὸς σύνοικος C 9 τῇ ἀρετῇ Q 11 βαρεῖαν E 13 ante βαθεῖαν add. κατὰ λέξιν Q 16 l.] ὁ μὰν πλοῦτος C 17 ft. ⟨τῶν⟩ τῆς 19 συνετὴν b(V): σύνεσιν 20 ἀγροτέραν ante τὴν trp. b 21 θηρευτική: b 24 ἐτυμώτατον Mommsen suppl. p. 23: ἑτοιμό τ(ον) A 27 καὶ seclusi: καὶ ὁλόκληρον (sed ὁλόκληρον del.) A καὶ ὁλοκλήρως Mommsen l. l. ‖ ἐξαίρετον: Schneider

καὶ ἀληθινώτατον ἀνδρὶ φέγγος, εἰ δή τις αὐτῷ χρήσεται εἰς δέον καὶ οὐκ εἰς ἀδικίαν κατατιθέμενος τὴν δύναμιν αὐτοῦ, ἀλλὰ τοὐναντίον εἰς δικαιοσύνην. b. Ἀρίσταρχος ἐξηγεῖται οὕτως· εἴ τις οἶδε τὸ μέλλον, ὅτι ποινὴν τίνουσιν οἱ ἐν Ἅιδου παρανομήσαντες· ὁ γὰρ λόγος ὡς τῶν αὐτῶν πλεονάκις ἀναβιούντων καὶ ἢ ἐνθάδε ἢ καὶ ἐκεῖ δίκας διδόντων τῶν ἁμαρτημάτων. c. ἔνιοι δὲ ἁπλούστερον ἀκούουσι τοῦ λόγου οὕτως· εἰ ἔχων τις τὸν πλοῦτον οἶδεν ὅτι ἐν τῷ ὑστέρῳ χρόνῳ οἱ ἀποθανόντες καθ' Ἅιδου δίκας διδόασιν.

102 d. εἰ δέ νιν ἔχων: εἰ δέ τις τοῦτον ἔχων τὸν πλοῦτον ὁρᾷ καὶ πρὸς τὸ μέλλον, ὅτι τῶν ἀδίκων τελευτησάντων τὸν βίον τιμωρία καὶ κρίσις παρὰ τοῖς ἀποιχομένοις πᾶσίν ἐστιν, οὐκ ἂν αὐτῷ εἰς ἀδικίαν ἐχρήσατο. BCDEQ

106 B 105 C

104 a. ὅτι θανόντων μὲν ἔως ἐχθρᾷ λόγον φράσαις ἀνάγκᾳ: ἐγκρίνει τὴν παλιγγενεσίαν. λέγει οὖν· εἴ τις οἶδε τὸ μέλλον, ὅτι οἱ μὲν ἐν τῷ ζῆν ἁμαρτάνοντες, ἐν Ἅιδου κολάζονται, οἱ δὲ ἐν Ἅιδου, ἐν τῷ ἡμετέρῳ βίῳ ἐν τῇ τοῦ Διὸς ἀρχῇ· ταύτην γὰρ εἶπε τὸν ὑποκείμενον τῷ οὐρανῷ τόπον· καὶ ἐάν τις ἐν ταῖς τρισὶν ἀναβιώσεσιν αἷς ὑφίσταται ἀναμάρτητος εἰς τρὶς ἑκατέρωθεν μένῃ, τοῦτόν φησιν εἰς τὰς τῶν μακάρων νήσους προπέμπεσθαι. τὸ δὲ περὶ τῆς παλιγγενεσίας ἀρχαιότερόν ἐστι· παραδέδοται γὰρ ἔτι ἀνέκαθεν, ὡς Ὅμηρός φησιν (σ 79)· BCDEQ

νῦν μὲν μήτ' εἴης, βουγάιε, μήτε γένοιο.

---

23 Porphyr. ad σ 79. Eust. ad Od. 1838, 40

---

1 ἀληθινώτατος: **b** ‖ δὴ] δὲ Red. ‖ χρήσηται: ego 5 post παρανομήσαντες lac. statuit **b** ‖ ὡς τῶν **b**: ὀστῶν 6 καὶ ἢ ego: ἢ καὶ **A** καὶ Red. 10 διδόασιν **b**: δίδωσιν **A** δώσουσιν Schneider 11 νιν **C**: μιν ‖ ἕως τοῦ φράσας ἀνάγκᾳ· ἐγκρίνει τὴν παλιγγενεσίαν ex 16 sq. post ἔχων trp. **C** 13 τὸν βίον om. **B** (in **Q** ft. del.) 14 πᾶσιν om. **D G**; an πάλιν? 16. 17 l.] οἶδε τὸ μέλλον **D Q** ‖ φράσας **B** (et **C** 11) 17 οὖν **B E**: οὖν ὅτι **C D Q** 19 ἐν τῷ] καὶ ἐν τῷ **E** 21 τρισὶν] γῇ **E** ‖ αἷς **C**: ἐν αἷς **D E** ἃς **B Q v** 22 τρὶς (fuit γ') ἑκατέρωθεν scripsi (cfr. p. 88, 15. 93, 19): τρὶς (τρεῖς **Q**) ἑκατέρωθι **D Q** τ(ὰς) τρεῖς ἑκατέρωθεν **B** γῆν· ἑκατέρωθεν **E** τὸ ἑκάτερον **C** 24 παραδίδοται **v** 26 βουγάιος **B** om. **E** (lac.)

πρῶτος δὲ δοκεῖ τούτῳ τῷ δόγματι χρῆσθαι Πυθαγόρας. 113 C

CDEQ 104 b. ἄλλως· ὅτι θανόντων μὲν ἐνθάδε: Χρύσιππος οὕτως ἀκούει· ἐνθάδε μὲν ὑπὸ τῶν θανόντων ἐτιμωρήθησαν, κάτω δὲ ὑπὸ τῶν κάτω δικαζόντων, εἴτε Ἅιδης
CDQ ἐστὶν εἴτε ἕτερός τις. οὐκ ἀπίθανον δέ, φησιν, | ὑπὸ τῶν τελευτησάντων τιμωρεῖσθαι τοὺς ζῶντας· μεστὴ γὰρ τούτων ἐστὶν ἡ τραγῳδία, ὅτι οἱ ἀδικούμενοι εὐχὰς τοῖς καταχθονίοις ἥρωσι ποιοῦνται, ἵνα ἐπικουρήσωσιν αὐτοῖς, οἷον
CDEQ Ἠλέκτρα τῷ Ἀγαμέμνονι. c. ἔνιοι δέ φασι | τῆς κατὰ Πυθαγόραν παλιγγενεσίας μνημονεύειν· τὰς γὰρ ψυχὰς εἰς ἕτερα σώματα εἰσδυνούσας ἀνανεοῦσθαι, ὥστε ὅσοι μὲν ὑπὲρ γῆς ὄντες ἐπλημμέλουν, τούτους ἐν Ἅιδου δίκην ὑπέχειν· ὅσοι δὲ ἀνάπαλιν ἐν Ἅιδου ἐνεωτέρισαν, ὑπὲρ γῆς γενόμενοι δίκας τίνουσιν, ὥστε μηδαμόθεν αὐτοὺς ἀποφυγεῖν τὴν προσήκουσαν τοῖς ἡμαρτημένοις δοῦναι δίκην. 104ᵃ C

BCDEQ 105 a. τῷ ἀπάλαμνοι φρένες συναπτέον τὸ ἐνθάδε· ὅτι τῶν ἐνταῦθα ἀδίκων ἀπάλαμνοι φρένες αὐτίκα καὶ εὐθέως τελευτησάντων ποινὰς καὶ τιμωρίας ἐκεῖ δεδώκασιν.

CDEQ b. ἔξωθεν οὖν· χρῆσθαι αὐτῷ πρὸς εὐσέβειαν δεῖ. 101 B

A 106 a. Διὸς ἀρχᾷ: ⟨Ἀρίσταρχος⟩ τὸν δέ, φησι, σύνδεσμον ἀντὶ τοῦ γάρ δεῖ ἀκούειν ⟨καὶ οὕτω⟩ καθιστάναι τὸν λόγον· τὰ γὰρ ⟨ἐν⟩ τῇ τοῦ Διὸς ἀρχῇ ἀλιτρά. λέγει γὰρ τοῦτο ὁ Πίνδαρος· ἐπεὶ οἱ ἐν τᾷ ζῆν ἁμαρτάνοντες

---

1 δὲ δοκεῖ Beck (δ' ἐδόκει Oxon.): δ' ἔδωκε B δέδωκε DEGQ (πρῶτος δε Π. τοῦτο χρὴ δοκεῖ C) 3 l. om. C ‖ μὲν ἐνθάδε scripsi: ἔνθεν DQ μὲν . . . (lac.) εἰς τὸν ἔμπροσθεν· ὅτι θανόντων μὲν ἔτι' E 5 ὑπὲρ E 6 δέ φησιν Q: δέ φασι DE δὲ ὅ φησιν C 12 εἰσδυνούσας scripsi: εἰσδυούσας CDG εἰσιούσας E ἐνδυούσας Q ἐνδυνούσας b 13 ἄδῃ E 14. 15 γινόμενοι b

15 μηδαμόθ(εν) E 17 αὐτίκ' ἀπάλαμνοι φρένες pro l. praem. D, αὐτίκα Q ‖ τῷ] τῷ δὲ v 18 αἱ ante ἀπάλ. add. C²

19 τελευτήσαντες B ‖ ποινὰς καὶ τιμωρίας DEQ: τιμωρίας καὶ ποινὰς B τιμωρίας C 21 sqq. Aristarchi esse vidit Schneider; suppl. JLHeiberg τὸν δέ φησιν ὁ Δίδυμος cj. Horn n. 23

22 ἀκούειν καὶ οὕτω ego, Schroeder: ἀκούειν A ἀκούοντα Schneider ἀκούοντα οὕτω Feine ἀκούειν καὶ Horn l. l. 23 τὰ γὰρ Feine, Horn: ὁ γὰρ A ‖ ἐν add. b ‖ post ἀλιτρά lac. statuit b; ἐγκρίνει τὴν παλιγγενεσίαν add. Horn

μετὰ τὸν θάνατον δίκας ὑπέχουσιν· οἱ δὲ καθ' Ἅιδου ἄδικοι τῶν κατὰ τὸν τοῦ ζῆν χωρισμὸν, ὅταν ἀναβιώσωσιν, ἐν μέρει πάλιν δίκας ὑπέχουσιν ἐν τῷ ζῆν τοῖς Ὀλυμπίοις θεοῖς. οἴεται γὰρ ἀναβιοῦν τὰς ψυχὰς Πυθαγορικῇ δόξῃ χρώμενος. b. Διὸς ἀρχὴν τοὺς ἐπιγείους βούλεται εἶναι· λέγει δὲ τοὺς ζῶντας.

106 c. Διὸς ἀρχᾷ: Διὸς ἀρχὴν τὴν ζωὴν καὶ τὴν ἄνω διαγωγήν. φησὶν οὖν ὅτι τὰ ἐν τοῖς ζῶσιν ἁμαρτήματα κατὰ γῆς δικάζει τις. λέγει δὲ τὸν Πλούτωνα τιμωρεῖσθαι αὐτούς. 108 **BDEQ** **ABCDEQ**

107. κατὰ γᾶς: ὑπὸ γῆς, τουτέστι καθ' Ἅιδου. ὑφίσταται δὲ ἐν Ἅιδου ⟨δαίμονά⟩ τινα Ἀνάγκην ὀνόματι, καὶ ταύτῃ παραδίδοσθαι τοὺς ἀσεβεῖς. 110 **BDEQ** **B(C)DEQ**

108 a. λείπει τὸ διδοὺς, τῇ ἐχθρᾷ ἀνάγκῃ. b. εἰπὼν τὸν λόγον τῆς τιμωρίας. c. ἐχθρᾷ δὲ τοῖς πονηροῖς. **BCDEQ**

(113) ταῦτα δὲ τῶν ἀσεβῶν, σκάπτειν ἐν λίμναις τε πελαγίζεσθαι. 107 **BDEQ** 104[b] **C** **DQ**

108 d. φράσας ἀνάγκᾳ: τὸν τῆς τιμωρίας λόγον. **A**

e. σωματοποιεῖ ἐνταῦθα δαίμονά τινα Ἀνάγκην, ἣ τὰς ἁμαρτίας λέγουσιν οἱ ἀκούοντες.

109. ἴσαις δὲ νύκτεσσιν: ἴσον ἡμῖν τοῖς ζῶσι χρόνον ἐπιβάλλει ὁ ἥλιος καὶ τοῖς καθ' Ἅιδου δικαίοις. **A**

110 a. ἴσαις δ' ἐν ἁμέραις: οὐκέτι περὶ τῶν ἀδίκων ἐστὶν ὁ λόγος, ἀλλὰ περὶ τῶν δικαίων· φησὶ δὲ ὅτι τοῖς ζῶσιν ἡμῖν τὸν ἴσον χρόνον ἐπιβάλλει καὶ τοῖς ἐν Ἅιδου ἀγαθοῖς ὁ ἥλιος, καὶ τόπον ἔχουσι τοιοῦτον καθ' ὃν ἐπι- **A**

---

2 τῶν Schneider: τὰ μὲν ‖ χωρισμὸν **A**: χρόνον Gerhard 7 Διὸς ἀρχᾷ **V** (om. **C**): ἄλλως **A** ‖ ἀρχὴν **A**: ἀρχήν φησι **V** ‖ καὶ et ἄνω om. **A** 9 γῆς **V**: τὴν γῆν **A** ‖ τις om. **A** 11 γῆς **DEQ**: γῆν **B**v 11. 12 ἐφίστασθαι **C** 12 δὲ] γὰρ **E** ‖ δαίμονα addidi ex **A** ‖ ὀνόματι **BE**: ὀνόματος (**C**)**DQ** 14 λείπει τὸ δ **BE**: λείπει δὲ τὸ δ. **C** τὸ (δὲ add. [**D**]) διδοὺς λείπει τουτέστι διδοὺς [**D**]**Q** ‖ sch. b λόγον φράσας pro l. praem. **D**, φράσας λόγον **Q** 15 ἐχθρὰ **CD** 18 post λόγον distinxit Schneider

19 τινα ego (**V**): τὴν ‖ ἣ **b**: ἢ 20 ἀκούοντες corruptum; θανόντες Hartung 21 νύκταισιν 22 ἐπιθάλλει: **V** 25 ἐπιβάλλει Schneider: ἐπιτελεῖ 26 καὶ — p. 90, 1 ἥλιος prius omiserat, postea h. l. inseruit **A**

λάμπει αὐτοῖς ὁ ἥλιος· ἀπονέστερον δὲ ἡμῶν διάγουσι τὸν χρόνον.

BCDEQ 110 b. *ἴσαις δ' ἐν ἁμέραις*: ἴσον ἡμῖν αὐτοῖς χρόνον ἐπιβάλλει ὁ ἥλιος καὶ τοῖς ἐν Ἅιδου δικαίοις. οὐκ ἐπὶ τῶν ἀδίκων δὲ ὁ λόγος, ἀλλ' ἐπὶ τῶν δικαίων. φησὶν οὖν ὅτι τὸν ἥλιον ἔχουσι τοῦτον καθ' ὃν ἐπιβάλλει αὐτοῖς χρόνον
CE ἀπονέστερον διάγοντες. c. ἄλλως· τοὺς ἀγαθοὺς τῶν ἀνδρῶν κατ' ἴσον ἡμῖν ἀπολαύειν ἐν Ἅιδου φησὶ τοῦ ἡλίου μηδὲν κακοπαθοῦντας. 117 C

A 113 a. *οὐ χθόνα ταράσσοντες*: τουτέστιν οὐκ ἐργαζόμενοι τὴν γῆν. b. *χερὸς δὲ ἀκμῇ* ἀντὶ τοῦ τῷ καρπῷ νῦν, καθὸ καὶ Ἀρίσταρχος. c. ἔνιοι δὲ *χερὸς ἀκμῇ* ἀντὶ τοῦ τῇ αἰχμῇ [οἳ] ἀλληγορικῶς ἀκούουσιν· *οὐ χθόνα ταράσσοντες*, οἷον οὐ πολεμοῦντες κατὰ τὴν γῆν· *οὐδὲ πόντιον ὕδωρ*, οὐδὲ στόλους κατ' ἀλλήλων ἐπάγοντες. *κενεὰν δὲ παρὰ δίαιταν*, παρὰ τὰ κενὰ ἑαυτῶν κρίματα. d. ἄμεινον δὲ Ἀρίσταρχος, παρὰ τὰ μὴ πλήρη τὰ τῆς διαγωγῆς ἐκεῖ, οἷον εἴ τις λέγοι· μὴ ἐργαζόμενοι οὔτε κατὰ γῆν οὔτε κατὰ θάλατταν δι' ἔνδειαν.

BCDEQ 113 e. *οὐ χθόνα ταράσσοντες*: οὔτε γεωργοῦντες οὔτε πλέοντες διὰ τὸ κενὰ αὐτοῖς εἶναι τὰ τῆς διαίτης. f. *ἐν*
CDEQ *χερὸς δὲ ἀκμᾷ*, τῷ καρπῷ τῷ ἀπὸ τῆς χειρός. g. ἢ οὕτως· οὐκ ἀροῦντες οὐδὲ σκάπτοντες τῇ ἀκμαζούσῃ χειρὶ
BCEQ τῶν νέων καὶ δυναμένων ἐργάζεσθαι. h. τινὲς δὲ ἀλληγορικῶς ἀκούουσιν· οὔτε πολεμοῦντες κατὰ γῆν οὔτε ἀλλή-

---

3 110 c. b E ‖ 1. *ἴσαις νύκτεσσιν* C ‖ αὐτοῖς χρόνον GQ αὐτοῖς χρόνοις D: τοῖς χρόνοις BCE 4 καθ' Ἅιδου C 6 ἀποβάλλει E 7 ἄλλως om. E ‖ τὰ ἀγαθὰ E 8 κατ' ἴσον scripsi: καὶ τὶς C καθόσον E ‖ ἐν Ἅιδου om. C ‖ φησὶ τοῦ ἡλίου om. E
11. 12 καρπῷ b (V): χαρκῷ A^ac χαλκῷ A^pc 13 αἰχμῇ Schneider: ἀκμῇ A ἀλκῇ b ‖ οἳ delevi 14 ταράσσοντες Schneider: γὰρ A 16 κενεὸν ‖ κενὰ ego: κενεὰ 18 λέγοι ego: λέγει ‖ ἐργαζόμενος: Schneider 20 ταράσσοντες] παρὰ C 21 αὐτῆς E ‖ post διαίτης add. ὅ ἐστι παρὰ τὴν αἰτίαν τῆς πενίας C (cfr. sch. 116) 21 sq. εὐχερὸς δὲ ἀκμᾷ· ἄλλως· τᾷ κ. E
22 δὲ om. CDQ ‖ καρπῷ] κόπῳ Wakefield silv. crit. II 90 χαλκῷ Mommsen suppl. p. 28 ‖ ἀπὸ] ἐπὶ Oxon. τῷ ἀπὸ del. Schroeder 24. 25 ἀκούουσιν ἀλληγορικῶς B

λοις στόλους ἐπάγοντες κατὰ θάλασσαν. [οὔτε ναυμαχοῦσιν.] i. ἄλλως· οὐ χθόνα ταράσσοντες: οὐ διὰ μόχθου CEQ καὶ καμάτου τὴν ἐπιθυμίαν καρπούμενοι. οὐδὲ γὰρ γεωργίᾳ προσέχουσιν ἀνταράσσοντες τὴν γῆν (τινὲς δὲ χερὸς ἀκμᾷ τὸ ἄροτρον ἢ τὸ δόρυ)· | οὐδὲ πόντιον ὕδωρ· ἀπὸ DEQ κοινοῦ τὸ ταράσσοντες· ἀντὶ τοῦ, οὐδὲ κατὰ θάλασσαν κινδυνεύοντες ἔχουσι τὴν ζωήν. 110 C

116. κενεὰν παρὰ δίαιταν: διὰ τὴν κενὴν καὶ ἄπορον BDEQ δίαιταν· λέγει δὲ τὴν πενίαν· οὐδὲ γὰρ παρὰ τὴν αἰτίαν τῆς πενίας.

117 a. τιμίοις: τοῖς τιμωμένοις θεοῖς. A

117 b. τιμίοις θεῶν: τῷ Πλούτωνι καὶ τῇ Περσεφόνῃ. B[gl]CDEQ c. οἵτινες οὖν, φησιν, ἔχαιρον τοῖς δικαίοις, ἀπόνως BCDEQ καὶ ἀβασανίστως καὶ ἀδακρυτὶ διάγουσι | τὸν ὅλον αἰῶνα CDEQ πρὸς τῷ μήτε ἀροτριᾶν μήτε ἐνθαλαττεύειν, ἀλλ' ἐν ταῖς μακάρων νήσοις διάγειν. παρὰ τούτοις γὰρ διατρίβουσι τοῖς τιμωμένοις ὑπὸ θεῶν, οἵτινες δίκαιοι ἦσαν ζῶντες.

121 a. τοὶ δ' ἀπροσόρατον: οἱ ἀσεβεῖς. ἀπροσόρατον A δὲ, ἤτοι ὃν οὐκ ἄν τις ὑπομείνειε, δεινόν· ἢ ἀνεπίδεικτον καὶ θεοῖς πόνον ἔχουσιν, οὐδὲ ὑπὸ θεῶν δυνάμενον προσορᾳθῆναι.

---

1 οὔτε ναυμαχοῦσι B: τουτέστι ναυμαχοῦσιν Q ναυμαχοῦντες corr. in ναυμαχοῦσιν et s. s. οἵτινες C οἵτινες ναυμαχοῦσιν E, sed post ἄλλως. Seclusi 2 l. om. C 4 προσέχοντες E 4. 5 χερὸς ἀκμᾷ CQ: χειρὸς ἀκμαῖον E ‖ τινὲς δὲ τὸ χ. ἀ. διὰ τὸ ἄ. ἢ τὸ δ. εἶπον C 8 γενεὰν (γ rubr.) E 9 γὰρ corruptum; ft. ταράσσοντες cl. 90, 14 et 20 9. 10 παρὰ τῆς π. τὴν αἰτίαν E περί τινα αἰτίαν τῆς π. Wakefield silv. crit. II, 90 περὶ τῆς αἰτίας τῆς π. Beck παρὰ τὴν δίαιταν τὴν πενίαν Horn de Ar. studd. Pind. n. 27 16 ταῖς DEQ: ταῖς τῶν C ‖ παρὰ τούτ(οις) Gb παρὰ τούτους Q περὶ τούτοις E: παρὰ τοῦτο D περὶ ταύταις C 17 τοῖς τιμωμένοις Mommsen suppl. p. 29: ταῖς τιμωμέναις C τοῖς τιμωρουμένοις DEQ ‖ ὑπὸ C: ὑπὲρ DQ ὑπὸ τῶν E 19 τοὶ] τοῖς A (retin. Bergk) ‖ ἀπροσόρατον (alt.) ego: ἀπροόρ. 20 δὲ A[pc]: δὲ εἶπε A[ac] ‖ ὑπομείνοιεν: b ‖ ἀνεπίδεκτον: b (V) 21 οὐδὲ b: οἱ δὲ A οἱ δὲ οὐδὲ Schneider ⟨ἢ⟩ οὐδὲ Bergk (retento infra προορᾳθῆναι) ‖ δυνάμενοι: b (V) 21. 22 προορᾳθῆναι: V

CDEQ 121 b. *τοὶ δ' ὀκχέοντι πόνον*: οἱ ἄδικοι πόνον ὑφίστανται καὶ βαστάζουσιν ἀπροόρατον καὶ ἀπροσδόκητον, ὃν CEQ οὐδὲ προϊδεῖν οἷόν τέ ἐστιν. c. ἢ ὃν οὐδεὶς ἰδεῖν ἐθελήσει. d. λέγει δὲ ὅτι οἱ δυσσεβεῖς ἀνεπίδεικτον καὶ θεοῖς πόνον ἔχουσιν, ὅ ἐστιν οὐδὲ ὑπὸ θεῶν προσορᾳθῆναι δυνά- DQ μενον. e. ἄλλως· *τοὶ δ' ἀπροσόρατον*: φοβερὸν, ὃν οὐ τολμᾷ τις προσβλέψαι.

$B^{gl}$ 121 f. (*ἀπροόρατον*:) ἀπροσδόκητον.

$B^{gl}$ 122. (*ὀκχέοντι*:) ὑφίστανται.

A 123 a. *ὅσοι δ' ἐτόλμασαν*: τοῦτο Πυθαγόρου φήσαντος ἐπήνεσε Πλάτων τὸ ῥῆμα, ὅτι τρίτον ἡ ψυχὴ δικαζομένη ἐν Ἅιδῃ, τρίτον εἰς σῶμα μετεμψυχοῦται, καὶ τοὺς τοσαυτάκις δικαιοπραγήσαντας ἐν βίῳ ἄγειν εἰς τὰς μακάρων νήσους καὶ παρὰ τὴν τύρσιν τοῦ Κρόνου, τουτέστι τὰ τείχη καὶ τὴν τοῦ Κρόνου βασιλείαν. λέγει δὲ τὰς μακάρων νήσους περιφραστικῶς. b. *εἰς τρίς*: ἤτοι ἀριθμῷ, ἢ ἀντὶ τοῦ πολλάκις. c. ὅσοι ἐδυνήθησαν ἐν γῇ καὶ ἐν Ἅιδῃ ..... ὡς παρὰ Πλάτωνι (Phaedr. 249 a?)· ἡ ἐς τρὶς ἀδόλως φιλοσοφήσασα ψυχή.

BCDEQ 123 d. *ὅσοι δ' ἐτόλμασαν ἐς τρίς*: ὅσοι δὲ τρίτον ὑπέμειναν ἐν ἑκατέρῳ τόπῳ μείναντες, ἔν τε τῷ ὑπὲρ γῆν καὶ ὑπὸ γῆν, ἀπέχεσθαι τῶν ἀδίκων ἔργων καὶ δίκαια πράττειν, ἐστάλησαν ἣν ὁδὸν ἔταξεν ὁ Ζεὺς, ἣν μακάρων νῆσον ὀνομάζουσιν· ἣν δὴ Κρόνου τύρσιν προσηγόρευσεν. e. ἄλλως· ὅσοι δὲ ἐκαρτέρησαν μέχρι τριῶν μετεμψυχώσεων εἰς ἑκάτερα τὰ μέρη, εἴς τε τὸν ἐν Ἅιδου μετὰ θάνατον εἴς τε τὸν τῆς ζωῆς χρόνον, δίκαιοι γενέσθαι δικαίως καὶ τὴν

---

1 l. *τοὶ δ' ἀπροόρατον* **C** ‖ *ἐκχέοντι* **E** (cfr. $E^{gl}$ *στάζουσι*, quod in *βαστάζουσι* corr. m. rec.) ‖ *οἱ ἄδικοι πόνον* om. **D** 2 *βασανίζουσιν* **E** 3. 4 *ἐθελήσοι* **CQ** 4 *ὅτι οἱ* **GQ**: *ὡς οἱ* **C** *τοὺς* **E** ‖ *ἀνεπίδεκτον* **E** 5 *ὑπὲρ* **E** ‖ *προορᾳθῆναι* **Cb** 6 *ὃν* ego: *ὃ* **Qb** *ᾧ* **DG** 11 *Πλάτων*] *Πίνδαρος*? Schroeder 12 *ᾅδου* **b** 13 *ἐν βίῳ* ⟨*καὶ ἐν Ἅιδῃ*⟩ Schroeder ‖ *ἄγειν* **A**: *ἄγει* Schneider *ἄγειν τὸν Δία* **b**. Sed enim totus locus corruptus est 16 *ἀριθμῷ* ego: *ἀριθμοῦ* **A** *ἀριθμὸν* Schneider 18 lac. indicavi 20 *ἐς τρίς* om. **DQ** ‖ *τρίτον*] *ἐκ τρίτου* **b** 22. 23 *πράσσειν* **B** 23 *ἣν ὁ Ζ. ἔταξεν ὁδὸν* **DE** 24 *προσηγόρευσεν* **B? C**: *-σαν* **B? DEQ** 25 *ἐμψυχώσεων* **Bv** 26 *τὸν*] *τὴν* **E** 27 *δικαίως* corruptum; an *τελείως*? De **b** vid. ad p. 93, 1 ‖ *καὶ*] *τε* **C**

ψυχὴν ὁσίαν φυλάξαι, οὗτοι ἐστάλησαν εἰς ἣν ἔταξεν ὁ Ζεύς, ὅ ἐστιν εἰς τὰς μακάρων νήσους, ἔνθα Κρόνος ἔχει τὴν ἐκεῖ κατοίκησιν· ἐν αἷς νήσοις πλησίον οὔσαις τοῦ ὠκεανοῦ αἱ πλεῖσται καὶ ἡδεῖαι αὖραι τέρπουσαι πνέουσι, καὶ τὰ ἐν αὐταῖς ἄνθη ὡς χρυσὸς στίλβει, τὰ μὲν ὄντα ἐκ τῆς γῆς, τὰ [δὲ] ἐκ τῶν δένδρων τῶν ἐν τῇ χέρσῳ, τὰ δὲ ἐκ τῆς τῶν ὑδάτων ἀπορροίας τρεφόμενα, οἱονεὶ ῥόδα, ὑάκινθος, ἴα· ταῦτα γὰρ ὕδατι τρέφεται· ἐξ ὧν ἀνθέων οἱ δίκαιοι ταῖς ἑαυτῶν χερσὶν ὅρμους πλέκουσι καὶ στεφάνους. ἐνδείκνυται δὲ τὸ ὑπερβάλλον τῆς τέρψεως. τὴν δὲ τῆς μετεμψυχώσεως γνώμην Πυθαγόρας πρῶτος εἰσηγήσατο, ᾧ νῦν ὁ Πίνδαρος ἀκολουθεῖ.

124. (ἑκατέρωθι:) ἔνθεν κἀκεῖθεν. ἄνωθεν .... $\mathrm{B}^{gl}$

126 a. ψυχὰν, ἔστειλαν: ἐτελείωσαν. b. παρὰ τὴν BDEQ
Κρόνου βασιλείαν ἐτελείωσαν, ἤνυσαν, ἐπορεύθησαν. c. Διὸς δὲ ὁδὸν, ἣν ἔταξε τοῖς δικαίοις. d. τὴν ὑπὸ Διὸς δεδειγμένην αὐτοῖς. e. ἢ τὴν ὑπὸ τοῦ Διὸς νομοθετηθεῖσαν. f. λέγει δὲ πρὸς τοῦ Διὸς κρίνεσθαι τοῦτον· τὸν γὰρ ἑκατέρωθεν μείναντα ἀναμάρτητον εἰς τὰς τῶν μακάρων νήσους πέμπεσθαι.

126 g. (ἔτειλαν:) ἐτελείωσαν. $\mathrm{B}^{gl}$

127 a. ὁδὸν παρὰ Κρόνου: ἐτελείωσαν. παρὰ τὴν A
τοῦ Κρόνου βασιλείαν. κυρίως δὲ τύρσιν τὸ τεῖχος.

127 b. τύρσιν: πόλιν. κυρίως δὲ τὸ τεῖχος. | λέγονται $\mathrm{B}^{gl}$CDEQ CDEQ
δὲ πρῶτοι Τυρσηνοὶ τὴν τῶν τειχῶν κατασκευὴν εὑρηκέναι.

---

sch. 126 h. Greg. Cor. 681 ἔτειλαν ἀντὶ τοῦ ἐστείλαντο.
24 sch. Lycophr. 717

---

1 ὁσίως GQ καὶ τὴν ψ. δικαίως καὶ ὁσίως b ‖ εἰς ἣν — 2 ἐστιν om. D 2 τὰς BCE: τὰς τῶν DQ ‖ ὁ Κρόνος CDQ 2.3 τὴν ἐκεῖ κατοίκησιν B: ἐκεῖσε τὴν οἴκησιν U τὴν ἐκεῖσε (ἐκεῖθεν C) οἴκησιν CEQ 3 οὔσαις] ἦν E 4 τέρπονσι πνέουσαι v ‖ τὰ om. E 6 δὲ del. Mommsen suppl. p. 31 7 οἱονεὶ — 8 τρέφεται om. D 8 ὕδασι τέρπεται (-ονται) OU (τέρπεται et $E^2$) 11 ᾧ — 12 ἀκολουθεῖ om. D 13 ft. ἄνωθεν ⟨καὶ κάτωθεν⟩ 14 ψυχὰν] om. DQ ψυχὰς E ‖ ἔτειλαν v ‖ παρὰ DQ (Beck e conj.): περὶ BEv 14. 15 τὸν Κρόνον DQ 15 βασιλέα Q ‖ ἐτελείωσαν om. D 16 δὲ om. DQ ‖ ἣν ὁ Ζεὺς ἔταξε D ‖ ἄλλως ante τὴν praem. DQ ‖ ὑπὸ DQ: τοῦ BEv 18 δὲ om. D ‖ τούτους? 25 δὲ] γὰρ Qb

A 128. *μακάρων*: παρὰ τὸ Ὁμηρικόν (δ 567)·

ἀλλ' αἰεὶ Ζεφύροιο λιγὺ πνείοντας ἀήτας.

DEQ 129. ὅτι ἐν τῷ ὠκεανῷ αἱ τῶν μακάρων νῆσοι λέγονται καθ' Ὅμηρον· φησὶ γάρ (δ 568)·

ὠκεανὸς ἀνίησιν ἀναψύχειν ἀνθρώπους.

CDEQ 130 a. *ἄνθεμα δὲ χρυσοῦ*: λείπει τὸ ὡς, ἵν' ᾖ· ὡς
B[gl]CDEQ χρυσοῦ φλέγει ἄνθη. b. ἢ οὕτως· τὰ δὲ ἄνθη λάμπει ὡς ἀπὸ χρυσοῦ.

A 132 a. *τὰ μὲν χερσόθεν*: διέστειλεν ἀπὸ τῶν δένδρων τὰ κατὰ τὴν γῆν βλαστήματα. b. ἄνθη ἀπὸ δένδρων· ἐλαίας, μυρσίνης, κισσοῦ. κατὰ γῆν ἄνθη· ἴα καὶ κρόκος. c. τὰ μὲν γὰρ ἀπὸ στελέχους καὶ χωρὶς ὕδατος ἀνθεῖ, τὰ δὲ χαμαίζηλα ἐπαρδευόμενα διατηρεῖται θάλλοντα καὶ ἀκμαῖα.

BCDEQ 132 d. *τὰ μὲν χερσόθεν*: διέστειλεν ἀπὸ τῶν δένδρων τὰ κατὰ γῆν βλαστήματα, τουτέστι τὰ χρείαν ἔχοντα ἀρδεύεσθαι.

A 135 a. *ὅρμοισιν*: ἐν τοῖς ὅρμοις, τοῖς ἑλίγμασιν τὰς κεφαλὰς στεφανοῦνται καὶ τὰς χεῖρας. b. κατ' ἐναλλαγὴν δὲ πτώσεως εἶπεν, ἀντὶ τοῦ χερσὶν ἀναπλέκουσιν ὅρμους καὶ στεφάνους.

BDEQ 135 c. *ὅρμοισι τῶν χέρας*: ὅρμους· ἀντὶ τῆς αἰτιατικῆς τῇ δοτικῇ ἐχρήσατο. d. ὅρμοις [οὖν] λέγει τοῖς ἑλίγμασιν, οἷς τὰς κεφαλὰς στεφανοῦνται καὶ τὰς χεῖρας.
BCEQ e. ὅρμοισι, τοῖς ἐνέρμασιν, οἷς τὰς χεῖρας στεφανοῦνται καὶ τὰς κεφαλάς. f. ἢ τῶν ἀνθῶν ταῖς χερσὶν ὅρμους ἀναπλέκουσι καὶ στεφάνους.

CDEQ 137 a. *βουλαῖς ἐν ὀρθαῖσι*: βουλαῖς δικαίαις. τέτακται γὰρ οὗτος, ὡς καὶ Πλάτων λέγει (Gorg. 526 c), τοὺς δικαίους πέμπειν εἰς τὰς μακάρων νήσους.

---

3—5 cfr. Tricl. p. 134, 1 Ab. 3. 4 λέγονται EQ: λέγεται εἶναι D 5 ἀναψυχὴν ἀνθρώποις DQ 7 φλ. τὰ ἄνθη C || ἢ οὕτως et δὲ om. B 11 κατὰ γῆν ego: καὶ τάδε || ἴα καὶ A: ἴσαν Red. 14 τὰ μὲν χερσόθεν Q: τὰ μὲν χρυσόθεν BDE διὰ δὲ τοῦ χερσόθεν C 17 ἑλίγμασιν Schneider (V): αἰνίγμα(σιν) 21 ὅρμους] ὅρμῳ E 22 οὖν B δὲ DEQ: seclusi 24 ἄλλως praem. EQ || ἐν ἕρμασιν B 28 οὗτως E || πλάτην E 29 τὰς τῶν μακ. D

137 b. *ἄλλως· βουλαῖς ἐν ὀρθαῖσιν:* ὡς τοῦ Ῥαδα- **BCEQ** μάνθυος τοῦτο τοῖς δικαίοις παρεχομένου· ὑφίσταται γὰρ αὐτὸν τῶν μακάρων ἄρχοντα νήσων. c. ἢ ὡς τούτων μεταλαβόντων φύσεως δαιμονίας, οἵτινες ὀρθοὶ κατὰ βουλὴν καὶ δίκην τὸν τρόπον ἔχοντες, ὡς καὶ ὁ Ῥαδάμανθυς. d. ἢ συγχωροῦντος τοῦ Ῥαδαμάνθυος· οὗτος γὰρ δικαιονομεῖ τοῖς ἐν Ἅιδου. e. ἢ οὕτω· *βουλαῖς ἐν ὀρθαῖσι* **ABCDEQ** *Ῥαδαμάνθυος·* ὁ γὰρ Ῥαδάμανθυς δικαιονομεῖ τοῖς κάτω ὑπηρετῶν τῷ Κρόνῳ.

138 a. *ὃν πατὴρ ἔχει ἕτοιμον:* τὸν δίχα τοῦ κλη- **BCDEQ** θῆναι ἐλθόντα. b. ὅντινα Ῥαδάμανθυν ὁ πατὴρ πάντων Κρόνος, ὁ τῆς Γῆς παῖς, ὁ ἀνὴρ τῆς τὸν ὕπατον ἐχούσης θρόνον Ῥέας, ἕτοιμον καὶ ἀχώριστον ἔχει πάρεδρον. | συγ- **BDEQ** καταλέγονται δὲ ἐν τούτοις τοῖς δικαίοις ὅ τε Κάδμος καὶ ὁ Πηλεύς.

140 a. *πόσις:* ὁ μὲν Ἀρίσταρχος *πόσιος* γράφει *ὁ* **A** *πάντων* καὶ τὸν Δία ἀκούει συμπότην εἶναι τοῦ Ῥαδαμάνθυος. ὁ δὲ Δίδυμος ἐπὶ τοῦ Κρόνου καθιστᾷ τὸν λόγον· ὃν ὁ πατὴρ πάντων ὁ Κρόνος ἕτοιμον καὶ ἀχώριστον ἔχει πάρεδρον, πόσις ὢν Ῥέας, παῖς δὲ τῆς ὕπατον ἐχούσης θρόνον τῆς Γῆς· εἷς γὰρ τῶν Τιτάνων ὁ Κρόνος, οἳ Γῆς

---

1 ἄλλως om. **B** 3 αὐτὸν **C**pc**EQ** (Beck e conj.): αὐτῷ **B**v αὐτῶν **C**ac ‖ ἄρχοντ(ι) **B** 4 οἵτινες **BE**: οἵ εἰσιν **CQ** 7 ἢ οὕτω — ὀρθαῖσι om. **A** ἢ οὕτω om. **D** 8 δικαιονομεῖ τοῖς κάτω Beck: δικαιονομεῖ τοῖς ἐν Ἅιδου καὶ διακονεῖ **D** διακονεῖ τοῖς κάτω **BCEQ** διακονεῖ τοῖς ἐν Ἅιδου **A** 10 l. ἕτοιμον πάρεδρον **C** ‖ ἔχει] ἔχει γᾶς **D** ἔχει γῆς **Q** ‖ ἕτοιμον — 11 ἐλθόντα om. **D** 16 πόσιος] Διὸς Lehrs p. 11. „Legit Aristarchus πόσις" Bergk 16. 17 ὁ πάντων om. Lehrs 17 τοῦ Διὸς et τὸν Ῥαδάμανθυν Lehrs ‖ Ῥαδαμάνθυος ⟨καὶ τὸν πόσιν δεσπότην⟩ Bergk 18 sq. ὁ δὲ Δίδυμος· καθιστᾷ τὸν Κρόνον οὐκ ὀνομάσας Lehrs ὁ δὲ Δ. ἐπὶ τοῦ θρόνου καθιστᾷ τὸν Κρόνον· (ὃν ὁ μέγας cett.) Maur. Schmidt Pind. ol. Siegesges. p. CXVIII; aliter id. ind. lect. Jen. 1879, p. 11 18 λόγον Gerhard: κρόνον 19 ὃν ὁ Horn de Ar. studd. p. 20: ὀνομάσας **A** ὃν ὁ μέγας Schneider ὅντινα Ῥαδάμανθυν Gerhard 20 πόσις ὢν Ῥέας] παῖς ὢν Γέας (ut l. sit) Lehrs ‖ παῖς δὲ ante 21 τῆς Γῆς trp. Horn 21 θρόνον Red.: χρ(όνον) **A** ‖ τῆς Γῆς· εἷς M. Schmidt ll. ll. (Γῆς: εἷς ἐστι Lehrs): τῆς πίσης **A** ἐπὶ γῆς Hartung ‖ Κρόνος M. Schmidt: χρ(όνος) **A** θρόνος Red.

εἰσιν υἱοί. θρόνον δὲ αὐτὴν μέγιστον εἰληφέναι ὡς πάντα φέρουσαν καὶ τοῦ κόσμου νομιζομένην εἶναι [θεῶν] τροφόν· ὡς καὶ ὁ ποιητής· ζείδωρον ἄρουραν. b. ἔνιοι πόσιν ἤκουσαν τὸν συμπότην.

BCDEQ 142. *ἐν τοῖσιν ἀλέγονται*: ἀριθμοῦνται. συγκαταλέγονται ἐν τοῖς εὐσεβέσι τοῖς κατοικοῦσι τὰς τῶν μακάρων νήσους. καὶ τὸν Ἀχιλλέα δὲ ἡ μήτηρ τεθνηκότα αὐτόθι ἤγαγεν, ἐπειδὴ τοῦ Διὸς τὴν ψυχὴν ἔπεισεν ἱκεσίαις.

A 146 a. *ἄμαχον*: ἀκαταμάχητον. ἀκαταγώνιστον. b. ⟨*ἀστραβῆ*:⟩ ἀμετάτρεπτον. οὐ διδόντα εἰς φυγὴν τὰ νῶτα. ἀκίνητον. ἀσάλευτον. c. *κίονα* δὲ οὐ στύλον λέγει· ἀλλ' ἔστι παντὶ οἴκῳ τόπος στύλος λεγόμενος, ἐφ' οὗ κεῖνται οἱ πινσοὶ καὶ λέγεται ὅλην ἔχειν τὴν οἰκίαν.

BCDEQ 146 d. *ἄμαχον ἀστραβῆ κίονα*: μεταφορικῶς εἶπεν. ἀστραβὴς δὲ λέγεται ὁ ἰσχυρὸς καὶ μὴ ῥᾳδίως συστρεφόμενος. e. ἄστρεπτον καὶ ἀμετακίνητον· καὶ ἔστι κατὰ μετάθεσιν τοῦ ε̄ εἰς τὸ ᾱ καὶ ἀποβολὴν τοῦ λ̄· ἔστι γὰρ ἀστρεβλῆ. f. οἷον ἄστρεπτον, ἀστραφῆ.

A 147 a. *Κύκνον τε*: τὸν Ποσειδῶνος καὶ Ἁρπαλέης· τὸν γὰρ Ἄρεως ἀνεῖλεν ὁ Ἡρακλῆς. b. τὸν δὲ Κύκνον Σκαμανδροδίκης, ἄλλοι δὲ Καλυκίας φασί.

BDEQ 147 c. *Κύκνον τε θανάτῳ*: παραδέδωκε. d. τὸν Πο-

---

146 g. EM 159, 48 *ἀστραβής*, ὁ ἄτρεπτος. Πίνδαρος· ἄμαχον ἀστραβῆ κίονα· παρὰ τὸ στρέφω, στρεφής, καὶ ἀστραβὴς κατὰ τροπήν. Zon. 314 21 sch. B *Α* 38. sch. Theocr. 16, 49. Hyg. f. 157

---

1 sq. *αὐτῆς μέγ. εἴληφεν ὡς π. φερούσης καὶ τοῦ κ. νομιζομένης εἶναι καὶ θεῶν τροφός*(?) Hartung 1 *αὐτὴν* **b**: *αὐτοῦ* ‖ *εἰληχέναι* Bergk 2 *θεῶν* del. **b**: *θεῶν* **A**pc *θεῶν φύσιν* **A**ac *θεὸν* Schneider *ἐκ θεῶν* Lehrs *καὶ θεῶν* (praeeunte Hartungio) Bergk 5 l. om. **C** ‖ *ἀριθμηθῆναι* **E** 10 *οὐ διδ.* **A**: *εἰσδιδ.* Red. 11 *στῦλον* **b** 12 *στύλος*] an *κίων*? 17 *τὸ* om. **CDE** ‖ *ἀποβολῇ* **CD** 18 *οἱονεὶ* **DE** ‖ *ἄστρεπτον* **BC** *ἄστρεπτον καὶ* **EQ** *ἄστρεπτον καὶ ἀμετα* . . . (absciss.)*ον* **D** ‖ *ἀστραφῆ* ego: *ἀστρεφῆ* **C** *ἀστραβῆ* **BDEQ** 19 *Ποσειδῶνα*: **V** ‖ *Ἁρπαλέης*] *η* in ras. 2 litt.
21 Calyce Hyg., sch. Th. et Il. ‖ *φησί*: ego 22 *παραδέδωκε* **BE**: *παρέδωκε* **D** *πόρε*: *παρέδωκε* **Q** ‖ *τὸν* om. **E**

σειδῶνος καὶ Σκαμανδροδίκης· οἱ δὲ Ἁρπάλης. e. Κύκνοι δὲ δύο, ὁ μὲν Ἄρεος, ὁ δὲ Ποσειδῶνος· καὶ τὸν μὲν Ἄρεος κακῶς τὰ περὶ Θεσσαλίαν διαθέντα Ἡρακλῆς ἀπέκτεινε, τὸν δὲ Ποσειδῶνος Ἀχιλλεὺς στρατευσάμενον καὶ συμμαχοῦντα τοῖς Τρωσίν. BCDEQ

148. Ἀοῦς τε παῖδ' Αἰθίοπα: τὸν Μέμνονα, τὸν Τιθωνοῦ τοῦ Λαομέδοντος καὶ Ἡμέρας. ταῦτα δὲ λέγουσιν οἱ τὰ μεθ' Ὅμηρον γράψαντες οὕτω· Τιθωνῷ γίνονται ἐξ Ἡμέρας παῖδες δύο, Μέμνων καὶ Ἠμαθίων. καὶ Μέμνων μὲν ἀνῃρέθη ὑπ' Ἀχιλλέως, Ἠμαθίων δὲ ὑπὸ Ἡρακλέος κατὰ τὴν ἀπέλασιν τῶν Γηρυόνου βοῶν. BCDEQ

150 a. ὠκέα βέλη: ἀλληγορεῖ ἀπὸ τῶν τόξων μεταφέρων ἐπὶ τὰ ποιήματα· φαρέτρα μὲν γὰρ ἡ διάνοια, βέλη δὲ οἱ λόγοι. b. Σκυθικὰ δὲ βέλη τὰ ποιήματα λέγει· εἰώθασι γὰρ οἱ Σκύθαι ὑπὸ τὸν ἀγκῶνα τὰ βέλη βαστάζειν, οἱ δὲ ἐκεῖ Κρῆτες κατὰ τῶν ὤμων. A

150 c. ὠκέα βέλη: τροπικὸς ὁ λόγος· βέλη δὲ τοὺς λόγους εἴρηκε διὰ τὸ ὀξὺ καὶ καίριον τῶν ἐγκωμίων· φαρέτρας δὲ, τῆς διανοίας. τὸ δὲ ὑπ' ἀγκῶνος ὡς πρὸς τὸ φαρέτρας ἀκουστέον. οὕτω καὶ ὁ βουκόλος (17, 30) ὑπωλένιόν τε φαρέτρην λέγει. BCDEQ d. ἄλλως· πολλά μοι ὑπ' ἀγκῶνος: ἀντὶ τοῦ πολλὰ λέγειν ἔχω. βέλη δὲ εἴρηκε τὰ ποιήματα. Q

152 a. φωνᾶντα συνετοῖσιν: ἀκουστὰ τοῖς συνετοῖς. b. ἀντὶ τοῦ φανερὰ, σαφῆ καὶ ἐκτιθέμενα. c. ὁ δὲ A

---

1—5 sch. Ar. Ran. 963. — Thom. 136, 18: Δύο Κύκνοι ἐγένοντο, ὁ μὲν Ἄρεος υἱὸς ὁ ἐν Θετταλίᾳ τοὺς παριόντας λοχῶν καὶ ἀποκτείνων, καὶ βουλόμενος ταῖς κεφαλαῖς ναὸν ἀνεγεῖραι τῷ πατρὶ, ὃν Ἡρακλῆς ἀπέκτεινεν· ὁ δὲ Ποσειδῶνος, ναῦς ἔχων καὶ συμμαχῶν τοῖς Τρωσὶν, ἱστάμενος ἐν στενῷ τῆς ἐκεῖ θαλάσσης καὶ οὐκ ἐῶν τοὺς Ἕλληνας ἀποβῆναι, ὃν Ἀχιλλεὺς ἀπέκτεινεν. 6 sch. Ar. Ran. p. 531 Dü. 8 Tzetzes ad Lyc. 18

---

3 διατεθέντα E 6—11 cfr. Thom. 137, 7 9 Ἡμαθίων BD 10 Ἀχιλέως B 11 τὴν] τῶν B[ac] ‖ ἀπελασίαν E 16 ἐκεῖ corruptum, om. Red. 18. 19 φαρέτρας Q[pc]: φαρέτρης 21 φαρέτραν V 24 φωνάντ' ἀσυνετοῖσιν

Ἀρίσταρχος οὕτω· διάδηλά φησιν ὁ Πίνδαρος τοῖς συνετοῖς τῶν ἀνθρώπων εἶναι, εἰς δὲ τὸ κοινὸν ἀγόμενα ἑρμηνέως χρῄζειν τοῦ σαφηνίζοντος αὐτὰ, ὡς οὐ πᾶσι καταδήλως φράζων· ὥστε τοῖς μὲν σοφοῖς σοφὰ διαλέγεσθαι καὶ μὴ ἔκθεσμα, τοῖς δὲ ἰδιώταις μὴ κατάδηλα γίνεσθαι. d. τινὲς δὲ ὅτι πολλὰ ἔχων λέγειν, εἰς τὸ πάντα εἰπεῖν καὶ διατίθεσθαι προσδεῖται ἑρμηνέων· ὡς Ὅμηρος (*B* 488)· πληθὺν δ' οὐκ ἂν ἔγωγε μυθήσομαι.

DQ 152 e. *φωνάεντα*: φωνὴν ἀφιέντα παρὰ σοφοῖς καὶ σαφῆ.

BCDEQ 153 a. *ἐς δὲ τὸ πᾶν ἑρμηνέων χατίζει*: εἰς δὲ τὸ κοινὸν καὶ εἰς τοὺς πολλοὺς καὶ χυδαιοτέρους ἐρχόμενοι ἑρμηνείας χρῄζουσιν. b. ἤτοι περὶ τῶν ποιημάτων ἑαυτοῦ διαλέγεται· οἶδε γὰρ ὅτι πολλῇ ἱστορίᾳ κέχρηται καὶ σχήμασιν ἐξηλλαγμένοις καὶ φράσει ποικίλῃ· ἔχει γὰρ ὑπερβατὰ πολλά. τὰ ποιήματα οὖν μου, φησὶν, ἑρμηνέων χρῄζει. c. οἷον, οὐδέν ἐστιν ὃ μὴ χρῄζει ἑρμηνέων· αὐτὸς γὰρ οὐ δύναται διὰ τὸ πλῆθος ἐξειπεῖν πάντα. ὅμοιόν δέ ἐστι τῷ (*B* 488)·

πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω.

A 154 a. *ὁ πολλὰ εἰδώς*: ὁ τῇ φύσει πολύπειρος καὶ εὑρετικὸς, οὗτός ἐστιν ὁ τῷ ὄντι σοφὸς, καὶ μὴ πάντα διδακτὰ ἔχων.

BCDEQ 154 b. *σοφὸς ὁ πολλὰ εἰδώς*: ὁ λόγος γνωμικός· καί φησι, σοφός ἐστιν ὁ πλεῖστα ἐπιστάμενος ἐκ φύσεως, ὁ φύσει πρός τι ἔχων. τῶν γὰρ μανθανόντων οἱ ἐκ φύσεως ἔμπειροι βελτίους, ἐπειδὴ καὶ πρεσβυτέρα τῶν μαθημάτων φύσις. c. οἱ δὲ ἀπὸ μαθήσεως βουλόμενοι ἠχεῖν καὶ ἐκ πολλῶν

---

1 *διάδηλα* scripsi: *διαγρ(άψας?)* **A** cp. obscuro 2 *ἀγομένην*: **b** 4 *σοφὰ*] *σαφῆ* Schroeder 5 *ἔκθεσμα* vitiosum? ‖ *κατάδηλα* **A**pc: *κατάδηλα λέγεσθαι* **A**ac 7 *προσδεῖσθαι*: ego 11 *ἐς δὲ τὸ πᾶν* om. **BC** ‖ *εἰς δὲ* — 13 *χρῄζουσιν* post 18 *πάντα* **C**, praem. *ἄλλως* 13 *ἑρμηνέως* **E** 14 *ὅτι*] *οὕτως* **E** 16 *οὖν μου φ.* **CE**: *μου οὖν φ.* **DQ** *οὖν φ. τὰ ἐμὰ* **Bv** 18 *δύναται* **B**: *δύναμαι* **Q** *δύνασθαι* **CDE** ‖ *ὅμοιον* — 20 *ὀνομήνω* post 158 **C** 21 *εἰδώς*] *εἰδὼς φυᾷ* **E** 25 *φησι* om. **Bv** ‖ *πολλὰ* **Bv** ‖ *φύσει* **CDEQ**: *φύσιν* **Bv** 27 *ἡ φύσις* **BCv**

συνείροντες, ὃν τρόπον καὶ οἱ κεκράκται κόρακες καὶ μάτην φλυαροῦντες, ἀτελῆ καὶ περιττὰ καὶ ἀσύνετα φθέγγονται πρὸς τὸν συνετὸν καὶ θεῖον ὄρνιν τοῦ Διὸς τὸν ἀετὸν ἀντιβοῶντες. ἀποτείνεται δὲ πρὸς τὸν Βακχυλίδην· γέγονε γὰρ αὐτῷ ἀνταγωνιστὴς τρόπον τινὰ καὶ εἰς τὰ αὐτὰ καθῆκεν.

157 a. *κόρακες*: οἷον, ὡς κόρακες πρὸς ἀετὸν ἀντι- A
βοῶντες, οὕτως οἱ μαθόντες πρὸς τὸν φύσει σοφόν. αἰνίττεται Βακχυλίδην καὶ Σιμωνίδην, ἑαυτὸν λέγων ἀετὸν, κόρακας δὲ τοὺς ἀντιτέχνους. b. τοὺς εὐφυεῖς ἀετοῖς παραβάλλει, τοὺς ἀφυεῖς κόραξιν. τὸ γὰρ γαρύετον δυικὸν οὐκ ὀρθῶς κεῖται, οὐδὲ τηροῦσι πάνυ τὸ τοιοῦτον οἱ ποιηταὶ οὗτοι. 164

158 a. *ἄκραντα γαρύετον*: οἱ φύσει χρώμενοι λαμ- BCDEQ
προί· οἱ δὲ μαθόντες ἄκραντα γαρύειν ἥσσονές εἰσι τῶν καθ' αὑτοὺς ὅ τι δήποτε μαθόντων ἢ ἐπισταμένων. b. τὸ [δὲ] γαρύετον κακῶς· οὐδὲ γὰρ ἐπὶ δυϊκοῦ βούλεται ἡ λέξις, οὐδὲ ὑπὲρ δύο κοράκων, ἀλλ' ὑπὲρ πολλῶν. c. ὥσπερ κόρακες πρὸς ἀετὸν φιλονεικοῦσιν, οἱ διδακτοὶ πρὸς τοὺς φύσει αὐτοδιδάκτους. αἰνίττεται δὲ εἰς Σιμωνίδην. 160[c] E

d. εἰ δέ πως εἰς Βακχυλίδην καὶ Σιμωνίδην αἰνίττεται, DQ
καλῶς ἄρα ἐξείληπται τὸ γαρύετον δυικῶς. καὶ οὕτως ὄντως ἔχει ὁ λόγος.

160 a. *σκοπῷ τόξον*: μεθέλκων ἑαυτὸν ἐπὶ τοὺς ἐγ- A
κωμιαζομένους φησίν· ἐπὶ τὸν σκοπὸν ἐπίτεινον τὸ τόξον.

---

11 Gregor. Cor. p. 218 S.

---

6 *καθῆκεν* **BCE**: *κ. αὐτός* **D** *κ. αὐτόν* **Q** *κ. αὐτόν* **Gb** **7** *ἀετὸν* **A**[pc]: *ἀρετὴν* **A**[ac] 7. 8 ft. *ἀντιβοῶσιν* 10 *ἀετοὺς*: Gerhard 11 *παραβάλλει* ego (*παραβάλλων* Gerhard): *περιβάλλων* ‖ ft. *γὰρ* del. (cfr. 17. 22) 14 *λαμπροὶ* — 16 *ἐπισταμένων* om. **D** 15 *γαρύοντες* cj. Mommsen suppl. p. 34 (*γαρύον*? **Q**[ac])

17 *δὲ* **BCE**: *γὰρ* **DGQ**; seclusi ‖ *κακῶς* **BCE**: *κακῶς λέγουσιν εἰρῆσθαι* **D** *κακῶς τινες λέγουσιν εἰρῆσθαι* **GQ** ‖ *οὐδὲ* **BE**: *οὐ* **CDQ** 19 *φιλονεικοῦσι πρὸς ἀετὸν* **B** 20 *αἰνίττεται δὲ εἰς Σ.* om. **DQ** 22 *τὸ* **GQ**: *τὸ γὰρ* **D** 24. 25 *ἀπὸ τῶν ἐγκωμιαζομένων*: ego

BDEQ 160b. *ἔπεχε νῦν σκοπῷ*: μεθέλκων ἑαυτόν φησιν· ἐπὶ τὸν σκοπὸν στῆσον τὸ τόξον. 161 E

BCDEQ 160c. *ἔπεχε νῦν σκοπῷ*: ἐπέστρεψε τὸν λόγον πρὸς ἑαυτὸν καί φησιν ὅτι, ἐπάνελθε εἰς τὸν ἐξ ἀρχῆς σου σκοπὸν καὶ τὴν σπουδὴν τὴν περὶ τοὺς Θήρωνος ἐπαίνους. δι' ὅλου δὲ τὴν τοῦ τόξου ἐφύλαξε τροπήν. d. τὸ δὲ *τίνα βάλλομεν*, τίνα ἔχομεν θαυμάσαι ἐκ τῆς ἰδίας διανοίας. 160[b] E

BCDEQ 161a. *τίνα βάλλομεν*, δηλονότι σκοπόν; τὸν νικηφόρον. μήποτε δὲ βέλτιον ἀκούειν σκοπὸν, τὴν Ἀκράγαντα. καὶ γὰρ ἐπιφέρει· *ἐπί τοι Ἀκράγαντι τανύσαις*. b. ἐκ δὲ τούτου σημαίνει τὸν εὔκαιρον καὶ εὔστοχον λόγον.

A 162a. *ἐκ μαλθακᾶς*: ἀντὶ τοῦ εἰπεῖν μαλθακὴν φρένα, ἐπεὶ παρέβαλε τῷ τόξῳ καὶ τοῖς βέλεσι τὰ ποιήματα, κατὰ μέρος, ἵνα μὴ ᾖ ἐκ τραχύτητος, ἐκ προσηνοῦς φησι φρενὸς τὸν ὕμνον ἀφεθήσεσθαι. 166

BCDEQ 162b. *ἐκ μαλθακᾶς αὖτε φρενός*: τοῦτο εἶπε θεραπεύων τὸ σκληρὸν τοῦ λόγου. τὸ γὰρ ἀπὸ τόξου βάλλειν, ὥς φησι, δύσφρονός ἐστι κατὰ τοῦ βαλλομένου. c. τῆς [οὖν] προσηνοῦς καὶ οὐ πολεμικῆς διανοίας. 166[e] C

B[gl] 163. (*εὐκλέας*:) τοὺς ἐγκωμιαστικοὺς ὕμνους.

A 164a. *ἱέντες; ἐπί τοι*: ἐπὶ σκοπὸν τὴν Ἀκράγαντα τείνας τὸ τόξον μεθ' ὅρκου λέξω τὸ ἀληθὲς καὶ ἀποφανοῦμαι. 160

BDEQ 164b. *ἐπί τοι Ἀκράγαντι τανύσσαις*: τοῦτο ὡς ἐν συννοίᾳ γενόμενος καὶ μαθὼν τίνα ὀφείλει ἐγκωμιάσαι φησίν, ὅτι ἐπὶ τῇ Ἀκράγαντι τῇ πόλει τοῦ Θήρωνος λέγει τὸ τόξον, ὅ ἐστι τὸν λόγον, τείνειν.

---

1 σκοπῷ DQ: om. B σκοπῷ τόξον E 2 στῆσον ego (A): στῆσα D ἔστησα BEv ἔστησε Q 3 ἔπεχε νῦν σκοπῷ B(C): ἄλλως ἔπεχε E ἄλλως DQ || ἐπέστρεψε B: ἀπέστρεψε 5 περὶ τοὺς Θήρωνος B: εἰς τοὺς περὶ Θήρωνος (-να C) C(D)Q εἰς τοὺς τοῦ Θήρωνος E 6 τὴν om. E; τὸν et τρόπον? Schroeder 9 τίνα — σκοπόν om. C || σκοπόν om. DQ 10 τὴν BC: τὸν DEQ 11 τανύσαις C: τανύσσαις BDQ νίκαις E 12 σημειῶσαι Qb 13. 14 ft. ἀντὶ τοῦ ἐπιεικοῦς. *μαλθακᾶς φρενός*: ἐπεὶ κτλ. 18 βαλεῖν Bv 19 φασι DQ 20 οὖν seclusi 22 τὴν b: τὸν 23 λέξω ego: λέγων A λέγω b || καὶ del. Mommsen p. 36 26 τοῦ Ἀκράγαντος DQ[i]

166 a. *αὐδάσομαι μεθόρκιον*: ἀποφανοῦμαι μεθ' A ὅρκου τὴν ἀλήθειαν, ὡς μήτε μεγαλοφρονέστερον μήτε εὐεργετικώτερον μήτε συνετώτερον ἀπὸ ἑκατὸν ἐτῶν ἐνηνοχέναι μᾶλλον Θήρωνος ἄλλον τινά. b. ἄλλως· ὄμνυμι ὅρκον ἀληθέστατον, μήτε εὐεργέτην ἀπὸ ἑκατὸν ἐτῶν γενέσθαι μήτε μεγαλόψυχον . . . · ἀλλὰ φθόνος τις ταράξαι βουλόμενος ὕβριν ἐπήνεγκεν οὐ δικαίως αὐτῷ. λέγει δὲ τὴν ἔριν τὴν πρὸς τὸν ἀδελφὸν γενομένην. c. καὶ φιλικὸν ἄνδρα καὶ μεταδόσει χρημάτων εὐεργετικώτατον λέγει τὸν Θήρωνα.

166 d. *αὐδάσομαι ἐνόρκιον*: λόγον ὄμνυμι ἔνορκον BDEQ καὶ ἀληθέστατον· | ἵνα δείξῃ τὸ πιστὸν ὧν λέγει· περὶ BCDEQ γὰρ ὧν τις πέποιθεν, ὅρκοις διισχυρίζεται. τί δέ, φησιν, ὄμνυμι; μή τινα πόλιν ἄλλην πρὸ ὅλων ἑκατὸν ἐτῶν τεκεῖν τοιοῦτον ἄνδρα, μηδὲ ἄλλον εἰς εὐεργεσίαν τῶν φίλων πρόχειρον ἢ πρὸς ἐπίδοσιν χρημάτων ἀφθονέστερον τοῦ Θήρωνος. $173^{i}$ C $173^{l}$ EQ

166 e. *αὐδάσομαι ἐνόρκιον*: Ἀκράγας πεντηκοστῇ CDEQ Ὀλυμπιάδι ἐκτίσθη, ὁ δὲ Θήρων ἑβδομηκοστῇ ἕκτῃ ἐνίκησε. γίνεται οὖν τὰ μεταξὺ ἀπὸ τῆς κτίσεως ἕως τῆς Θήρωνος νίκης ρδ' ἔτη. ὁ δὲ Πίνδαρος τῷ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσατο. f. Ἕλληνες δὲ κτίζουσιν Ἀκράγαντα. g. ἐξ οὗ, φησιν, ἐκτίσθη ἡ πόλις τῶν Ἀκραγαντίνων, οὐκ ἄλλος ἐγένετο ὅμοιος Θήρωνι, εὐεργετικὸς καὶ συνετὸς καὶ μεγαλόφρων οὕτως. $166^{d}$ C

168. *ἑκατόν γε ἐτέων*: λέγεται τὴν Ἀκράγαντα πεντη- A κοστῇ Ὀλυμπιάδι ἐκτίσθαι, ἐκεῖθεν δὲ ἄχρι τῆς Θήρωνος νίκης ἔτη εἶναι ἑκατὸν ἐν Ὀλυμπιάσιν κε'· γίνονται δὲ πρὸς ταῖς ν' Ὀλυμπιάσιν οε'. ἐνίκα οὖν ος'· κέχρηται οὖν τῷ ἀπηρτισμένῳ ἀριθμῷ εἰπὼν ρ'.

---

4 *μᾶλλον* ante 5 *εὐεργέτην* trp. Schneider 10 *λόγον*] om. DQ ad l. rettulit E 11 *ἵνα*] *λόγον* E[pc] 14 *ἄλλων* E ‖ *μᾶλλον* suppleri iub. Oxonn. 18 *ος'* Q (ς add. rubr., corr. ft. ex ζ); cfr. pap. Oxyrrh. CCXXII, 1, 18: *ο'* CEP *οζ'* D *ος'* ἢ *οζ'* b 19 *τῆς* (alt.) CD: *τοῦ* EQ 20 *τῶν ἀπηρτισμένων* E ⟨*οὐ*⟩*τῷ ἀπηρτ.* Bergk; sed cfr. sch. A *B* 649 22 *οὗ* DQ: *οὗ δὲ* CE ‖ *φησιν* C: *φασιν* D(E)Q 25 *λέγει* scrib.? ‖ *τὴν* b: *τὸν* 26 *ἐκτίθεσθαι*: Gerhard 27 *Ὀλυμπιάδ(ι)*: Schneider 28 *οὖν*] *δὲ* cj. Schneider ‖ *ος'* Gerhard: *ις'* ‖ *οὖν*] *δὲ* cj. b ‖ ⟨*οὐ*⟩*τῷ ἀπηρτ.* Bergk

A 173 a. *ἀλλ' αἶνον ἐπέβασε κόρος*: ἀλλὰ τὸν ἔπαινον κόρος ἐπέβη καὶ ὕβρις ἄδικος· κορεσθέντες γάρ τινες τῶν ἀγαθῶν αὐτοῦ αὐτοὶ κατ' αὐτοῦ ἐγένοντο. προσαγανακτῶν δὲ ταῦτά φησι διὰ τὸ εἰς ἔνια τὸν Θήρωνα ἐλαττωθῆναι, τύχαις χρησάμενον οὐκ ἐπιτηδείαις. b. ἄλλως· ὅτι κατακορεῖς γίνονται οἱ ἄνθρωποι τοῖς πολλοῖς ἀνθρώποις τῷ φθόνῳ. ἔστι δὲ καὶ παροιμία (Par. Gr. I, p. 308. II, p. 218. 774)· τίκτει γὰρ κόρος ὕβριν. c. ὁ κόρος τῶν ἀνθρώπων τῶν μάργων τῶν θορυβῆσαι θελόντων ἐπέβη τῷ τοῦ Θήρωνος ἐπαίνῳ, κρύψιν θέλων θεῖναι τοῖς τῶν ἀγαθῶν ἔργοις.

BCDEQ 173 d. *ἀλλ' αἶνον ἐπέβα κόρος*: τὴν ᾠδὴν ταύτην ἔγραψεν ὁ Πίνδαρος τοῦ Θήρωνος πολεμοῦντος διὰ τὴν πρὸς Ἱέρωνα κηδείαν. e. *κόρος δὲ*, ὕβρις μετὰ ἀδικίας. f. τὸ χαριστικόν, φησι, τοῦ Θήρωνος ἐπέβησε πολλοὺς εἰς ὕβριν[, δηλονότι αὐτοὺς προηγάγετο]· ἐπεὶ οἱ προδιδόντες αὐτὸν Ἱέρωνι φίλοι ἦσαν.· δύναται δὲ τοῦτο καὶ εἰς τοὺς
BDEQ περὶ Κάπυν τείνειν, οἳ | ἐπεστράτευσαν αὐτῷ, μὴ ὑπομένοντες αὐτὸν ὁρᾶν οὕτω λαμπρὸν ὄντα. ἐπέβη οὖν τῷ Θήρωνος ἐπαίνῳ ὁ φθόνος ὑπαντήσας οὐ κατὰ δίκην οὐδὲ
BCDEQ ὃν δεῖ τρόπον. g. ἄλλως· Κάπυς καὶ Ἱπποκράτης | Θήρωνος ἦσαν ἀνεψιοί. οὗτοι πολλὰ ὑπ' αὐτοῦ εὐεργετηθέντες ὡς ἑώρων ηὐξημένην αὐτοῦ τὴν τυραννίδα, φθονοῦντες πόλεμον ἤραντο πρὸς αὐτόν· ὁ δὲ συμβαλὼν αὐτοῖς περὶ τὴν Ἱμέραν ἐνίκησε. 176 C

BDEQ 173 h. *ἐπέβα κόρος*: τὸν ἔπαινον, τὴν δόξαν τοῦ

---

3 αὐτοὶ] ἀχάριστοι? ‖ ὥσπερ ἀγανακτῶν Gerhard (V) 6 ἄνθρωποι] ἀγαθοί? 8 τίκτει γὰρ κόρος ὕβριν. ὁ κόρος ego: κόρος ὕβριν τίκτει γὰρ ὁ κόρος **A** κόρος ὕβριν τίκτει. ὁ γὰρ κόρος Gerhard τίκτει τοι κόρος ὕβριν. ὁ γὰρ κόρος **b** τίκτει κόρος ὕβριν. καὶ ὁ κόρος Schneider 9 μάργων Bergk: ἀργῶν
15 τὸ **CEQ**: τὸ δὲ (δὲ ex corr.) **B** καὶ **D** ‖ χαρακτηριστικόν **B** ‖ ἐπέβησε πολλοὺς **BE**: om. **C** ἐπεβήσαν πολλοὶ **DQ** 16 δηλονότι — προηγάγετο seclusi ‖ προσηγάγ. **E** προηγάγετε **DQ** 18 οἳ — 19 ὄντα om. **D** 18 οἳ] οἷον **E** 19 οὕτως ὁρᾶν **Bv** 21—25 cfr. Thom. 143, 9 24 ἤρξαντο **D** 24. 25 περὶ τὴν ἱμέραν (et ἱμέρον) **B**: περὶ ἡμέραν **C** περὶ ἱμέραν **D** περὶ ἣν ἡμέραν **E** παρὰ ἱμέραν **Qb** 26 l.] ἀλλ' αἶνον ἐπέβα κόρον **D** et praem. ἄλλως **Q**

*Θήρωνος. κόρος δὲ ὕβρις.* i. *ἄλλως· τοῦτο ὥσπερ ἀγανακ-* BCEQ
*τῶν ἐφ' οἷς ἀδίκως λελύπηταί φησιν ὁ Πίνδαρος. καί*
*φησιν ὅτι, ἀλλὰ τὸν ἔπαινον τοῦ Θήρωνος ἤδη ἐπέβη κόρος,*
*ἀντὶ τοῦ ἱκανῶς ἤδη φθονηθεὶς ἐπὶ τοῖς θαύματος ἀξίοις.*
| *αἰνίττεται δὲ τὴν γενομένην αὐτῷ πρὸς Ἱέρωνα ἔχθραν.* BCDEQ
176 B 175 EQ k. *ἄλλως· διὰ τὴν μάχην τὴν πρὸς Ἱερῶνα* (C)EQ
*ἕνεκα Πολυζήλου. ἐκβληθέντα γὰρ αὐτὸν ὑπὸ Ἱέρωνος ἀπὸ*
*Συρακουσῶν ὑπεδέξατο ὁ Θήρων.* fin. sch. EQ 173[d] C

173 l. ⟨*αἶνον:*⟩ *τοῦτο αὐτὸ τὸ τῆς εὐδοξίας ἀγαθόν.* EQ
166[b] EQ

174 a. (*οὐ δίκᾳ συναντόμενος:*) *οὐ δικαίως συναν-* Bgl
*τήσας καὶ ἐπ' αὐτῷ γεγονώς.*

175. *ἀλλὰ μάργων: ὑπὸ γὰρ μανιωδῶν τινων καὶ* BCDEQ
*ἀνοήτων ἐφθονήθη, αὐτὸ τοῦτο θορύβῳ τινὶ καὶ ματαίᾳ*
*φλυαρίᾳ κρύψαι καὶ σβέσαι βουληθέντων, τὸ ἐκ τῶν καλ-*
*λίστων αὐτοῦ ἔργων ἀγαθόν.* 178 B

176 a. *λαλαγῆσαι: φλυαρῆσαι. λέγειν τι φθόνου ἐχό-* A
*μενον.* b. *ἢ θορυβῆσαι, ἀπὸ τοῦ λαλεῖν.*

176 c. *τὸ λαλαγῆσαι θέλων: λαλαγῆσαι λέγει τὸ* BCDEQ
*θορυβῆσαι τῷ λόγῳ.*

176 d. (*λαλαγῆσαι:*) *ταράξαι. θορυβῆσαι.* Bgl

176 e. (*θέλων:*) *ὁ κόρος.* Bgl

177 a. ⟨*κρύφιον:*⟩ *ἡ λέξις ἐνίοις λέγεται χωρὶς τοῦ ι̅* A
*ἀρσενικῶς.* b. *ὃ δὲ βούλεται λέγειν ἔστι τοιοῦτον· τοῖς*
*τῶν καλῶν ἀνδρῶν ἀγαθοῖς ἔργοις ἀφανισμὸν θέλων παρα-*
*σκευάσαι.*

174 b. ⟨*οὐ:*⟩ *δίχα.* 177 c. ⟨*κρύφον:*⟩ *κρύψιν καὶ* (D)EQ
*ἀφανισμόν.*

177 d. *κρύφιον: Ἀρίσταρχος χωρὶς τοῦ ι̅ γράφει* BCDEQ

---

1 *ἡ ὕβρις* DQ 2 post *Πίνδαρος* sch. 175 inser. C
3 *ἐπέβη ἤδη* B 4 *ἐφθονήθη* C, om. *ἤδη* 5 *δὲ*] *διὰ* E
6 *ἄλλους* E ‖ *Ἱέρων* Q 7 *διαβληθέντα* Q ‖ *ἀπὸ Σ. ὑπὸ Ἱ.* Q
12 *γεγον(ώς)* B cp. dub. 13 l. om. C 17 *λέγεσθαι*: ego 19 l.] om. C *κρύφιον· ὅτι* add. EQ ‖ *θέλων — λέγει* om. D 24 *ἀρσενικῶς* b: *ἀρσενικ(ή)* 27. 28 *κρύψιν ἀφανισμὸν τοῦ* .... (lac.) E 29 *κρύφιον* B(C): om. DQ *κρύφιον — γράφει* om. E (lac.)

κρύφον, καὶ ἀποδίδωσι κρύψιν· ὁ κόρος κρύψιν θέλων [καὶ ἀφανισμὸν] θεῖναι τοῖς τῶν ἐσθλῶν καλοῖς. καὶ ἡ ἀντίστροφος δὲ οὕτως ἀπαιτεῖ. 175 B

A 178 a. ἐπεὶ ψάμμος: ἐπεὶ δὲ μετρεῖν ψάμμον ἀδύνατον, καὶ τὰς εὐεργεσίας τοῦ Θήρωνος μετρεῖσθαι ἀδύνατον.

BCDEQ 178 b. ἐπεὶ ψάμμος· παραβολικῶς· λέγει γάρ, ὥσπερ ἡ ψάμμος οὐκ ἂν ἀριθμῷ περιληφθείη, οὕτως ἀμέτρητος Θήρων ταῖς εὐποιίαις. 173[k] EQ

D ὕμνου τῷ Θήρ⟨ωνι τέλος⟩.

EPQ τέλος Θήρωνος Ἀκραγαντίνου.

---

## Scholia in Olympionicarum carmen III.

AC Τῷ αὐτῷ ἅρματι θεοξένια.

BDEQ Τῷ αὐτῷ εἰς θεοξένια. 1[c] B

BDEQ Τοῦ τρίτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων
DEQ ἐννέα, καὶ ἡ ἐπῳδὸς κώλων ἐννέα. | τὸ α' ἐγκωμιολογικὸν
EQ δίμετρον καταληκτικόν. | τὸ β' προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐκ τοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. τὸ γ' προσοδιακὸν τρίμετρον ἀκατάληκτον ⟨ἐκ τοῦ⟩ ἀπὸ μείζονος ⟨καὶ⟩ χοριάμβου καὶ ἑξῆς ὁμοίως ἀπὸ μείζονος ἰωνικοῦ. τὸ δ' προσοδιακὸν ⟨δίμετρον⟩ ὑπερκατάληκτον ⟨ἐκ τοῦ⟩ ἀπὸ μείζονος ἰωνικοῦ ⟨καὶ⟩ χοριάμβου καὶ συλλαβῆς. τὸ ε' προσ-

---

1 κρυφὸν C 1. 2 καὶ ἀφανισμὸν om. CDEQ; seclusi 2 ἐσλῶν B ‖ κακοῖς Q[ac]v 4 ἀδύνατον A[pc]: ἀμέτρητον δύνατον A[ac] 6 γὰρ ὥσπερ BDEQ: ὥσπερ γὰρ C 7 παραλειφθ. D περιλειφθ. E[ac] 9 post Θήρ abscissa charta D 10 τέλος E: ὕμνου τέλος PQ 12 inscr. repet. E τῷ αὐτῷ στησιχόρεια εἰς θεοξ. O 13 καὶ BE: καὶ ἡ DQ ‖ ἀντιστροφὴ B 14 καὶ — ἐννέα om. EQ ‖ ἐπῳδ(ὸς) B: ἐπῳδὴ ὁμοίως D 15 καταληκτικόν Q: κ. ἐκ τοῦ ἀπō D ἀκατάληκτον ἕκτ(ον) ἀπὸ μείζονος καὶ χοριάμβου E ‖ προσοδικὸν EQ ubique 16 ἐκταπὸ E ‖ καὶ om. Q 17 δίμετρον Ev ‖ supplevi 18 καὶ — ἰωνικοῦ om. Q ‖ ἰωνικῆς E 19 δίμετρον suppl. Tzetzes ‖ ἐκ τοῦ addidi 20 ἰωνικοῦ om. E ‖ καὶ addidi ‖ χορ. καὶ συλλ. om. Q ‖ συλλαβῆς scripsi: ἑξῆς E

οδιακὸν τρίμετρον καταληκτικὸν ἀπὸ τροχαΐκῆς ⟨καὶ⟩ χοριάμβου καὶ ἰωνικοῦ ἀπ' ἐλάττονος. τὸ ϛ' ἰαμβικὸν πενθημιμερές. τὸ ζ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ η' ὅμοιον τῷ α' τῆς στροφῆς. τὸ ϑ' Στησιχόρειον.

καὶ ἡ ἐπῳδὸς κώλων ϑ'. τὸ α' τροχαικὸν δίμετρον ἀκατάληκτον. | τὸ β' δακτυλικὸν πενθημιμερές. τὸ γ' προσ- (D)EQ
οδιακὸν τρίμετρον καταληκτικὸν ἀπὸ τροχαΐκῆς ⟨καὶ⟩ χοριάμβου καὶ ἰωνικοῦ ἀπ' ἐλάσσονος. τὸ δ' ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. τὸ ε' προσοδιακὸν δίμετρον ἀπὸ χοριάμβου καὶ ἰωνικοῦ ἀπ' ἐλάσσονος. | τὸ ϛ' ὅμοιον EQ
τῷ α' τῆς στροφῆς. τὸ ζ' ἐγκωμιολογικόν. τὸ η' δακτυλικὸν πενθημιμερές. τὸ ϑ' Στησιχόρειον ὁμοίως τῷ ϑ' τῆς στροφῆς.

Θεοξένια. ϑεοξενίων ἑορταὶ παρ' Ἕλλησιν οὕτως ἐπι- A
τελοῦνται κατά τινας ὡρισμένας ἡμέρας, ὡς αὐτῶν τῶν ϑεῶν ἐπιδημούντων ταῖς πόλεσιν. ἄγοντος δὲ Θήρωνος τὴν ἑορτὴν τῶν Διοσκούρων καὶ Ἑλένης ἠγγέλϑη ἡ νίκη· διὸ ἀπ' αὐτῶν ἄρχεται.

1a Τυνδαρίδαις: ζητεῖται τί δήποτε ὁ Πίνδαρος A
Ὀλυμπικὸν ὕμνον γράφων εὔχεται τοῖς Διοσκούροις προσηνεῖς τῇ ᾠδῇ γενέσϑαι· ἐχρῆν γάρ, εἴπερ ἄρα, Ἡρακλέα τὸν διαϑέντα τὸν ἀγῶνα κατακαλεῖσϑαι. Ἀρίσταρχος μὲν οὖν τὴν ἀπορίαν διαλύων τοὺς ϑεοὺς τούτους σφόδρα ἐν Ἀκράγαντί φησι τιμᾶσϑαι. οἱ δέ φασι ϑεοξενίων ὄντων καὶ κεκλημένων τῶν Διοσκούρων εἰς τὰ ϑεοξένια τὸν Θήρωνα νικῆσαι, ᾧ συγχρησάμενον τὸν Πίνδαρον εὔχεσϑαι τοῖς Διοσκούροις. οἱ δὲ ὅτι Ἡρακλῆς ἀποϑεούμενος τούτοις ἐπέτρεψε τὸν ἀγῶνα, ὡς καὶ αὐτὸς ὁ Πίνδαρός φησι

---

1 τροχαΐκῆς scripsi: τροχαικοῦ E Tzetzes τροχαίου Q ‖ καὶ addidi 2 ἰαμβικὸν Q: ἰαμβικὸν δίμετρον E 5 ἐπῳδὴ Q 7 καταληκτικὸν πρ. τρίμετρον Q πρ. δίμετρον ἀκατάληκτον E προσωδιακὸν τρί[μετρον ἀκατάληκτον] D[D] 7 ἀπὸ — 8 ἐλάσσονος E: ἀπ' ἐλάττονος ἰωνικοῦ ἔχοντος τὸν πρῶτον πόδα τοῦ πρώτου ἰωνικοῦ (ἰαμβικοῦ Q) τρόχαιον (D)Q 7 τροχαΐκῆς scripsi: τροχαικοῦ E ‖ καὶ addidi 10 ὁμοίως E 16 ἐπιδημ. Preller Griech. Myth. I, 212, 1: ἐκδημ. A ἐνδημ. Hartung 17 Ἑλένη: b 20 Ὀλυμπιακὸν b 21 εἴπερ om. b 23 ἐν b: μὲν

(vs. 36). τῇ Ἀρισταρχείῳ ἀποδόσει ὁ Δίδυμος μᾶλλον προστίθεται.

BCDEQ 1b. Τυνδαρίδαις τε φιλοξείνοις ἁδεῖν: ὁ νοῦς· τὴν ἔνδοξον Ἀκράγαντα τιμῶν καὶ ἐν αὐτῇ τὸν ὕμνον τελειῶν καὶ ὀρθῶν τὸν ἐπὶ τῇ τῶν Ὀλυμπίων νίκῃ, ὅστις ὕμνος ἄωτόν ἐστι καὶ κόσμος τῶν ἀκαμαντοπόδων ἵππων τοῦ Θήρωνος, εὔχομαι ἀρέσαι τοῖς τε Διοσκούροις καὶ τῇ Ἑλένῃ. διὰ τί δὲ τούτοις εὔχεται ἀρέσαι; διὰ τὸ εἰς θεοξένια γράφειν. ἀντέστραπται δὲ ἡ τάξις, καὶ δοκεῖ τῇ συγχύσει ἀσάφειαν εἰργάσθαι· ἐπεὶ ἡ ἀκόλουθος ἑρμηνεία οὕτως ἐστί· κλεινὰν Ἀκράγαντα γεραίρων, Ὀλυμπιονίκαν ὕμνον ὀρθώσαις Θήρωνος ἀκαμαντοπόδων ἵππων ἄωτον, εὔχομαι ἁδεῖν Τυνδαρίδαις τε φιλοξένοις καλλιπλοκάμῳ θ' Ἑλένᾳ. 7 B

BCDEQ 1c. Τυνδαρίδαις τε φιλοξείνοις ἁδεῖν: οἱ Διόσκουροι κατὰ ἐντολὴν Ἡρακλέος διατεθειμένοι τὸν Ὀλυμπιακὸν ἀγῶνα ὡς ἐνομοθέτησεν Ἡρακλῆς· τούτοις γὰρ εἰς θεοὺς ἀναχωρῶν Ἡρακλῆς τὴν τῶν Ὀλυμπιακῶν ἀγώνων φροντίδα καὶ ἐπιμέλειαν ἐνεχείρισεν· οὗτοι ἀφ' ἑαυτῶν ἐπενόησαν πανήγυριν θεοξένια παρὰ τὸ δοκεῖν τότε ξενίζειν τοὺς θεούς. θύοντος οὖν τοῦ Θήρωνος εἰς θεοξένια, ἐν τοσούτῳ ἠγγέλθη αὐτῷ καὶ ἑτέρων αὐτοῦ ἵππων νίκη, καὶ εἰς τοῦτο γράφει ὁ ποιητής. d. ζητεῖται δὲ διὰ τί μὴ Διὶ ηὔξατο, ᾧ οὗτος ὁ ἀγὼν ἀνάκειται, ἢ Ἡρακλεῖ τῷ καταβολεῖ, ἀλλὰ Διοσκούροις. καὶ φαμὲν πρῶτον ὅτι πρὸς τὸ

---

1 τῷ Ἀρισταρχίῳ: **b** 3 l. om. **C** ‖ τε om. **E** ‖ φιλοξ. ἁδεῖν om. **B** ‖ φιλοξένοις **E** ‖ ἄδειν **D** 6 ἄωτος Beck 7 τε om. **B** ‖ Διοσκόροις **BCE** 8. 9 θεοξένια **DQ**: φιλοξένια **BE** φιλοξενίαν **C** 10 εἰργάσασθαι **D** ἐργάσασθαι **Q** 11 ἐστί **BCE**: ἔχει **DGQ** 13 Ἑλένῃ **E**($D^{cp}$?) 14 l. **B** (s. s. προοίμιον) et praem. ἄλλως **E**: ἄλλως **CDQ** εἰς θεοξένια **v** ‖ φιλοξένοις **BE** ‖ ἀιδεῖν **B** 14—22 cfr. Thom. 148, 17. Tricl. 149, 15 14. 15 Διόσκοροι **B(D)EQ** 15. 16 Ὀλυμπικὸν **E** 18 οὗτοι **B**: οὗτοι δὲ 19 μετενόησαν **Bv** 19. 20 τοὺς θεοὺς ξενίζειν **DQ** 20. 21 ἐν τοσούτῳ **BDQ**: ἐντὸς οὕτως **CE** 21 ἑτέρων **V** Thom. **r**: ἑτέρωθεν **hb** (nescio unde) 22 Διὶ **B**: Διὶ μᾶλλον **CE** Διὶ μᾶλλον οὗτος **DGQ** 23 ἀγὼν] βασιλεὺς **D** 24 Διοσκόροις etc. fere **E** ‖ φαμὲν — p. 107, 1 παρὸν] ὅτι **D** ‖ καὶ φαμὲν **CQ**: φαμὲν **E** φαμὲν οὖν **B** ‖ ὅτι πρὸς **CQ**: πρὸς **E** ὡς **B**

*παρόν εἰσιν αὐτοὶ οἱ διοικοῦντες τὸν ἀγῶνα· ἔπειτα ὅ τε Ζεὺς καὶ Ἡρακλῆς. ὁ δὲ Ἀρίσταρχός φησι παρὰ τοῖς Ἀκραγαντίνοις διὰ τιμῆς εἶναι τοὺς Διοσκούρους, καὶ πατρίῳ ἔθει καὶ νῦν αὐτοὺς χρῆσθαι. ὁ δὲ Δίδυμος ἱστορικώτερον λέγει καί φησι διὰ τὸ τὸν Θήρωνα ἄνωθεν Ἀργεῖον εἶναι· τιμῶνται δὲ κατὰ τὸ Ἄργος καὶ τὴν Πελοπόννησον οἱ Διόσκουροι.* metr. B

5 a. *ὕμνον ὀρθώσαις: τὸν ὕμνον τῶν ἵππων ἄωτον* A
*προσηγόρευσεν ὡς ἄνθος καὶ στεφάνωμα αὐτῶν.* b. *τὸ δὲ ὀρθώσας εἶπε μετενεγκὼν ἀπὸ τιθεμένων ἀνδριάντων ἢ*
*ἀγαλμάτων.* c. *ἢ ὀρθώσας καὶ ὑψώσας καὶ αὐξήσας τὸν* AC
*ὕμνον.* d. *ἄωτον δὲ ἀντὶ τοῦ κόσμον αὐτοῦ καὶ στέφανον.* C

5 e. *ὑψώσας καὶ αὐξήσας ἐπινίκιον ὕμνον.* $B^{gl}$

6. (*ἄωτον:*) *ἀντὶ τοῦ κόσμησιν.* $B^{gl}$

7 a. *Μοῖσα δ' οὕτω ποι παρέστα: οὕτω μοι παρ-* BCDEQ
*έστη ἡ Μοῦσα, ἐὰν τοῖς Διοσκούροις ἀρέσω.* b. *ἤ, οὕτω μοι ἐρχέσθω ἡ Μοῦσα, ὥστε με Δωρίδι διαλέκτῳ νεοποίκιλον*
*ἐξαγγεῖλαι ὕμνον.* 8 C c. *ἄλλως· οὕτω γάρ που ἡ Μοῦσα* $B^{gl}$CQ
*ἐπῆλθέ μοι τὸ εἰς θεοξένια γράψαι.* 9 C

8 a. *νεοσίγαλον: νεοποίκιλον. σιγαλῶσαι γὰρ τὸ ἐπι-* A
*θεῖναι ἐπὶ πᾶσι τὸν κόσμον.* b. *ἀμφιβάλλεται δὲ ὁ λόγος. ἤτοι γὰρ τοιοῦτόν ἐστιν· οὕτω μοι παρέστη ἡ Μοῦσα, ἵνα τοῖς Διοσκούροις ἀρέσω· ἤ, οὕτως μοι παρέστη ἡ Μοῦσα καὶ ἔρχεται ὥστε Δωρίδι διαλέκτῳ νεοποίκιλτον ἐπαγγεῖλαι ὕμνον.* c. *πέδιλον δὲ κυρίως μὲν τὸ ὑπόδημα, νῦν δὲ τὸ*

---

20 Hes. *σιγαλόεν.* Ap. soph. *σιγαλόεντα.*

---

1 *αὐτοί εἰσιν* CD || *ἔπειτα — 2 Ἡρακλῆς* om. D || *ὅ τε — 2 Ἡρακλῆς* al. atram. B || *ὅ τε* BE: *ὁ* CQ *ὅτι* cj. Horn, post *Ἡρακλῆς* lac. ind. Locus nondum exped. vid. 3 *Διοσκόρους* BCE 4 *αὐτοὺς* hb: *αὐτὸν* || *χρᾶσθαι* Bv 6 *Πελοπόνησον* BE 11 *ἢ ὀρθώσας καὶ*] *ὀρθώσας ἀντὶ τοῦ* C || *τὸν* A: *τὸν ἐπίνικον* C 15 *ποι παρέστα* om. CDQ || *ποι* E: *μοι* B 15 sqq. cfr. 21 sqq. 15. 16 *παρέστη ἡ* DEQ (et A): *παρέστηκε* B *πάρεστιν* C 16 *ἐὰν* V: *ἵνα* A (22) 17 *ἔρχεται* A (24) || *νεοποίκιλτον* C (et A) 18 *ἐπαγγεῖλαι* A (24) || *ἄλλως* om. B || *που* om. BC 19 *ἐπῆλθέ μοι* B (evan.) Q: *μοι ἐπῆλθε* C || *θεοξ[ένια γράψαι]* B absciss. 20 *νεοσίγηλ(ον)* 21 *ἐπὶ πᾶσι* „super omnia"? 25 *κυρίως μὲν* ego: *δοκῶμεν* A *λόγῳ μὲν* Gerhard

μέλος. ⟨τὸ δὲ Δωρίῳ⟩ ἐπὶ τοῦ πεδίλου τέταχεν, ἵνα †αἰνέσω τὸ Δώριον μέλος. d. τουτέστιν ὅπως διοδεύσω διὰ τοῦ Δωρίου μέλους.

BCDEQ 8e. νεοσίγαλον τρόπον: νεοποίκιλτον ἐπινοήσαντι ὑπόθεσιν, τὸ γράψαι εἰς θεοξένια. 7c C

BCDEQ 9a. Δωρίῳ φωνάν: τρεῖς ἁρμονίαι, Δωρία, Φρυγία, Λυδία. πεδίλῳ δὲ τῷ ῥυθμῷ. b. ἀπὸ [δὲ] τοῦ περιέ-
BCEQ χοντος τὸ περιεχόμενον. τὴν βάσιν οὖν εἶπε. c. πρὸς τῷ
CE Δωρίῳ μέλει ἐναρμόσαι | τὴν ἀγλαόκωμον φωνήν. γέγραπται γὰρ ἡ ᾠδὴ Δωριστί. 11 E 14 Q

$\mathrm{B}^{\mathrm{gl}}$ 9d. (πεδίλῳ:) τῷ ῥυθμῷ.

A 10a. ἐπεὶ χαίταισι μέν: ἐπειδὴ ἐν ταῖς χαίταις τῶν ἵππων ἐπιζευχθέντες οἱ στέφανοι ἀπαιτοῦσί με τὸν ὕμνον αὐτοῖς προσφωνῆσαι, ὅ ἐστιν ἀγλαόκωμον χρέος. ἐκώμαζον γὰρ ὑμνοῦντες τὴν νίκην. b. τινὲς δὲ χαίταις οὐ τῶν ἵππων, ἀλλὰ τῶν μελλόντων στέλλειν τὸν κῶμον.

BCDEQ 10c. ἀγλαόκωμον ἐπεὶ χαίταισι: χαίταις οὐ ταῖς τῶν ἵππων διὰ τὸ νικᾶν, ἀλλὰ ταῖς τῶν μελλόντων στέλλειν τὸν κῶμον ὃν ἔμελλον ᾄδειν. ἐκώμαζον γὰρ ὑμνοῦντες τὴν νίκην. καὶ οὐκ ἀπιθάνως στοχάζονται, ὅτι ἴσως εἰς Διοσκούριον ὁ κῶμος ἤγετο καὶ ἡ πομπὴ διὰ τὴν πρὸς τοὺς Διοσκούρους τοῦ Θήρωνος οἰκειότητα. 17 E

BCDEQ 11. ζευχθέντες ἔπι στέφανοι: ζευχθέντες γὰρ οἱ στέφανοι ταῖς τῶν ἵππων θριξὶν ἀπαιτοῦσί με τὸν θεοκατασκεύαστον ὕμνον τὸν ἐκ Μουσῶν, ὥστε πρὸς τὴν ποικιλόφωνον κιθάραν καὶ τὴν ἡδεῖαν τῶν αὐλῶν ἠχὴν τοὺς ἐμοὺς εὐπρεπῶς ἁρμόσαι λόγους εἰς χάριν τοῦ Αἰνησιδάμου παιδὸς Θήρωνος. σύμψαλμα δὲ τὸ γινόμενον. 16 DQ

---

1 supplevi ‖ πεδίου: b 4 νεοποίκιλον Bv 6 sq. cfr. Tricl. 150, 16 ‖ τρεῖς BDQ: τρεῖς εἰσιν CE 7 δὲ om. CD; seclusi 8 τὴν μετάβασιν D βάσιν E, om. τὴν 13 με ego (cf. 24): μὲν 14 ὅ A: ὅς? ‖ ἀγλαοκόμον ‖ ἐγκωμίαζον: V 15 χαίτας: V 16 κῶμον V: ἵππον 17 l. om. C ‖ ἐπὶ DQ ‖ οὐ ταῖς BDQ: αὐταῖς C οὖν ταῖς E 19 κόσμον DQ ‖ ἤμελλον B ‖ ἐκώμαζον — 20 νίκην om. D 20 στοχάζεται DQ 20. 21 Διοσκούρους DQ 21 ἤγετο b: ᾔδετο ‖ τοὺς om. Bv 23 l.] ὁ δὲ νοῦς C ‖ ἔπι BDE ἐπί, Q ‖ ζευχθέντες BE: ἐπιζευχθέντες CDQ 23. 24 οἱ στ. γὰρ DQ 24 με b: μὲν 27 Αἰνεσιδάμου DQ 28 γενόμενον $\mathrm{BQ}^{\mathrm{ac}}$v

12a. (πράσσοντι:) ἀπαιτοῦσι. B[gl]

12b. θεόδματον χρέος: ἢ τὸ ἀπὸ θεῶν μεριζόμενον, ἢ τὸ εἰς θεοὺς μεριζόμενον. A

12c. θεόδματον· τὸ εἰς θεοὺς πεποιημένον. λέγει δὲ τὴν ᾠδήν. 17 DQ B[gl](C)DQ

14a. τὴν ποίησιν ἐπέων θέσιν εἶπεν. 10 EQ

14b. ἀπὸ κοινοῦ τὸ πράσσουσιν. B[gl]

16. συμμῖξαι πρεπόντως: συμβαλεῖν τῇ λύρᾳ καὶ τῷ αὐλῷ τὸν Αἰνησιδάμου παῖδα Θήρωνα. 12 DQ AB[gl]DQ

17a. ἅ τε Πίσα με γεγωνεῖν: ἥ τε Πίσα με ἀπαιτεῖ μὴ ἠρεμεῖν, ἀλλὰ ὑμνεῖν καὶ βοᾶν. BCDEQ b. ἢ τὸ ἑξῆς· πράσσοντί με γεγωνεῖν. BDEQ

17c. γεγωνεῖν: προσυπακουστέον τὸ πράσσει με ἐκ τοῦ προκειμένου. d. ἀπαιτεῖ τὸ θεόδματον χρέος. ACDEQ

e. τὸ δὲ γεγωνεῖν οἱ μὲν ἀπὸ τῆς γεγωνώς μετοχῆς βαρύτονον Αἰολικῶς κλίναντες γεγώνειν ὡς ἀκούειν, γινώσκειν ἐκφέρουσι· γέγωνέ τε πᾶν κατὰ ἄστυ (Ω 703). εἰσὶ δὲ οἳ ἀπὸ τοῦ γεγωνέω σχηματίζουσιν, ὥστε δεῖ περισπᾶν. f. τὸ ἀπαρέμφατον ⟨ἐνεστὼς⟩ ἀντὶ συντελικοῦ φησι παρειλῆφθαι τὸ †γεγωνήσειν. A

17g. τᾶς ἄπο: τῆς Ὀλυμπίας. h. ἀφ' ἧς δὴ Πίσης αἱ ἀπὸ θεῶν ἀπομεριζόμεναι [ἀοιδαὶ καὶ] ᾠδαὶ ἐπὶ τοὺς ἀνθρώπους παραγίνονται. i. ἐπὶ τοὺς νικῶντας [ἀνθρώπους]. BCDEQ

---

6 EM 391, 27 15 Herodian. II 83, 8

---

3 μεριζόμενον] ft. πεποιημένον (V) 5 δὲ om. D 6 ποίησιν E: ποίησιν δὲ Q || εἶπεν corr. in εἶπε et add. τὸν Αἰνησιδάμου παῖδα Θήρωνα E (cfr. sch. 16) 8 πρεπόντως om. A 9 αὐλῶ V: αὐλῷ τῆς Ὀλυμπίας A (cfr. V 17[g]) || Αἰνεσιδάμου DQ 10. 11 ἀπαιτεῖ BCE: ἀπὸ τοῦ DQ 13 γεγωνεῖν A: ἄλλως EQ ἢ C om. D || με V: μὲν A 14 ὑποκειμένου DQ || ἀπαιτεῖ AC: ἀπαιτεῖ με DEQ || θεόδμητον V 15 γεγωνὼς b: γεγὼς 16 γεγωνεῖν A[pc] 18 γεγωνέω b: γεγωνώς 19 suppl. b | συντελ(ικόν) || φασι b 20 τὸ γεγωνεῖν b τοῦ γεγωνῆσαι Gerhard 21 sch. 17g om. C || l. om. BE || Πίσης C Πίσσης D: Πίσας BE 22 ἀπὸ BE: τῶν DQ || μεριζόμεναι BC || ἀοιδαὶ καὶ om. CDEGQ 23 ἐπὶ τοὺς νικῶντας ἀνθρώπους BE τοὺς νικῶντας C: ἀνθρώπους δὲ τοὺς νικῶντας DGQ

A 18. *θεόμοροι νίσονται:* ἀπὸ θεῶν μεριζόμεναι καὶ παρεχόμεναι τοῖς νενικηκόσιν. εἰ μὴ γὰρ θεῶν προνοίᾳ νικήσῃ τις, οὐδὲ ᾄδεται.

A 19 a. *ᾧτινι κραίνων:* τὸ ἑξῆς τοῦ ὑπερβατοῦ οὕτως· ᾧτινι ἀμφὶ κόμαις βάλῃ γλαυκόχροα κόσμον ἐλαίας ὑψόθεν βλεφάρων ἀτρεκὴς Ἑλλανοδίκας Αἰτωλὸς ἀνὴρ Ἡρακλέους κραίνων ἐφετμὰς προτέρας. b. ἄλλως· τὸ ἑξῆς· βλεφάρων ὑψόθεν· οὕτως γὰρ ἐστέφοντο, ἐπὶ τοῦ μετώπου. Ἀνακρέων (fr. 54)· ἐπὶ δὲ ὀφρύσι σελίνων στεφάνους θέμενοι.

BCDEQ 19 c. *ᾧτινι κραίνων ἐφετμάς:* ἀπὸ τοῦ πληθυντικοῦ μετέπεσεν εἰς τὸ ἑνικόν. d. τούτῳ, φησίν, ἀκολουθοῦσιν αἱ ᾠδαί, ᾧτινι τελειῶν τὰς ἐντολὰς καὶ τοὺς νόμους τοῦ Ἡρακλέος ὁ δίκαιος καὶ ἀληθὴς Ἑλλανοδίκης, ὁ Ἠλεῖος ἀνήρ, ἐπὶ τῆς κεφαλῆς ἐπάνω τῶν ὀφθαλμῶν τὸν στέφανον περιβάλλει τὸν ἀπὸ τῆς ἐλαίας τοῦ κοτίνου.

AB$^{gl}$E$^{gl}$ 20. *προτέρας:* ὅτι μετὰ τὸν Ἡρακλέα πάλιν Ἴφιτος
A ἔθηκε τὸν ἀγῶνα | τῶν Ὀλυμπίων, διὰ τοῦτο εἶπε προτέρας.

B$^{gl}$CDQ 21 a. Ἑλλανοδίκαι καλοῦνται οἱ προτεταγμένοι τοῦ ἀγῶνος, ἐπεὶ μόνοις Ἕλλησιν ἀγωνίζονται.

A 21 b. 22 a. *ἀτρεκής:* ἀτρεκὴς ⟨Ἑλλανοδίκας . . . . . *Αἰτωλὸς ἀνήρ·* τοὺς⟩ Ἑλλανοδίκας, μᾶλλον δὲ καὶ πάντας τοὺς Ἠλείους Αἰτωλοὺς εἶπεν· οὕτως γὰρ ὠνομάσθησαν ἄνωθεν ἀπὸ Αἰτωλοῦ τοῦ Ἐνδυμίωνος, ⟨ἢ⟩ διὰ τὴν Ὀξύλου εἰς Ἦλιν ἄφιξιν, ὥσπερ Ἀσκληπιάδης ἀξιοῖ. περὶ δὲ τοῦ τῶν Ἑλλανοδικῶν ἀριθμοῦ Ἑλλάνικός (FHG I, 57)

---

8 Athen. 15, 674 e. 19 EM 331, 20. Bekk. anecd. 248, 32

---

2 θεοῦ b 3 νικήσαι b 5 ἀμφὶ κόμαις ego: ἀφικομένῳ 9 ἐπὶ δ' ὀφρύσιν b || στεφά(νους) A: στεφάνων Red. στεφανίσκους Athen. (et Eust. 1908, 55) στέφανον b 11 ἐφετμάς om. CDEQ 13 καὶ ego: κατὰ 14 Ἡρακλέους CQ 16 περιβάλῃ E 17 ὅτι A: ἐπεὶ B om. E || πάλιν om. BE 18 ἔθηκε A: διέθετο BE 20 ἐπεὶ — ἀγωνίζονται om. B || ἐπεὶ C: ἐπὶ DQ || μόνοι Ἕλληνες cj. b perperam || ἀγωνίζονται corruptum: δικάζουσι? (ἐδίκαζον Bekk. anecd., EM) 21 supplevi; cfr. ad p. 111, 3 24 suppl. b

φησι καὶ Ἀριστόδημος (FHG III, 308), ὅτι τὸ μὲν πρῶτον ⟨β'⟩ . . . ιβ', τὸ δὲ τελευταῖον ι'· τοσαῦται γὰρ αἱ τῶν Ἠλείων φυλαί, καὶ ἐφ' ἑκάστης εἷς ἦν Ἑλλανοδίκης.

22 b. *Αἰτωλὸς ἀνὴρ ὑψόθεν*: Αἰτωλὸς ἀντὶ τοῦ Ἠλεῖος. Ὄξυλος γάρ τις, εἷς τῶν Αἰτωλῶν, ἡνίκα ἐπὶ τὴν Πελοπόννησον οἱ Ἡρακλεῖδαι ἠπείγοντο, καθηγήσατο αὐτοῖς τῆς ὁδοῦ, ἀντιδόσεως δὲ τρόπῳ τινὶ τὴν Ἠλείων ἡγεμονίαν παρ' αὐτῶν λαμβάνει· παρ' οὗ λοιπὸν οἱ Ἠλεῖοι Αἰτωλοὶ ὠνομάσθησαν. διὰ τοῦτο οὖν Αἰτωλὸς ἀνὴρ ὁ Ἠλεῖος. c. ἄλλως· Αἰτωλὸς ἀνὴρ ὁ Ἠλεῖος, ἤτοι ἀπὸ Αἰτωλοῦ τοῦ Ἐνδυμίωνος, ὃς ἦν Ἠλεῖος, ἀποκτείνας δὲ Ἄπιν ἐν τοῖς ἐπ' Ἀζᾶνι ἄθλοις ἔφυγεν εἰς τὴν πρότερον Κουρῆτιν, Αἰτωλίαν δὲ ὕστερον ἀπ' αὐτοῦ κληθεῖσαν. ἢ ἀπὸ Ὀξύλου, ὃς ἦν Αἰτωλὸς τοῦ Ἀνδραίμονος, διεῖλε δὲ τοῖς Ἡρακλείδαις τὴν Πελοπόννησον, καὶ διὰ τοῦτο ἐδωρήσαντο αὐτῷ ἐξαίρετον τὴν Ἦλιν. d. ἄλλως· Αἰτωλοὶ πρῶτοι ἐγένοντο Ἑλλανοδίκαι ἐν Ὀλυμπίᾳ. καὶ ὅτι ὁ κτίστης τῆς Ἤλιδος Ὄξυλος Αἰτωλὸς ἦν.

BCDEQ (22 b) · BCEQ (c) · CDEQ (d)

22 e. (*Αἰτωλός*:) Ἠλεῖος. B[gl]

24 a. (*κόσμον ἐλαίας*:) περιφραστικῶς τὴν ἐλαίαν. B[gl]
b. (*τάν*:) τὴν ἐλαίαν.

24 c. *τάν ποτε Ἴστρου*: ἥντινα ἐλαίαν ποτὲ ἀπὸ BCDEQ

---

10 Paus. 5, 1, 8. Harpocr. Suid. EM 331, 24  16 Tzetzes Chil. 12, 370

---

2 supplevi cl. Paus. V 9, 4 ‖ ιβ'] β' b  3 post h. sch. add. *Αἰτωλὸς ἀνήρ*: μᾶλλον πάντας τοὺς Ἠλείους Αἰτωλοὺς εἶπεν οὕτως γὰρ ὠνομάσθησαν ἄνωθεν A  4—10 cf. Thom. 153, 3  5 Ὀξύλος b ‖ εἷς om. E  6 Πελοπόνησον BC ‖ οἱ om. B ‖ αὐτὸς D αὐτοὺς E  7 δὲ om. DQ (lac. E)  7. 8 τῶν Ἠλ. ἡγεμονίαι π. αὐ. λανθάνει E  9 ὁ om. E  11 ἀποκτείνας] ἀπέκτεινε E  12 ἐπ' Ἀζᾶνι b: ἀπ' Ἀζάνι Q ἐπ' Ἀξᾶνι B ἐπ' Ἀξάνι E(G) παρ' Ἀξάνι C ‖ πρότερον B: πρότερον μὲν E προτέραν μὲν C πρώτην μὲν Q  13 Κουρῆτιν] Κρῆτιν B[2γρ]E  14 Αἰτωλὸς ego: Αἰτωλοῦ ‖ Ἀνδραίμωνος: ego  15 Πελοπόνησον BCE ‖ τοῦτο] τοῦτο δὲ Qb  16 αὐτῷ] αὐτῷ ὡς (G)Qb ‖ Αἰτωλίας CE  17 Ἑλληνοδ. E  18 τῆς om. DE  22 Ἴστρου om. DQ

Ἴστρου ποταμοῦ τῶν συσκίων πηγῶν ἐκόμισεν ὁ τοῦ Ἀμφιτρύωνος παῖς Ἡρακλῆς μνημεῖον ἐσόμενον τῶν ἐν τῇ Ὀλυμπίᾳ ἄθλων. 28[b] CDEQ

BCDEQ 25 a. Ἴστρου ἀπὸ σκιαρᾶν παγᾶν: τὰς πηγὰς τοῦ Ἴστρου ἐν Ὑπερβορέοις ὑποτίθεται. b. Ἴστρος δὲ ποταμὸς διὰ πολλῶν ἐθνῶν τῆς Εὐρώπης χωρῶν· ἔχει δὲ τὰς πηγὰς ἐν τῇ τῶν Ὑπερβορέων χώρᾳ· ὃς νῦν Δάνουβις λέγεται. c. σκιερὰς δέ φησι πηγὰς ἤτοι τὰς βαθείας ἢ τὰς σκιαζομένας τῇ περὶ αὐτὰς τῶν ἐλαιῶν φυτείᾳ. 28[c] E

BCDEQ 27. μνᾶμα τῶν Ὀλυμπίᾳ: σύμβολον στέμμα τῶν ἱερῶν ἀγώνων, οἷον Ὀλυμπίων κότινος, Πυθίων δάφνη, Νεμέων σέλινον χλωρὸν, Ἰσθμίων σέλινον ξηρόν. 28[c] CDQ 25 E

A 28 a. δᾶμον Ὑπερβορέων: ἀπὸ ἄλλης ἀρχῆς ..... ὑπόνοιαν ἔχῃ ὡς τοῖς ἄνω συνηρτημένον. πανταχοῦ δὲ οἱ Ὑπερβόρεοι ἱεροὶ Ἀπόλλωνος. ἐκλήθησαν δὲ Ὑπερβόρεοι ἀπὸ Ὑπερβορέου τινὸς Ἀθηναίου, ὥς ⟨φησι⟩ Φιλόδημος. Φιλοστέφανος δὲ (FHG III, 33) τὸν Ὑπερβόρεον Θεσσαλόν φησιν εἶναι. ἄλλοι ἀπὸ Ὑπερβορέου Πελασγοῦ τοῦ Φορωνέως καὶ Περιμήδας τῆς Αἰόλου. ὁ δὲ Φανόδημος τοὺς Ὑπερβορέους ἀπὸ τοῦ Τιτανικοῦ γένους φησὶν εἶναι. ὁ δὲ Ἑκαταῖος (FHG II, 387) ἄλλως ἱστορεῖ. 33

BCDEQ 28 b. δᾶμον Ὑπερβορέων: πείσας τὸν δῆμον τὸν τῶν Ὑπερβορέων δοῦναι τὸν κότινον· ὅστις δῆμος θεράπων ἦν τοῦ Ἀπόλλωνος καὶ θρησκευτὴς αὐτοῦ. 25 CDQ 27 E

CDEHQ 28 c. δᾶμον Ὑπερβορέων πείσας: τοὺς Ὑπερβορέους τοῦ Τιτανικοῦ γένους Φερένικός φησιν εἶναι γράφων οὕτως·

---

1 τοῦ Ἴστρου DQ 1. 2 Ἀμφιτρύονος DE 2 ὁ Ἡρ. DQ ‖ μνῆμα DQ 2. 3 τῷ Ὀλύμπῳ DQ 4 l.] om. C τήν ποτ' Ἴστρου Q ‖ πηγᾶν BE 6 χωρῶν CDEQ: χωρεῖ B 9 τῶν ἐλαιῶν] τῶν δένδρων ἢ καὶ τῶν ἐλαιῶν D 10 l.] μνᾶμα DQ 11 Ὀλυμπίᾳ CE ‖ πυθία E[pc] 13 lac. indicavi 14 ἔχει b 16 Ὑπερβοραίου: ego ‖ supplevi ‖ Φανόδημος b recte 19 Περιμήδας Benseler in lex. Papii s. v. Περιμήλα, Müller FHG II, 387: Περιμήλας A Περιμήλης b ‖ Φανόδημος A perperam: Φερένικος b (ex V) 22 l. om. CDQ ‖ δῆμον B ‖ τὸν δῆμον πείσας CDQ 24 καὶ] δὲ E καὶ πρεσβευτὴς καὶ Q 25 δᾶμον DHQ: δαῖμον E δῆμον C ‖ πείσας om. CDHQ 26 γράφων] γὰρ E

*ἀμφὶ θ' Ὑπερβορέων, οἵτ' ἔσχατα ναιετάουσι*
*νηῷ ὑπ' Ἀπόλλωνος, ἀπείρητοι πολέμοιο.*
*τοὺς μὲν ἄρα προτέρων ἐξ αἵματος ὑμνήσουσι*
*Τιτήνων βλαστόντας ὑπὲρ δρόμον αἰθρήεντα*
*νάσσασθαι Βορέαο γύην Ἀριμασπὸν ἄνακτα.*

30 a. *πιστὰ φρονέων*: *φιλικῶς διανοούμενος καὶ πείθων λόγῳ.* b. *ἢ πιστά, πειστικά· οἷον πειθοῖ καὶ οὐ βίᾳ· διὸ καὶ ἔπεισεν αὐτούς.* **BCDEQ**

30 c. *πανδόκῳ*: *τῷ πάντας ὑποδεχομένῳ, διὰ τὸ εἰς τοὺς ἀγῶνας πολλοὺς ἐπιέναι.* **BCDEQ**

31 a. *ἄλσει*: *οὐ θαυμαστὸν εἰ τὸ μήπω πεφυτευμένον ἄλσος εἶπεν. Ἀριστόνικος προληπτικῶς φησιν εἰρῆσθαι· οἱ δὲ ὅτι πάντα τὰ ἱερά, κἂν μήπω πεφυτευμένα ᾖ, ἄλση ἐκάλουν οἱ ἀρχαῖοι. καὶ Ὅμηρος* (B 506)· *Ὀγχηστόν θ' ἱερόν, Ποσειδήιον ἄλσος. ἥκιστα γὰρ δενδρώδης Ὀγχηστός, ἐφ' ὑψηλοῦ κείμενος.* **A**

31 b. *ἄλσει*: *οὐκ ἄν τις ἐνταῦθα ἐναντιωθείη τῷ Πινδάρῳ τὸ ἔτι ἀφύτευτον χωρίον ἄλσος ὀνομάζοντι. ἔλεγον γὰρ πᾶν χωρίον ἀφιερωμένον θεῷ,* | *κἂν ψιλὸν φυτῶν ᾖ, ἄλσος· ὡς καὶ Ὅμηρος* (l. l.)· **CDEHQ** **CEHQ**

*Ὀγχηστόν θ' ἱερὸν, Ποσιδήιον ἀγλαὸν ἄλσος.*

*οὐ γὰρ Ὀγχηστὸς δένδρεσι κομᾷ, ἀλλ' ἱερός ἐστιν.*

32 a. *ξυνὸν στέφανον*: *κοινὸν πᾶσιν ἀνθρώποις* **ACDEHQ**

---

1—5 Tzetzes Chil. 7, 680 11 Strabo 9, 412

---

1 *ἀμφὶ δ'* Hermann obss. crit. in quosdam locos Aesch. et Eur. p. 36 2 *νηῷ* Tzetzes: *ναῷ* **DEGH** *ἀῷ* **C** *ναὸν* **Q** ‖ *ἀπείριτοι* **CE** ‖ *πολέμιοι* **C**ac *πολεμοιμοιο* **H**ac 3 *προτέρω* **D** ‖ *αἱμάτων* **E**i ‖ *ὑμνείουσι* Hermann l. l. 4 *Τιτάνων* **E** ‖ *ὑπὲρ* Voss: *ὑπὸ* ‖ *δόμον* **h** 5 om. **D** ‖ *νάσασθαι* **C** ‖ *γύην* **HQ**: *γύον* **C** *γὰρ ἦν* **E** *λαχεῖν τ'* **h** *μέγαν* Hermann l. l. 7 *λόγοις* **E** ‖ *πειστικά* **CH**: *πιστικά* **B[D]EQ** ‖ *οἷον πειθοῖ* **B**: *καὶ π.* **C** *πειθοῖ* **E** *π. γὰρ* **DHQ** 8 *καὶ* om. **CD** ‖ *ἔπεισεν* **B'CEQ**: *ἔσωσεν* **DHQ**γρ 10 *ἐπιέναι* **DQ**: *ἀπιέναι* 12 *προληπτικ(ὸν)* 18 *τὸ* **CEHQ**: *τῷ* **D** *τῷ τὸ* **v** 18—22 cfr. Tricl. 155, 14 18 *ἔλεγε* **DE** 19 *γὰρ* **D'Q**: *γὰρ ὅτι* **CEH** ‖ *ἀνιερωμένον* **CE** 20 *ἄλσος* **Dv**: *ἄλσος καλεῖται* **CEHQ** Tricl. 21 *Ποσειδήιον* (**C**)**EQ**ac 23 l. sic **V**: *φύτευμα* **A** *ξυνόν* **D** ‖ *πᾶσι τοῖς ἀνθρ.* **CE**

CDEHQ φύτευμα καὶ στέφανον τῶν ἀρετῶν. 35 A b. ἄλλως· κοινὸν γενέσθαι φύτευμα τοῦ τε ἄλσους τοῦ Διὸς καὶ τῶν στεφάνων τῶν ἀρετὴν ἐχόντων ἀνδρῶν. 35d C

A 33 a. ἤδη γὰρ αὐτῷ: περὶ τοῦ χρόνου καθ' ὃν ἄγεται τὰ Ὀλύμπια καθ' ἑκάστην Ὀλυμπιάδα, καὶ Κώμαρχος ὁ τὰ περὶ Ἠλείων συντάξας φησὶν οὕτως· πρῶτον μὲν οὖν παντὸς περίοδον συνέθηκεν ἐν τῇ ἡμέρᾳ .... ἄρχειν νουμηνίαν μηνὸς ὃς Θωσυθιὰς ἐν Ἤλιδι ὀνομάζεται, περὶ ὃν τροπαὶ ἡλίου γίνονται χειμεριναί· καὶ π͞α Ὀλύμπια ἄγεται η' μηνί· ἑνὸς δὲ ὄντος διαφέροντων τῇ ὥρᾳ, τὰ μὲν ἀρχομένης τῆς ὀπώρας, τὰ δὲ ὑπ' αὐτὸν τὸν ἀρκτοῦρον. ὅτι δὲ καὶ ἄγεται ὁ ἀγών, καὶ αὐτὸς ὁ Πίνδαρος μαρτυρεῖ. 31

BCDEQ 33 b. ἤδη γὰρ αὐτῷ καὶ περὶ τοὺς βωμοὺς τοὺς τοῦ

---

1 τῶν ἀρετῶν V: ἀρετὴν τῷ Διί A (ex gl. vs. 34 πατρὶ ortum) 4 sqq. cfr. Schroeder proll. p. 47 5 Κώμαρχος M. Schmidt Philol. I 644 Wilamowitz ind. lect. Gott. 1889/90 p. 10: κ͞ω A Πολέμων Sybel Herm. V 203 Ἀριστόδημος Unger Philol. XXXIII, 230 6 περὶ Ἠλείων b expll. p. 689, alii: περικλείων A περὶ τῶν (Θήβησιν) Ἡρακλείων Sybel l. l. ‖ συντάξας b: συγκατάξας 7 συνέθηκεν A: συνέθηκαν vel συνέθηκεν ⟨Ἡρακλῆς⟩ A. Mommsen Zeit d. Ol. p. 8 7. 8 ἐν τῇ ἡμέρᾳ ἄρχειν νουμηνίαν μηνὸς A: τν' ἡμερῶν, ἧς ἄρχειν ν. μ. C. F. Hermann Monatskunde p. 94 (?) μθ' ἢ ν' μηνῶν ἀρχομένην ἀπὸ μηνὸς Aug. Mommsen Chronol. p. 347 ,νηυμ' ἡμερῶν ..... id. Zeit d. Ol. p. 8 ἔτη η' μῆνας ϙθ', ἀρχὴν δὲ ν. μ. Bornemann ib. p. 9 ,νεφιη' ἡμερῶν, ὧν ἄρχειν Unger Zeitrechn.[2] 773. Scrib. cum Gemino ἐτῶν η', ἡμερῶν ⟨,βϡκβ'⟩ vidit Schroeder; dein ft. ⟨ταύτης δὲ⟩ ἄρχειν κτλ. ‖ νουμηνίας b 8 Διόσθυος cj. b Θῦος ἢ Θυῖος Latischeff ap. Bischoff. Leipz. St. VII 347 Βωθύσιος Schroeder 8. 9 περὶ ἣν? Schroeder ‖ π͞α (i. e. πᾶσα?) A: πρῶτα b πρῶτα ⟨δὲ καὶ ὕστατα⟩ Unger l. l. τ⟨ὰ μὲν⟩ πρῶτα Schroeder; idem infra η' μηνί, ⟨τὰ δὲ δεύτερα θ' μηνί·⟩. Scrib. vid. πᾶσα Ὀλυμπιὰς 10 διαφέροντων (sic) A: διαφέρετον b διαφερόντως Aug. Mommsen p. 9. Locus corruptus 11 ἀρχομέν(ης) A (Aug. Mommsen p. 9): ἀρχόμενα b 12 καὶ corruptum· πανσελήνῳ Schroeder 14 l. ἤδη γὰρ αὐτῷ praem. v et (praem. ὁ δὲ νοῦς) C ‖ αὐτῷ] αὐτῷ τῷ Ἡρακλεῖ v ‖ περὶ (παρὰ) τοὺς βωμοὺς τοὺς (om. καὶ) DGQ: καὶ πλουτοὺς βωμοὺς τοὺς E καὶ περὶ τοὺς βωμοὺς H καὶ οἱ βωμοὶ Bv οἱ βωμοί τε C

*Διὸς θυσία καὶ τὰ ἐναγίσματα ἐπεπλήρωτο καὶ ἡ σελήνη πλήρης οὖσα καὶ ὁλοκλήρῳ τῷ φωτὶ πρὸς τὴν ἑσπέραν καὶ τὴν νύκτα ἀντιλάμπουσα καὶ ἀντιφλέγουσα τὸν καιρὸν παρεῖχε τῆς κρίσεως τοῦ ἀγῶνος· ἐν γὰρ τῇ ἑκκαιδεκάτῃ τῆς σελήνης ὁ Ὀλυμπιακὸς ἀγὼν τελεῖται.* c. *δεῖ δὲ τὸ πρότερον δεύτερον νοεῖν καὶ τὸ δεύτερον πρῶτον· οὐ γὰρ δὴ θυσίαι ἐγίνοντο πρότερον, εἶτα οὕτως ἡ διχόμηνις ἔλαμπεν, ἀλλὰ πρότερον ἡ ἡμέρα τῆς πανσελήνου παρεγίνετο, εἶτα οὕτως αἱ θυσίαι καὶ τὰ λοιπὰ τοῦ ἀγῶνος ἐτελοῦντο.* d. *ὁ δὲ λόγος· ἤδη γὰρ τῶν βωμῶν τοῦ πατρὸς αὐτοῦ Διὸς πληρωθέντων θυσιῶν, ἀντὶ τοῦ σεβασθέντων ταῖς θυσίαις καὶ ἐναγίσματα λαβόντων.* 35$^{e}$ CE

33 e. *(αὐτῷ:) τῷ Ἡρακλεῖ.* $B^{gl}$

35 a. *διχόμηνις: διχόμηνις ⟨ὅτι⟩ περὶ τὴν ιϛʹ πανσελήνου οὔσης ἄγεται τὰ Ὀλύμπια, τουτέστι διχομηνίᾳ Παρθενίου ἢ Ἀπολλωνίου μηνός, παρ' Αἰγυπτίοις Θὼθ ἢ Μεσωρί.* b. *ἢ ὅτι ἀσκίαστος ἦν ὁ χῶρος, διὰ τοῦτο ὅλην λάμπει τὴν σελήνην.* c. *[ἡ] μήνη: [οὖν] τὸν ὀφθαλμὸν τῆς ἑσπέρας ὅλον ἀντέφλεξεν ἡ μήνη ἡ διχόμηνις καὶ χρυσάρματος οὖσα. τουτέστι πανσέληνος ἦν.* A

35 d. *διχόμηνις: ἡ σελήνη, ἐπεὶ ἐν τῇ πανσελήνῳ ὁ Ὀλυμπιακὸς ἀγὼν ἄγεται, καὶ τῇ ἑκκαιδεκάτῃ γίνεται ἡ κρίσις.* BCDEQ

---

1 *θυσία* $EQ^{ac}$: *θυσίαι* $DH^{cp}$ *καὶ αἱ θυσίαι* C *θυσίας* Bv *θυσιῶν* $Q^{pc}$b ‖ *τὰ ἐναγίσματα* CDEQ: *ἐναγίσματα* H *ἐναγισμάτων* Bv ‖ *ἐπεπλήρωντο* Bv  2 *ὁλόκληρος* Bv  2. 3 *καὶ τὴν νύκτα* om. D ‖ *καὶ ἀντιφλέγουσα* om. Bv  4 *ἀγῶνος*] *ἁγίου* D *ἀγνοῦ* $Q^{ac}$ ‖ *ἑξκαιδεκάτῃ* BC *ιϛʹ* DQ *δεκάτῃ* E  5 *ἀγὼν* om. BCD ‖ *καλεῖται* BE  6. 7 *ἐγίνοντο* B: *ἐγένοντο*  7 *πρότερον* (pr.) BE: *πρῶτον* CDQ  8 *τῆς*] *αὐτὴ* E ‖ *πανσελήνης* B  9 *καὶ — ἀγῶνος* in ras. E ‖ *ἐτελοῦντο* DQ: *ἐπληροῦντο* BCE  11 *σεβασθέντων*] *γεμισθέντων* Q ‖ *καὶ τὰ ἐναγ.* E  14 *ὅτι* addidi ex V (p. 116, 3)  14. 15 *πανσελήνης*: Schroeder  15 *διχομηνίᾳ* Schroeder, ego: *οὐμηνία* $A^{ac}$ *νουμηνία* $A^{1c}$  15. 16 *Παρθ(ε)ν(ίου)*  16 *Ἀπολλω(νίου) μη(νὸς)*  16. 17 *Μεσωρί* b (qui tamen *Μεσωρὶ ἢ Θὼθ* trp.): *μεσωρίων* A *Μεσωριών* Schroeder proll. p. 46  17 *ἀσκίαστος* ego: *διασκίαστος*  17 sq. corrupta  18 *ἡ* et *οὖν* seclusi  19 *ἢ μήνη ἤ*: ego ‖ *καὶ* ego: *ἢ*  20 *οὖσα* ego: *οὖν*  21 *ἐπειδὴ* DEQ ‖ *τῇ* v: *τ(ῇ)* B *τῷ* CDEQh ‖ *πανσελήν(ῳ)* B  22 *ἀγὼν* om. Q ‖ *ἑξκαιδεκάτῃ* B *ιϛʹ* CDE

*καὶ αὐτὴ εἰς δύο καταμερίζεται, εἴς τε τὴν αὔξησιν καὶ λεῖψιν τοῦ φωτός.* 37 C 38 E

CDEHQ 35 e. *διχόμηνις: ὅτι πανσελήνῳ ἄγεται ὁ Ὀλυμπιακὸς ἀγών. πρὸ δὲ τοῦ εἰς Ὑπερβορέους παραγενέσθαι Ἡρακλῆς διατέθεικε μίαν Ὀλυμπιάδα, μηδέπω ἀποδεδειγμένου τοῦ στεφάνου* f. *βούλεται δὲ εἰπεῖν ὅτι ψιλὸς καὶ ἀσκίαστος ἦν ὁ τόπος, ὥστε ὅλον τὸν ὀφθαλμὸν τῆς σελήνης καταλάμψαι τοὺς βωμούς.* g. *γίνεται δὲ ὁ ἀγὼν ποτὲ μὲν διὰ μθ´ μηνῶν, ποτὲ δὲ διὰ ν´, ὅθεν καὶ ποτὲ μὲν τῷ Ἀπολλωνίῳ μηνί, ποτὲ δὲ τῷ Παρθενίῳ ἐπιτελεῖται.* h. *χρυσάρματον δὲ εἶπε τὴν σελήνην πρὸς τὸ μεγαλοπρεπέστερον τὴν εἰκόνα διαθέμενος.* 41 C 35$^{d}$ E

DHQ 35 i. *ἄλλως· ὅλον ὀφθαλμόν: τῆς νυκτὸς τὸ σκοτῶδες πληροῦσα ἡ σελήνη κατελάμπρυνεν.*

A 35 k. *χρυσάρματος:* †*ἀμερίας οὕτω· ⟨ἡ⟩ χρυσάρματος μήνη τὸν αὐτῆς ὀφθαλμὸν ἑσπέρας ἀντέφλεξεν αὐτῷ.* l. *τουτέστι πανσέληνος.* m. *σελήνη δὲ ἑκκαιδεκαταία διὰ τὸ ἁβρὸν εἶναι τὸν τόπον καὶ μηδὲν ἐπιπροσθεῖναι ταῖς αὐγαῖς* †*τί δῆτα κατέχειν τὸν χῶρον.* n. *ὃ γὰρ βούλεται λέγειν, τοιοῦτόν ἐστιν· ἐν γὰρ ταῖς ἔμπροσθεν ὑπ᾽ αὐτοῦ γενομέναις θυσίαις ἄδενδρος ἦν ὁ τόπος περὶ τὸ Κρόνιον. ⟨οἱ⟩ γὰρ τῷ Διὶ ἁγισθέντες βωμοὶ τὴν θυηπολίαν νοοῦσι τοῦ Διός· ἁγισθέν⟨των⟩ γὰρ εἶπεν ἀντὶ τοῦ κατασεβασθέντων ταῖς θυσίαις.* o. *ἤδη οὖν, φησι, τῶν Ὀλυμπιονικῶν ἀγώνων τελουμένων, οὐδέπω ⟨τοῖς⟩ νικήσασιν ὁ τῆς ἐλαίας στέφανος ἀπεδέδοτο, ὡς ἂν οὐδὲ αὐτῆς αὐτόθι πεφυτευμένης,*

---

8—9 Tzetzes ad Lyc. 41. id. Chil. I 581

---

2 *διὰ τοῦτο διχότομος* post *φωτός* add. C 3 *διχόμηνις* E: *ἄλλως* DHQ *σημείωσαι δὲ* C 4 *ἀγὼν* om. D ‖ *πρὸ τοῦ δὲ* E ‖ *Ὑπερβορέως* E ‖ *Ἡρακλῆς* DQ: *Ἡρακλέα* 5 *ἀποδεδεγμένου* E *ἀποδεδειγμένην* r 6 *ὅτι*] *οὕτως* E 10 *Ἀπόλλωνι* E 11 *δὲ* om. C ‖ *πρὸς τὸ*] *διὰ τὸ πρὸς τὸ* r 12 *τὴν εἰκόνα*] *τὸν ἀγῶνα* E 15 *ἀμερίας*] *ὁ δὲ νοῦς* Schroeder 16 *αὐτῆς*: ego 17 *πανσ.* ⟨*ἦν*⟩ Mommsen suppl. p. 42 18 *ἁβρὸν*] *ἄδενδρον*? ‖ *αὐγαῖς* scripsi: *αὐταῖς* 19 ft. *ἐδόκει κατέχειν* 21 supplevi 22 *ἁγιασθέντες* A$^{ac}$ ‖ *θυηπο(λίαν)* 23 supplevi ‖ *κατασκευασθ.* Red. (ft. etiam A) 25 supplevi 26 *ἀποδέδοτο* ‖ *πεφυτευμένος*: ego

ὥστε ἀπὸ τοῦ, ἀλλ' οὐ καλὰ δένδρεα ἔθαλλεν, ἐκ τοῦ παρεπομένου τὴν δόσιν τοῦ στεφάνου δηλοῦσθαι.

37. *καὶ μεγάλων ἀέθλων*: ἢ διὰ τὴν τῶν Ἑλλανοδικῶν ἐπιμέλειαν, ἢ διὰ τὴν σύγκρισιν. 39 C CDHQ

38 a. *πενταετηρίδ' ἁμᾶ*: ἰδίως τὰ κεφάλαια ἐκθεὶς ὁ Πίνδαρος τὸ κατὰ μέρος ἐπέξεισιν, ὥστε εἶναι τὸ ἑξῆς τοῦ λόγου τοιοῦτον· ἤδη γὰρ αὐτῷ πενταετηρίδα διαθέντι καὶ θύσαντι τῷ πατρὶ ἦν ὁ χῶρος ἄδενδρος. A

38 b. *καὶ πενταετηρίδ' ἁμᾶ*: ἔθηκε δὲ ὁμοῦ τοῖς εἰρημένοις καὶ χρόνον, πενταετηρικὸν αὐτὸν εἶναι τάξας. c. πάντων οὖν, φησι, γενομένων τῶν μεγάλων ἄθλων, λοιπὸν τὴν ἁγνὴν καὶ ἀδωροδόκητον κρίσιν ἔθηκε, τὸν ἀγῶνα, ὥστε διὰ τοσούτου τελεῖσθαι καὶ ἐν τόπῳ τῇ Ἤλιδι· ἐκεῖ γὰρ ὁ Ἀλφεὸς ποταμός. 33 C CDEHQ

39 a. (*κρημνοῖς*:) ταῖς ὄχθαις. B[gl]

39 b. κρημνοὺς Ἀλφεοῦ τὰς ὄχθας λέγει τοῦ ποταμοῦ. 38 C C

40. *ἀλλ' οὐ καλά*: τὸ ἀλλά ἀντὶ τοῦ δέ. ἐκ δὲ τοῦ παρεπομένου τὴν δόσιν τοῦ στεφάνου δηλοῖ, ὅτι μήπω ἦν. DEHQ

41 a. *ἐν βάσσαις Κρονίου Πέλοπος*: τότε. κατὰ τοῦ Κρονίου Πέλοπος βήσσας. b. Ἀρίσταρχος· χῶρος ὁ ἐν Κρονίου βήσσαις Πέλοπος. λόφος δέ ἐστιν ἐν Ὀλυμπίᾳ ὁ καλούμενος Κρόνιος. c. τινὲς δὲ Κρονίου Πέλοπος, ὅτι Πλουτὼ θυγάτηρ Κρόνου ἐγένετο, ᾗ συγκοιμηθεὶς ὁ Τάνταλος ἔσχε Πέλοπα. A

41 d. *Κρονίου Πέλοπος*: ἤτοι ὅτι ἀπὸ Κρόνου εἶχε τὸ γένος ὁ Πέλοψ· Πλουτὼ γὰρ θυγάτηρ Κρόνου, ἧς Τάνταλος ὁ πατὴρ Πέλοπος. e. ἵνα οὖν εἴπῃ ὅτι οὔπω ἦν τὸ τοῦ κοτίνου φυτὸν ἐν ταῖς βήσσαις καὶ τοῖς τύποις τοῦ Πέλοπος τοῦ Κρονίου· τῆς Πελοποννήσου γὰρ ἦν ἡ Ἦλις. BCDEQ

---

1 ἄλλον 3 l.] om. C[1] ἁγνὰν κρίσιν Beck recte 4 σύγκρισιν τῶν ἄλλων C 12. 13 τὸν ἀγῶνα ὥστε V: ὥστε τὸν ἀγῶνα hb 14 Ἀλφεὸς DHQ: Ἀλφε(ι)ός ἐστι CE 18 l. om. E 20 βάσαις (et infra βήσας, βήσαις) A ‖ τότε om. b; idem h. schol. recte dist. 22 Ὀλυμπίῳ: b 24 Κρονίου: b ‖ ὁ ⟨Ζεὺς ἐγέννησε Τάνταλον, ὁ δὲ⟩ Τάνταλος Horn 28 οὖν del. b 29 βήσαις E ‖ καὶ] καὶ ἐν E 30 Πελοπονήσου BC

f. ἢ ἁπλούστερον οὕτως· ὅτι ὁ χῶρος τοῦ Πέλοπος ὁ ἐν ταῖς βήσσαις τοῦ Κρονίου οὐδέπω εἶχε τὸ φυτόν. Κρόνιον δὲ ὄρος πλησίον ⟨Ὀλυμπίας⟩. 43 C

A 42 a. τούτων ἔδοξεν: ὁ χῶρος γυμνὸς ὢν ἔδοξεν ὑπακούειν ταῖς τοῦ ἡλίου αὐγαῖς, τουτέστι καταλάμπεσθαι ὑπὸ τοῦ ἡλίου. γυμνὸς δὲ ἀντὶ τοῦ ψιλός. τὸ δὲ ὑπακούειν μεταληπτικῶς εἶπεν ἀντὶ τοῦ αἰσθάνεσθαι. b. διὰ τὴν καῦσιν τοῦ ἡλίου.

BCDEQ 42 c. τούτων ἔδοξε: τούτων τῶν φυτῶν γυμνὸς ὢν ὁ κῆπος καὶ ὅλος ὁ τόπος [ἔδοξε καὶ] ἐδόκει ὑπακούειν ταῖς ὀξείαις αὐγαῖς τοῦ ἡλίου, ἀντὶ τοῦ εἶναι κατάθερμος καὶ πυρώδης καὶ ἀσκίαστος. 46 C

BCDEQ 43. γυμνὸς αὐτῷ κᾶπος: κᾶπος κυρίως ὁ περιπνεόμενος [ἀνέμοις] τόπος· ὅθεν κάπας τὰς φάτνας [καλεῖσθαι], διὰ τὸ περιπνέεσθαι ὑπὸ τῶν ἵππων τῷ πνεύματι ἀνασπώντων τὴν τροφήν. 46 E 42 C

A 45 a. δὴ τότ' ἐς γαῖαν: εἰς τὴν Σκυθίαν. b. ὁ θυμὸς αὐτὸν παρώρμησεν. c. Ἀρίσταρχος· εἰς τὴν γῆν ἐλθεῖν, ὅπου αὐτὸν ἡ Ἰστρία Ἄρτεμις ὑπεδέξατο. δηλοῖ δὲ πάλιν τὴν εἰς Ὑπερβορέους ἐπὶ τὰς τοῦ Ἴστρου πηγὰς ἄφιξιν· ἐκεῖ γὰρ οὕτως τιμᾶται ἡ Ἄρτεμις ὅτι μάλιστα ἐκεῖ ἀπὸ Ταύρων τοῦ Σκυθικοῦ ἔθνους. d. ἔνιοι δὲ καὶ β' νν γράφουσι καὶ τὸν λόγον ἀπευθύνουσιν οὕτως· τότε δὴ ὁ θυμὸς παρώρμησε τὸν Ἡρακλέα ἐπὶ τὴν Ἰστρίαν γῆν πορεύεσθαι.

---

13 EM 489, 40. 511, 6. Zon. 1203. Or. 79, 19. Eust. Il. 595, 23. Od. 1546, 40  14 Hes. κάπας

---

2 βήσαις E || οὐδέποτε V  3 supplevi  9 l. om. C || ὢν] ἦν E  10 ἔδοξε καὶ om. CDEQ; seclusi  12 σκίαστος E  13 l. om. CD || alterum κᾶπος om. EQ || ὁ — 14 κάπας om. D  13. 14 καταπνεόμενος EM s. v. κῆπος  14 ἀνέμοις B: om. CDEQ; seclusi || τὰς φάτνας D (om. καλεῖσθαι, quod seclusi): καλεῖσθαι τ. φ. CEQ τ. φ. καλ. B  15 καταπνέ(εσθαι) EM et Eust. || τῷ πν. τῶν ἵ. E || τῷ — 16 τροφήν om. D || τῷ $BC^{ac}E$: τῶν $C^{pc}Q$  18 αὐτῶν $A^{ac}$  20 Ὑπερβορέου: b  21 sq. corrupta  21 οὕτως om. b || ἐκεῖ (alt.) om. b || ὑπὸ b; sed cfr. V $46^{b}$

45 e. *θυμὸς ὤρμαινεν*: διὰ τοῦτο προεθυμήθη παραγενέσθαι εἰς τὴν γῆν τοῦ Ἴστρου ποταμοῦ, εἰς τὴν Σκυθίαν· ἐν ᾗ Σκυθίᾳ ἡ Ἄρτεμις αὐτὸν ὑπεδέξατο ἐλθόντα, ἡνίκα αὐτὸν τοῖς προστάγμασι καὶ ταῖς ἀγγελίαις τοῦ Εὐρυσθέως ὑπουργεῖν ἡ πατρὸς ἀνάγκη παρεσκεύαζεν ἐπὶ τῷ τὴν ἔλαφον ἀγαγεῖν, ἥν ποτε ἡ Ταϋγέτη ἀνέθηκε τῇ Ὀρθωσίᾳ Ἀρτέμιδι. 50 CE BCDEQ

46 a. *Ἰστρίαν νιν*: ἐὰν διὰ τῶν δύο νν Ἰστρίαν νιν, τὴν Σκυθίαν ἀκουστέον. b. ἔνθα ἡ Ἰστρία Ἄρτεμις αὐτὸν, τὸν Ἡρακλέα, ὑπεδέξατο. Ἰστρία δὲ ἡ Ἄρτεμις ἤτοι ἀπὸ τοῦ Ἴστρου, ὃν περιοικοῦσιν αἱ Ἀμαζόνες, αἳ τιμῶσι μάλιστα τὴν θεὸν, ἢ ἀπὸ Ταύρων ἔθνους Σκυθικοῦ περιοικοῦντος τὸν Ἴστρον, παρ' οἷς ὁμοίως τιμᾶται ἡ Ἄρτεμις. c. τοὺς δὲ ἀναγινώσκειν Ἰστριανὴν, ἵν' ᾖ τὴν Ἰστριανὴν γῆν. 45 CE BCDEQ

46 d. (*Ἰστρίαν νιν*:) γράφεται καὶ Ἰστριανήν. B[gl]

50 a. *εὖτέ μιν ἀγγελίαις*: ἡνίκα αὐτὸν ἡ πατρόθεν ἀνάγκη, τουτέστι τοῦ Διὸς, κατὰ τὰς Εὐρυσθέως ἀγγελίας παρεσκεύασεν ἀγαγεῖν τὴν ἔλαφον. b. θήλειαν δὲ εἶπε καὶ χρυσοκέρων ἀπὸ ἱστορίας· ὁ γὰρ ⟨τὴν⟩ Θησηίδα γράψας (p. 217 K) τοιαύτην αὐτήν ..... καὶ Πείσανδρος ὁ Καμιρεὺς (fr. 3) καὶ Φερεκύδης (FHG I, 78). καὶ τὸ παρὰ Ἀνακρέοντι· κεροέσσης λειφθεὶς ἀπὸ μητρὸς [ληφθεὶς] ἐπτοήθη ..... ὅτι αἱ θήλειαι κέρατα οὐ φύουσιν. ἐκαλεῖτο δὲ ἡ ἔλαφος Κερυνία. A

50 c. *εὖτέ μιν ἀγγελίαις*: δι' ἀγγέλου γὰρ καὶ κήρυκος ἐκέλευεν ὁ Εὐρυσθεὺς, τοῦ Κοπρῆος. Ὅμηρος (O 639)· CDEHQ

---

1 ὤρμαινεν B(C): ὤρμαινεν Ἰστρίαν νιν D ὤρμαιν' Ἰστρίαν νιν EQ ‖ τοῦτο B: τοῦτο τοίνυν DEQ τοῦτό φησιν C 1. 2 παραγεν. προεθυμήθη B ‖ καταγενέσθαι DQ 2 τοῦ om. E ‖ Ἴστρου b: ἱεροῦ 4 πράγμασι CE 4. 5 Εὐρυσθέος BC 6 Ταϋγέτα B 9 ἔνθα CDEQ: ἐὰν δὲ διὰ τοῦ ἑνὸς B 11 ὃν περιοικοῦσιν b (οἰκοῦσιν iam Beck): ὅνπερ τιμῶσιν 14 οἱ δὲ ἀναγινώσκουσιν Brub. 20 ἱστορίας Schubart ephem. litt. Hal. 1840 I p. 526 (ipse non vidi), Lehrs p. 9: Ἰστρίας ‖ τὴν addidi 21 αὐτὴν ⟨λέγει⟩ b ‖ Πείσανδρος b: Πίνδαρος 23 λειφθεὶς] ληφθεὶς A[pc] 23. 24 ἐποιήθη: V ‖ lac. indicavi 25 Κερύνεια Lehrs l. l. 26 ἀγγελίαις om. DHQ

ὃς Εὐρυσθῆος ἀέθλων
ἀγγελίης οἴχνεσκε βίῃ Ἡρακληείῃ.

B[gl] 51 a. (ἔντυ᾽:) κατεσκεύαζεν.

CDEHQ 51 b. ἀνάγκα πατρόθεν: παρὰ τὰ ἐν τῷ τ´ τῆς Ἰλιάδος (v. 103). ὁ Ζεὺς πρὸς τὴν Ἥραν·

σήμερον ἄνδρα φόωσδε μογοστόκος Εἰλείθυια,

DEHQ καὶ τὰ ἑξῆς. | διὰ τοῦτό φησι πατρόθεν ἀνάγκα.

BCDEQ 52 a. χρυσοκέρων ἔλαφον: ὅτι ἐπιμελῶς οἱ ποιηταὶ τὴν θήλειαν ἔλαφον κέρατα ἔχουσαν εἰσάγουσι, καθάπερ καὶ τὴν θηλάζουσαν τὸν Τήλεφον γράφουσι καὶ πλάττουσι.
BCEQ τέτακται δὲ καὶ παρὰ Ἀνακρέοντι (fr. 51)· ἀγανῶς | οἷά τε νεβρὸν νεοθηλέα γαλαθηνὸν, ὅστ᾽ ἐν ὕλαις κεροέσσης ὑπολειφθεὶς ὑπὸ μητρὸς ἐπτοήθη. Ζηνόδοτος δὲ μετεποίησεν ἐροέσσης διὰ τὸ ἱστορεῖσθαι τὰς θηλείας κέρατα μὴ ἔχειν, ἀλλὰ τοὺς ἄρρενας. οἱ μέντοι ποιηταὶ πάντες κέρατα ἐχούσας ποιοῦσιν. ὅτι δὲ συνέβαινε καὶ εἰκός ἐστιν ἐνίας ἔχειν, ἐκεῖθεν δῆλον, ὅτι τῶν ἐλεφάντων οἱ μὲν ἐξ Αἰθιοπίας καὶ Λιβύης πάντες σὺν ταῖς θηλείαις ὀδόντας ἔχουσιν, ἢ κέρατα, ὥς τινες· καθὰ καὶ Ἀμυντιανὸς (Script. rer. Alex. M. p. 162 M.) ἐν τῷ περὶ ἐλεφάντων φησί· τῶν δὲ Ἰνδικῶν αἱ θήλειαι χωρὶς ὀδόντων εἰσίν. 53[e] CDQ 54 E

ACDEQ 53 a. ἄν ποτε: ἦν ποτε. b. ἡ Τηϋγέτη ἡ θυγάτηρ τοῦ Ἄτλαντος. c. ταύτην Διὸς βουλομένου βιάσασθαι εἰς

---

8 Ael. h. an. 7, 39 17 Tzetzes sch. Chil. IV 92 (p. 109 Pr.)

---

2 ἴχνεσκε CEr ‖ Ἡρακληείῃ] om. HQr lac. D 4 τῷ BCD: τῇ E[ras] Q 8 l.] ἀντὶ τοῦ C χρυσοκέρων DQ ‖ πλημελῶς C[s] 11 ἀγανῶς E? hb: ἄγαν ὡς BCQ ἄ[γειν lac.] D[D] 12 νεκρὸν C ‖ νεογηλέα C θεοθηλέα Q[ac] ‖ ὥστ᾽ ἐν ὅλαις Q[i] ‖ ὕλῃ Athen. IX 396[d] Ael. l. l. ‖ κεροέσσῃ C κεροέσσαις Q[i] κοροέσσης Q[s] 12. 13 ὑποληφθεὶς CE 13 ὑπόμηρος BE ‖ ἀπολειφθεὶς ἀπὸ μ. Athen. l. l. 14 ἐροέσσης om. Bv 15 ἀλλὰ τοὺς ἄρρενας C(E)GQ: ἐροέσσης εἰπών Bv ‖ μέντοι BQv: μέντοιγε CEb 18 ἢ κέρατα om. BCv 19 τινες] τινές φασι Bv 20 περὶ τῶν ἐλ. Q 21 εἰσίν om. CEQ 22 l. sic A: ἄλλως CEQ om. D ‖ ἦν ποτε om. V ‖ ἡ Τυηγέτη A (ἡ) Ταυγέτη C[D]E(Q) ‖ ἡ (alt.) om. C 22. 23 θυγάτηρ τοῦ Ἄτλαντος AC: τοῦ Ἄ. θυγ. DEQ 23 ταύτην A: ἢ C ἥντινα EQ ἡνίκα D ‖ βουληθέντος V

*ἔλαφον ἐποίησεν ἡ Ἄρτεμις. εἶτα πάλιν ἄνθρωπος γενομένη τὴν ἔλαφον τῇ Ἀρτέμιδι καθιέρωσε | καὶ ἀνέθηκε χρυσοκέρων* A *οὖσαν ὡς παράδοξον ὑπὲρ τῆς εὐεργεσίας διότι χρυσᾶ ποιήσασα κέρατα διέβαλεν ἐν αὐτῇ· οἱ δὲ ὅτι αὐτοφυῆ ἦν τὰ τῆς ἐλάφου κέρατα χρυσᾶ, καὶ διὰ τοῦτο ὡς ἀξίαν θαύματος ἀνέθηκεν.* 54 CDQ 61 E

53 d. *Ταϋγέτα: ἡ Τηϋγέτη τῆς Ἀρτέμιδός ἐστι φίλη.* A *ταύτης ἠράσθη Ζεὺς καὶ αὐτὴν Ἄρτεμις διωκομένην εἰς ἔλαφον μεταβάλλει· ὅθεν καὶ εἰς ὑπόμνημα τοῦ πραχθέντος τὴν ἔλαφον χρυσώσασα ἀνέθηκε γαμηθεῖσα Διί.* 55 A

53 e. *Ταϋγέτα: ὄνομα κύριον, Ἄτλαντος θυγάτηρ.* BCDEQ *αὕτη ἀφιέρωσε τῇ Ἀρτέμιδι τὴν ἔλαφον. λέγεται γὰρ ὅτι ἡνίκα Ἡρακλῆς παρέσχεν αὐτὴν Εὐρυσθεῖ, τότε εὑρέθη ἐπὶ τοῦ τραχήλου αὐτῆς γεγραμμένον· Ταϋγέτη ἱερὰν ἀνέθηκεν Ἀρτέμιδι.* 53ᵃ CDEQ

54 a. *Ὀρθωσίᾳ: τῇ Ἀρτέμιδι. περὶ τῆς Ὀρθωσίας* A *Ἀρτέμιδος Ἀπολλόδωρος γράφει. Ὀρθωσία δὲ ὅτι ὀρθοῖ εἰς σωτηρίαν· ἢ ὀρθοῖ τοὺς γεννωμένους. καὶ ἐν Ἀθήναις ἵδρυται· τὸ ἱερὸν δέ ἐστιν ἐν Κεραμεικῷ. καὶ παρ' Ἠλείοις Ὀρθωσίας Ἀρτέμιδος ἱερόν, ὥς φησι Δίδυμος.* 56

54 b. *ἀντιθεῖσ' Ὀρθωσίᾳ: Ὀρθωσία ἡ Ἄρτεμις παρὰ* BCDEQ *Ὀρθωσιεῦσιν [ὅπερ ἐστὶν ὄρος Ἀρκαδικόν]. ἔστι δὲ καὶ*

---

21 Tzetzes ad Lyc. 1331 (id. ibid. 936) 22 Hes. *Ὀρθία Ἄρτεμις*

---

1 *ἐποίησεν* A: *μετέβαλεν* V ‖ *εἶτα* V: *αὐτὴ* A ‖ *πάλιν* A: *πάλιν εἰς τὴν οἰκείαν φύσιν ἀποκαταστᾶσα καὶ* V ‖ *ἄνθρωπος γενομένη* AC: *γενομένη ἄνθρωπος* DEQ 2 *τὴν — καθιέρωσε* A: *καθιέρωσεν αὐτὴν τῇ Ἀρτέμιδι* V 3 sq. corrupta; ft. post *παράδοξον* lac. statuenda 4 *διέβαλεν ἐν αὐτῇ] ἱερὰν ἀνῆκεν ἡ Ταϋγέτη* Lehrs p. 9 (male). Ft. *διέδησεν ἐν αὐτῇ* scrib.
7 l. *Ταυγέτας* A 10 *γαμηθεῖσα Διί] τῇ Ἀρτέμιδι* Lehrs p. 9 11 l.] *ἄν ποτε Τ.* B ‖ *Ταυγέτη* BCE *Ταυγενέτη* [D]Q ‖ *ὄνομα* — 12 *ἔλαφον] αὕτη Ἄτλαντος θυγάτηρ. ἀφιέρωσε δὲ τὴν ἔλ. τῇ Ἀρτ.* Bv 12 *ἀφιέρωσε* BC: *ἀνιέρωσε* DEQ ‖ *τὸν ἔλ.* E ‖ *γὰρ* om. DQ 13 *ὁ Ἡρ.* DQ 14 *αὐτοῦ* E ‖ *ἀνέθηκα* D 15 *Ἀρτέμιδι* om. Bv 21 — p. 122, 3 cfr. Tricl. 163, 7 21 l. om. C ‖ *Ὀρθωσία* om. EQ *Ὀρθωσία* — 22 *ἐστὶν* om. D 22 *Ὀρθωσιεῦσιν* ego: *Ὀρθωθεῦσιν* B *Ὀρθωσεῦσιν* G *τὸ Ὀρθώσιον* CE² (*τὸ* add. E², *ώσιον* in ras. id.) Q Tricl. v (*ἀπὸ Ὀρθωσίου* Tzetzes)

Ἀρκαδίας ὄρος Ὄρθιον, ἀφ' οὗ καὶ ἡ θεὸς Ὀρθία καὶ Ὀρθωσία καλεῖται. c. ἤτοι τῇ ὀρθούσῃ τὰς γυναῖκας καὶ εἰς σωτηρίαν ἐκ τῶν τοκετῶν ἀγούσῃ.

B[gl] 54 d. (Ὀρθωσίᾳ:) τῇ Ἀρτέμιδι.

A 55 a. τὰν μεθέπων: ἥντινα διώκων εἰς Ὑπερβορέους ἦλθεν. 54

BCDEQ 55 b. τὰν μεθέπων: ταύτην ἐπιδιώκων τὴν ἔλαφον ἐθεάσατο καὶ τοὺς Ὑπερβορέους καὶ ψυχροτάτους τόπους καὶ τὴν Σκυθίαν· ἔνθα στὰς ἐξεπλάγη τὰ δένδρα τῆς ἐλαίας, καὶ αὐτὸν ἐπιθυμία ἔλαβε φυτεῦσαι ἀπ' αὐτῶν περὶ τοὺς τοῦ σταδίου τόπους τοῦ ἱππικοῦ. 53[e] E

DQ 56 a. πνοιαῖς ὄπισθεν: τὸ πνοιαῖς ἀντὶ τοῦ πνοιῶν. b. Βορέα δὲ ἀντὶ τοῦ Βορέου Δωρικῶς· οἱ γὰρ Δωριεῖς τὴν $\overline{\text{ου}}$ δίφθογγον εἰς $\bar{\alpha}$ μεταβάλλουσιν.

A 56 c. Βορέαο: ὑπερβόρεος γὰρ ἡ χώρα διὰ τὸ ὄπισθεν †ἕρπον τῶν τοῦ Βορέου πνοῶν ἐν τοῖς Ῥιπαίοις ὄρεσιν.

A 58. τῶν μιν γλυκύς: τούτων αὐτὸν τῶν δένδρων ἐπιθυμία ἔσχεν ὥστε μετενεγκεῖν εἰς τὴν Ὀλυμπίαν.

DQ 59. δωδεκάγναμπτον: δώδεκα γὰρ ἐν Ὀλυμπίᾳ τρέχει τὸ τέλειον ἅρμα, τὸ δὲ πωλικὸν ὀκτώ.

A 60. ἵππων φυτεῦσαι: τὸ Πάνθειον, ἐν ᾧ πεφύτευται ἡ ἐλαία· ἣν δρέπει ἀμφιθαλὴς παῖς χρυσῷ δρεπάνῳ κλάδους ιζ' τέμνων, ὅσα καὶ τὰ ἀγωνίσματα.

A 61 a. καὶ νῦν εἰς ταύταν: νῦν τὴν εὐωχίαν ἑορτὴν εἶπε· λέγει γὰρ τὴν τῶν νικηφορίων τοῦ Θήρωνος εὐωχίαν, φάμενος εἰς ταύτην ἔρχεσθαι τὸν Ἡρακλέα μετὰ τῶν Διοσκούρων. b. εἰς τὰ θεοξένια.

BCDEQ 61 c. καὶ νῦν ἐς ταύταν ἑορτάν: τὴν τοῦ νικηφόρου

---

21—22 Aristot. mirab. 51. sch. Ar. Plut. 586 (= Suid. κοτίνου στεφάνῳ)

---

(ad p. 121) 22 ὅπερ — Ἀρκ. delevi (hab. Tzetzes Tricl.) ‖ Ἀρκαδικόν DEQ Tricl.: Ἀρκαδίας BCv (utrumque codd. Tzetzae) ‖ δὲ καὶ [D]EQ Tricl. καὶ C: γὰρ Bv — (ad p. 122) 1 ὄρος Ἀρκ. Bv ‖ Ὀρθία] Ὀρθὶς Tricl. 5 Ὑπερβορέων A[ac] Ὑπερβορέας A[pc]: b 8 καὶ (ante ψυχρ.) om. v 10 αὐτὸς ἐπεθύμει ἐλαίαν φυτ. D ‖ τοὺς om. B 16 Ῥιπέοις: b 17 αὐτὸν ego: αὐτῶν 19—20 cfr. Tricl. 164,16 19 ιβ' δρόμους Tricl. 21 Πάνθιον: b 22 δρεπάναις: b

*πανήγυριν καὶ εὐωχίαν· εἰώθεισαν γὰρ εὐωχεῖσθαι. τὴν εὐωχίαν γὰρ ἑορτὰν εἶπε.* d. *φησὶ γὰρ ἔρχεσθαι εἰς τὴν Θήρωνος ἑστίαν τόν τε Ἡρακλέα καὶ τοὺς Διοσκούρους, ἐπεὶ ἐξένιζεν αὐτοὺς ὁ Θήρων.*

62 a. *ἀντιθέοισιν: ἀντὶ τοῦ .... οἱ Διόσκουροι θνητοὶ* **A** *ὄντες πρότερον ἀθανασίας ἔτυχον παρὰ τοῦ Διός.*

62 b. *νίσεται: ἔρχεται Ἡρακλῆς σὺν τοῖς Διοσκούροις·* **A** *τούτοις γὰρ ἀποθεούμενος ἐπέτρεψε διοικεῖν ⟨τὸν ἀγῶνα⟩.* c. *τὸ δὲ ἀντιθέοισιν πρὸς τοὺς Διοσκούρους, ὅτι καὶ θνητοὶ ὄντες ἀθάνατοι ἐγένοντο.*

62 d. *καὶ νῦν νίσεται: ἥξει καὶ ἐπὶ τῇ παρούσῃ* **BCEQ** *πανηγύρει τοῦ Θήρωνος ὁ Ἡρακλῆς ἅμα τοῖς ἰσοθέοις τῆς Λήδας παισὶ Διοσκούροις· τούτοις γὰρ ἐπέτρεψε διατιθέναι τὸν ἀγῶνα Ἡρακλῆς, αὐτὸς λοιπὸν εἰς θεοὺς ἀναχωρῶν.*

66 a. *ἀνδρῶν τ' ἀρετᾶς: καὶ τὰ περὶ τῆς τῶν ἀν-* **BCDEQ** *δρῶν ἀρετῆς διοικεῖν αὐτοῖς ἐπέτρεψε, τοῖς Τυνδαρίδαις.*

66 b. *καὶ ῥιμφαρμάτου: Ἀρίσταρχος παρὰ τὴν ῥίψιν,* **A** *φησὶ, γέγονε τὸ ῥίμφα· σημαίνει δὲ ἡ λέξις τὴν ταχεῖαν φοράν.*

66 c. *ῥιμφαρμάτου: τῆς ταχέα καὶ ὀξέα ἅρματα ἐχούσης.* **DQ**

67 a. *ἐμὲ δὲ ὦν: ἐμὲ δὲ οὖν πως ὑμνεῖν τοὺς Ἐμμε-* **A** *νίδας ἡ ψυχὴ παρακελεύεται λαχόντας νίκην παρὰ τῶν Διοσκούρων.* b. *φατρία [οὖν] οὕτω καλουμένη, ἐξ ἧς ἦν Θήρων καὶ ἀδελφὸς αὐτοῦ Ἱέρων.* c. *οἵτινες τούτους τοὺς θεοὺς ξενίζουσι πολλάκις εὐωχίαν ποιοῦντες. καὶ ἐκάλουν αὐτὴν θεοξένια.* d. *τὴν ἑορτὴν ἔνθεν τοὺς Διοσκούρους ξενίζειν ἐδόκουν.*

---

1 *εἰώθασι* **Bv** 2 *ἑορτὴν* **CDQ** ‖ *εἶπε* **CDQ**: *εἴπομεν* **B** *εἶπον* **E** ‖ *τὴν τοῦ Θήρ.* **DQv** 3 *Ἡρακλῆν* **BDQv** 4 *ἐξένισεν* **CE** 5 *ἀντὶ τοῦ ⟨ἀποθεωθεῖσιν· ὅτι⟩* Schroeder 8 supplevi cl. p. 115, 5. 22. 116, 4 9 *ἀντιθέοισιν* ego: *νίσεται* **A** 11 l.] *ὁ νοῦς* **C** ‖ *νίσσεται* **Q** ‖ *ἥξει καὶ* **E**: *ἥξει ἂν καὶ* (**C**)**Q** *καὶ ἥξει* **B** *καὶ νῦν ἥξει* **v** 12 *ὁ* **CEQ**: *καὶ* **B** 13 *ἐπέστρεψε* **B** 16 *ἐπέστρεψε* **B** 17 *Ἀρίσταρχος* ab iis q. s. seiunxit Lehrs 18 *γεγονέναι* **b** ‖ *ῥίμφα* Bergk (cl. Et. M. 704, 18): *ῥιμφαρμάτου* **A** *ῥιψαρμάτου* Lehrs p. 9 21 *ὦν*] *ὢν* **A** ‖ *πῶς* 21. 22 *Εὐμενίδας* 23 *οὖν* seclusi cl. p. 124, 16. 18; *ἦν* **b** 26 *ἔνθα*? sed cfr. p. 87, 22

BCDEQ 67 e. *ἐμὲ δ' ὦν πα:* ἀμφότεροι οἱ σύνδεσμοι παραπληρωματικοί, καὶ ἐν τῷ, Θήρωνί τ' ἐλθεῖν, ὁ τέ.

A 68 a. *Ἐμμενίδαις:* Ἐμμενίδαι λέγονται οἱ περὶ Θήρωνα, ὡς μὲν οἱ προϋπομνηματισάμενοι, ἀπὸ Ἐμμένους τινὸς τοῦ τὴν Φαλάριδος τυραννίδα καθελόντος. ἦν δὲ ὁ Ἐμμένης Τηλεμάχου παῖς, οὗ γίνεται Αἰνησίδαμος, οὗ Θήρων, οὗ Θρασυδαῖος καὶ Φιλοκράτης.

BCDEQ 68 b. *Ἐμμενίδαις:* Ἐμμενίδαι φατρία Θήρωνος ἐν Σικελίᾳ. c. λέγει δὲ τοῖς Ἀκραγαντίνοις. d. Τηλεμάχου καταλύσαντος τὸν τῶν Ἀκραγαντίνων τύραννον Φάλαριν παῖς γίνεται Ἐμμενίδης, οὗ Αἰνησίδαμος, οὗ Θήρων καὶ Ξενοκράτης· Θήρωνος δὲ Θρασυδαῖος, Ξενοκράτους δὲ Θρασύβουλος.

$B^{gl}$ 71. *(πλείσταισι:)* πεπληρωμέναις.

BCDEQ 72 a. *ξενίαις ἐποίχονται:* ὅτι ἡ γινομένη θυσία τοῖς Διοσκούροις ξενισμὸς λέγεται. b. ταῖς γινομέναις [οὖν] θυσίαις τοῖς Διοσκούροις ὑπ' αὐτῶν ὡς εὐσεβῶν ὄντων. c. ἀγαθῇ [οὖν] γνώμῃ καὶ συνειδήσει οἱ Ἐμμενίδαι τὰς θυσίας ἀεὶ πληροῦσιν.

$AB^{gl}$ 72 d. *ἐποίχονται:* ἀντὶ τοῦ περιέπουσι, τιμῶσιν. e. οἱ Ἐμμενίδαι.

A 74 a. *τελετάς:* ἢ τῶν Διοσκούρων ἢ πάντων τῶν θεῶν. b. τελετὰς δὲ νῦν τὰς ἑορτάς· οὐ γὰρ τὰ ὄργια.

A 75 a. *εἰ δ' ἀριστεύει μέν:* εἰ ταῦτά, φησι, ἀνεπίληπτα καὶ φανερά, ὅτι τὸ μὲν ὕδωρ ἄριστόν ἐστι, τῶν δὲ ἄλλων κτεάνων ὁ χρυσός, καὶ τὸ περὶ τοῦ Θήρωνος λεγόμενον σαφές ἐστιν, ὅτι τοῦ Ὀλυμπικοῦ τετυχηκὼς στεφάνου νῦν

---

1 *πᾶ* **DQ**: *παῖ* **BE** om. **C** ‖ *οἱ σύνδεσμοι* **CDEQ**: *σύνδεσμοι οἱ* **B** 1. 2 *παραπληρωματικοὶ* **CDEQ**: *πληρωματικὸς* $B^1$ *πληρωματικοὶ* $B^2$ 3 *Εὐμενίδαις* etc. **A** 4 *προμνηματισάμενοι*: Gerhard ‖ *Εὐμενοῦς* etc. **A** 7 *Θρασύδιος*: **b** 8—11 cfr. Thom. 166, 5 8 l. om. **BC** ‖ *Ἐμμενίδα* **BQr** *Ἐμμενίαι* **E** 9 *λέγοις* **E** 10 ft. ⟨*τοῦ*⟩ *καταλύσαντος* ‖ *Φάλαρον* **B** 12 *δρασυδαῖος* **E** 15 l. **BC** et (add. *εὐσεβεῖ γνώμᾳ*) **E**: *ὅτι πλείσταισι βροτῶν* **DQ** ‖ *ὅτι* om. **B** ‖ *γενομένη* **BD** 16 *οὖν* om. **Bv**; seclusi 17 *τῶν Διοσκού(ό)ρων* **DEQ** 18 *οὖν* om. **C**; seclusi 21 *Εὐμενίδαι* **B** *Εὐμενίδες* **A** 22 *τελετάς*] scr. *μακάρων* 23 *δὲ* add $A^s$ ‖ *οὐ* **b**: *οὗ* 27 *Ὀλυμπιακοῦ* **b**

ἐξ οἴκου ἅπτεται πρὸς αὐτὴν ἤδη τὴν ἐσχατιὰν μέχρι τῶν
τοῦ Ἡρακλέος στηλῶν. ἀλληγορικῶς δὲ βούλεται εἰπεῖν ὅτι
ἐπ᾽ ἄκρον τῆς ἀρετῆς ἐλήλυθεν.

75 b. εἰ δ᾽ ἀριστεύει μὲν ὕδωρ: εἰ δὲ τὸ ὕδωρ μὲν **BCDEQ**
τῶν λοιπῶν στοιχείων προτετίμηται καὶ τοῦ πλούτου ὁ χρυ-
σὸς καὶ τῶν ἀγώνων ὁ Ὀλυμπιακός, δῆλόν ἐστιν ὅτι πρὸς
τὸ τέλειον τῆς ἀρετῆς ὁ Θήρων παρεγένετο νικήσας καὶ
αὐταῖς τρόπον τινὰ ταῖς τοῦ Ἡρακλέος στήλαις προσεπέλασεν.

c. ἄλλως· καθολικῶς πάντων εἰπών. ὥσπερ οὖν, φησι, **BCEQ**
τὸ ὕδωρ ἀριστεύει τῶν πάντων, οὕτω καὶ Θήρων ἀριστεύει
τῶν ἀνθρώπων. d. ἄλλως· εἰ δὲ τὸ ὕδωρ τῶν ἄλλων **CDEQ**
στοιχείων διαφέρει καὶ ὁ χρυσὸς τοῦ πλούτου, νῦν γε ὁ
Θήρων πρὸς τὸ ἔσχατον καὶ ἄκρον τῆς νίκης ἱκάνων ἅπτε-
ται ταῖς οἴκοθεν ἀρεταῖς τῶν Ἡρακλέους στηλῶν. 77 **E**

e. καὶ τὸ πόρσω ἐστὶ βροτοῖς σοφοῖς ἄβατον καὶ ἀσόφοις. **DEQ**
οὐδαμῶς οὖν αὐτὸ, τὸ πόρσω, διώξω καὶ τούτου μεῖζον
ζητήσω, τοῦ Ὀλυμπιακοῦ ἀγῶνος. 81 **E**

77 a. νῦν δέ: ἀντὶ τοῦ νῦν ἤδη. παρατηρητέον δὲ **A**
ὅτι οὐδὲν ἀτύχημα γέγονε περὶ τὸν οἶκον Θήρωνος.

77 b. πρὸς ἐσχατιάν: μέχρι τοῦ ἐφικτοῦ καὶ τοῦ ἐσχά- **A**
του τέλους τῆς ἀνθρωπίνης ἀρετῆς ἐρχόμενος. 81

77 c. πρὸς ἐσχατιὰν ἀρεταῖσιν: εἰς ἄκρον ἥκει ἀρε- **BE**
τῆς τοῦ Ὀλυμπιακοῦ ἀγῶνος στεφάνου τετυχηκώς. $79^d$ **B**

78. ἀρεταῖσιν ἱκάνων: ἀντὶ τοῦ οὐκ ἔστι τούτων **A**
ἀρετὴ περαιτέρω, οὐδὲ τῶν στηλῶν <τῶν> Ἡρακλείων γῆ
περαιτέρω. τοῦτο δὲ φανερόν ἐστι καὶ σοφοῖς καὶ οὐ σο-
φοῖς· ὁ μὲν γὰρ σοφὸς εἰδὼς οὐκ ἐθελήσει περᾶν, ὁ δὲ

---

2 Ἡρακλέους **b** 7 τέλος **Bv** ‖ ὁ om. **CQ** 8 τοῦ Ἡρακλέος **CDEQ**: Ἡρακλείαις **Bv** 9 πάντα **v**(**B**?) ‖ πάντων εἰπών om. **C** ‖ εἰπεῖν **h**; εἰπών corrupt. vid. 10 τῶν om. **CQ** 12 γε **CE**: τε **DQ** 13 καὶ **CDQ**: καὶ τὸ **E** 14 Ἡρακλέος **DQ** ‖ στηλῶν] de **C** cfr. ad p. 126, 6 15 πρόσω **E** ‖ σοφοῖς βροτοῖς **E** 16 αὐτὸ $E^1$**Q**: αὐτὸς $E^2$ αὐτῷ **D** ‖ πρόσω **E** 16. 17 μεῖζον ζητ. τούτου **E** τούτου om. **Qv** 21 ἀνθρωπίνης scripsi: ᾠδῆς **A** om. **b** 23 στεφάν(ου) **B**: στέφανον **Ev** 25 τῶν addidi 25. 26 γῆ περαιτέρω scripsi: in **A** cp. dub., quod περαιτέρω solvit Schroeder; sed ab γη certe incipit

ἄφρων, κἂν τολμήσῃ, τῆς ἐλπίδος στερήσεται· ὥστε πᾶσιν ἀδύνατον εἶναι.

BDEQ 79 a. οἴκοθεν: διὰ τῶν οἰκείων ἀρετῶν. b. τὸ πόρσω: τὸ ἐπέκεινα τῆς στήλης. c. ἄλλως· τὸ δὲ περαιτέρω τῶν Ἡρακλέους στηλῶν χωρεῖν οὔτε σοφὸς οὔτε μὴ σοφὸς
BCDEQ | ζητήσειεν ἄν· ἀλλ' οὐδὲ αὐτὸς ἐγὼ τὸ τοιοῦτον διώξω· εἴην γὰρ ἂν κενός τις καὶ ἀπαίδευτος. 81 B

BCDEQ 79 d. [Ἡρακλέος στηλᾶν:] ὁ Ἡρακλῆς ἡνίκα ἐπὶ τὰς Γηρυόνου βοῦς εἰς τὴν Ἐρύθειαν λεγομένην νῆσον πρὸς τῷ Ὠκεανῷ παρεγένετο, πᾶσαν διεξελθὼν τὴν πλεομένην θάλασσαν, ἐβούλετο προσωτέρω χωρεῖν· εἶτα χάος εὑρὼν καὶ ζόφον ἔστησε στήλας, δι' ὧν ἐμήνυσε τὸ τέλος τῆς θαλάσσης, ὡς μηδὲν εἶναι περαιτέρω πλωτόν. πρὸς τοῦτο οὖν ἡ διάνοια ἀποδίδοται, ὅτι ὁ νικήσας Ὀλύμπια μηδὲν ζητείτω πλέον· ἔχει γὰρ τὸ τέλος τῆς εὐδαιμονίας, ὥσπερ τὸ τέλος τῆς θαλάσσης αἱ Ἡρακλέους στῆλαι. e. ἐν τόπῳ Γαδείροις. 79ª B 75ᵉ E

A 79 f. τὸ πόρσω: τὸ ἐπιπόρρω τούτων φησὶν ἄβατον εἶναι καὶ πᾶσιν ἀνέφικτον καὶ σοφοῖς καὶ ἀσόφοις. g. τὰ δὲ ὑπὲρ τὰ ἐκεῖ φράσαι καὶ τοῖς ποιηταῖς ἀδύνατα, ὡς εἶναι ἄγνωστα καὶ τοῖς σοφοῖς. O. IV

A 81 a. ἔνιοι δὲ ἀναγινώσκουσι κεινός, ὡς παρ' Ὁμήρῳ (Γ 376)· κεινὴ δὲ τρυφάλεια, ἵν' ᾖ κενή. κενὸς γὰρ ἂν εἴην, εἰ διώκοιμι πρόσω τῶν Ἡρακλείων στηλῶν, ὧν ὕπερ ἄγαν. 78

BCDEQ 81 b. γράφε κεῖνος εἴην, ὁ τῶν δυνατῶν ἐφιέμενος

---

3 οἴκοθεν B: οἴκοθεν Ἡρακλέος DQ οἴκοθεν Ἡρ. στηλᾶν E 3. 4 πρόσω BE 4 τῶν στηλῶν Bv ‖ ἄλλως om. Bv ‖ δὲ DEQ: γὰρ Bv 5 Ἡρακλέο(υ)ς DEQ: Ἡρακλείων Bv 6 ζητήσειεν] οὐδεὶς ζητήσειεν C, qui haec cum 75 continuavit ‖ τοιοῦτο B 7 εἴην D (ν add. rubr.) Q: εἴη C εἰ E ἢ B ‖ ἀπαίδ. εἴην B 8 l. sic B: ἄλλως· τὸ Ἡρακλέους (-ος DQ) στηλῶν ἅπτεται εἶπεν (εἰπεῖν E) (C)DEQ. Seclusi ‖ ὁ BE: ὁ γὰρ DQ ὅτι ὁ C 9 Γηρυόνου BQ: Γηρυόνους DE Γηρυονείους C ‖ Ἐρύθειαν mg. Brubachianae: Ἐρυθίαν CDEQ ἐρυθρὰν Bv 13 ὡς om. D ‖ τοῦτο om. E 15 γὰρ BCE: δὲ DQ 16 Ἡρακλέος DQ 16. 17 Γαδείροις B: Γαδείρων 19 πᾶσιν b: πάλιν 20 τὰ δὲ b: τὸ δὲ ‖ φθάσαι: ego 26 γρ(άφε) B: γρ(άφεται) καὶ C om. DEQ ‖ κεῖνος BCD: κεινὸς E κεῖνὸ Q

| καὶ μὴ ἀδυνάτων ἐρῶν. ἔνιοι δὲ ἀναγινώσκουσι κεινὸς εἴην, ἵν' ᾖ, ἐὰν διώξω τὰ ἀδύνατα, κεινὸς εἴην, οἷον ἄφρων, ὡς ἀδυνάτων ἐφιέμενος. BDEQ

81 c. ἄλλως· περὶ τοῦ κεινὸς εἴην ἐπιστήσας τις λογικὸς καὶ εὑρὼν ὅτι τὰ εὐκτικὰ τῶν ῥημάτων, ὅτε μὲν κυρίως εὐκτικά εἰσι καὶ εὐχὴν περιέχουσιν, ἄνευ συνδέσμου τινὸς προφέρονται, τοῦ ἄν δηλαδὴ ἢ τοῦ εἴ ἢ ἑτέρου ὑποτακτικοῦ μορίου, ὁπηνίκα δὲ ἀντὶ ὑποτακτικῶν λαμβάνονται, τὰ εἰρημένα μόρια συμπροφερόμενα ἔχουσι, τὸ κεινός ὥσπερ διορθούμενος κεῖνος ἔγραψεν, ἵν' οὕτως εὐκτικῶς τὸ εἴην ἀποδοθῇ καὶ ἀναχθῇ τὸ νόημα πρὸς τὸν Θήρωνα, εὐχομένου δηλαδὴ τοῦ ποιητοῦ τὸ γενέσθαι κατὰ Θήρωνα καὶ μὴ πλέον τι. καλῶς μὲν οὖν ὁ ἀνὴρ ἐπεστάτησεν ὡς ἐπήβολος ἄριστος τῆς γραμματικῆς τέχνης· τοῦτο δὲ μόνον ἠγνόησεν, ὅτι ἡ γραμματικὴ ἐπὶ μόνῃ τῇ κοινῇ διαλέκτῳ τὸ κράτος ἔχει καὶ δι' αὐτὴν συνεστάθη. πρὸς γὰρ τὰς ἄλλας, τὴν Δωρίδα φημὶ καὶ Αἰολίδα καὶ Ἀττικὴν καὶ Ἰάδα, λίαν ἔχει ἀσυντελῶς. διὰ τοῦτο ἐπὶ μὲν τῆς κοινῆς κανόνας ἀπαιτούμεθα, ἐπὶ δὲ τῶν ἄλλων μόνα ἰδιώματα, οἷον, τόδε ἰδίωμα Δωριέων καὶ τόδε Ἀττικῶν. ἰστέον οὖν ὅτι τὸ κεινὸς εἴην Δωρικῶς κείμενον παρὰ τῷ Πινδάρῳ ἐστὶν, ὃς τὰ πλείω Δωριστὶ γράφει. οἱ δὲ Δωριεῖς ὀλιγοφραδεῖς καὶ συλληπτικοί, ὡς δῆλον ἀπὸ τοῦ χρή καὶ χρῆν, ὧν τὸ μὲν χρή ἀπὸ τοῦ χρεών ἐστι, συντεθέν· διὸ καὶ τοῦ ἐστί τὸν τόνον ἔχει· τὸ δὲ χρῆν ἀπὸ τοῦ χρεὼν ἦν· διὸ καὶ περισπᾶται. εἴπῃς οὖν καὶ τὸ εἴην ἄν συλληπτικῶς καὶ Δωρικῶς, ὡς τῆς συλλαβῆς τῆς ην ἐπελθούσης τῇ ἄν καὶ ἀρκούσης καθ' ἑαυτῆς καὶ τοῦ συνδέσμου παρὰ τῷ Δωριεῖ. CQ

τέλος θεοξενίων. EQ

---

2 ἵν' ᾖ — εἴην om. D ‖ διώξω] δείξω E (δ corr. ex α) ‖ ἀδύνατα] ἀκίχητα PQ 3 ὡς] ὡς ἂν E 4 τοῦ Qv: τὸ C κεινὸς Q: κοινὸς C κεῖνος v ‖ λογισμῷ v 5 τῶν ῥ. τὰ εὐκτ. C 6 προσφέρ. Q$^{ac}$ 7 ἢ (alt.)] ἢ καὶ C 8 λαμβάνωνται Cv 9 συμπεριφερ. C ‖ τὸ] τὸ δὲ C(?C$^{s}$?) 10 εἴη C 12 ὁ om. C 13 ἐπίβολος v 14 μόνης τῆς κοινῆς διαλέκτου C 15 συνετέθη C 17 κεινον et κοινοῦ C 18 ἄλλων Q$^{pc}$v: κοινων Q$^{ac}$ λοιπῶν C ‖ οἷον τί τόδε, C 21 συλληπτικοὶ Q$^{1}$v: συναλειπτικοὶ Q$^{s}$ συλληπτικοὶ καὶ συναλειπτικοὶ C 22 ἐχρῆν CQ$^{ac}$ ‖ ἀπὸ C: ἀντὶ Qv 23 συντιθέν Q ‖ ἐχρῆν C 24 εἴποις C 25 συλλαβοῦς C$^{ac}$ ‖ τῇ] τὸ C 26 ἀρκούσης] ἐλθούσης Q$^{ac}$ ‖ καὶ] καὶ ἄνευ C$^{s}$

## Scholia in Olympionicarum carmen IV.

A *Ψαύμιδι Καμαριναίῳ ἅρματι.* inscr.

CQ *Ψαύμιδι Καμαριναίῳ ἵπποις.*

BDEQ *Ψαύμιδι Καμαριναίω ἵπποις νικήσαντι τὴν ὀγδοηκοστὴν δευτέραν Ὀλυμπιάδα τεθρίππῳ, παιδὶ Ἄκρωνος.* metr. E[a]

DEQ b. *Καμάρινα δὲ πόλις Σικελίας.* 1 EQ

ADEQ *τοῦ δ' εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστὶ ιε'. τὸ α' ἀνακλώμενον ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. τὸ β' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ γ' ἰθυφαλλικόν. τὸ δ' ἰωνικὸν τρίμετρον βραχυκατάληκτον τῆς α' μακρᾶς ἀναλυομένης. τὸ ε' ἰωνικὸν δίμετρον ἀκατάληκτον ἀδιαφόρου τῆς ἀρχούσης. τὸ ϛ' ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ζ' λογαοιδικὸν ἐξ ἀναπαίστων καὶ ἰάμβου καὶ συλλαβῆς. τὸ η' Φερεκράτειον λεῖπον τῇ τελευταίᾳ συλλαβῇ. τὸ θ' ἰαμβικὸν ἑφθημιμερές. τὸ ι' ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ια' τροχαικὸν ⟨δίμετρον⟩ ἀκατάληκτον διαλυθέντων τῶν ποδῶν. τὸ ιβ' ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ιγ' ἰωνικὸν δίμετρον βραχυκατάληκτον τῆς ἀρχούσης ἀδιαφόρου. τὸ ιδ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· ἢ ἰωνικὸν τῆς α' ἀδιαφόρου οὔσης, διὰ τὴν ἀντίστροφον. τὸ ιε' ἰαμβικὸν πενθημιμερές.*

---

1 *ψάμμιδι* 2 sqq. inscr. post metr. hab. DQ ibid. repet. E; ante metr. *Ψαύμιδι Καμαριναίῳ* Q 3 l. *ἐλατήρ* praem. Q ‖ *Καμαρίνῳ* B ‖ *νικήσαντὴν* E 3 sq. cfr. pap. Oxyrh. CCXXII, 2, 22 4 *παιδίον* E ‖ *Ἄκρωνος* EQ: *Ἄβρωνος* BD 6 *ἡ* om. A ‖ *ἀντιστροφὴ* A ‖ *ἐστὶ* om. V 7 *ἰωνικὸν* A: *προσοδιακὸν* V 8 *μονόμετρον* Pauw (*δίμετρον* legit et Tzetzes) 8. 9 *ἰθυφαλικόν* A 11 *ἀδιάφορον* DQ 12 *ἀναπαίστου* et -*ων* Q: *ἀναπαίστου* ADE. Corr. iam Pauw 13 *καὶ συλλαβῆς* EQ Tzetzes: *δισυλλάβ(ου)* A *συλλαβῆς* D ‖ *λεῖπον* ego: *λείπει* A[cp]E *λείπει ἐν* DQ 13. 14 *τῆς τελευταίας συλλαβῆς* Q[s] (*λειπούσης τῆς τελευταίας συλλαβῆς* Tzetzes r; sed cfr. O. I str. *η'*) 14 *ἐπιωνικόν* V: *ἀπ' ἰωνικοῦ* A 15 suppl. Tzetzes r 18 *τῆς — ἀδιαφόρου* om. V ‖ *ἀρχούσης* ego: *ἀρχ(ῆς)* A ‖ *ἰαμβικὸν* schol. ad Tzetzem (Pauw): *ἰωνικὸν* AV 19 *βραχυκατάληκτον* ADEG: *καταληκτικὸν* Q ‖ *ἢ ἰωνικὸν* PQ *ἢ ἰωνικῆς* b[cp]E *ἢ τῆς ἰωνικῆς* D: om. A ‖ *τῆς α' ἀδιαφόρου* A: *τῆς πρώτης διαφόρου* Q *τῆς διαφορᾶς* E *ἀδιαφόρου* D 20 *τὴν*] *τὸ* PQb ‖ *τὸ — πενθημ.* om. AD

ἡ δὲ ἐπῳδὸς κώλων ιβ΄. τὸ α΄ ἰωνικὸν δίμετρον ἀκατάληκτον. τὸ β΄ χοριαμβικὸν δίμετρον καταληκτικόν. τὸ γ΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ δ΄ προσοδιακὸν τῆς κεοι συνηρημένης. τὸ ε΄ δίμετρον ὑπερκατάληκτον ἐπιχοριαμβικὸν, ἀπὸ τροχαίου ἀναλυομένου. τὸ ς΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ζ΄ δακτυλικὸν τρίμετρον καταληκτικὸν, ἢ προσοδιακὸν τοῦ ἰωνικοῦ β΄ ὄντος. τὸ η΄ περίοδος, διπλοῦς ἴαμβος. τὸ θ΄ περίοδος τροχαϊκὴ ἀπὸ ἰάμβου καταληκτικοῦ. τὸ ι΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ια΄ τροχαϊκὸν ἐπίτριτον τοῦ α΄ ποδὸς ἀναλυομένου. τὸ ιβ΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. 1 A

inscr. DEQ

Ψαύμιδι: ὁ Ψαῦμις ἐνίκησε τὴν πβ΄ Ὀλυμπιάδα τεθρίππῳ. ἦν δὲ Σικελὸς ἀπὸ Καμαρίνης πόλεως, ἣ ὁμώνυμος καὶ λίμνη. metr. A

1 a. Ἐλατὴρ ὑπέρτατε: ἰδίως οἱ νεώτεροι τὴν βροντὴν ὄχημα καὶ ἵππον τοῦ Διὸς ὑποτίθενται. b. ὁ δὲ λόγος· ὑπέρτατε βροντᾶς ἐλατὴρ Ζεῦ· οἷον ἡνίοχε. ἀκαμαντόποδος δὲ, μὴ καμνούσης τοὺς πόδας. ἀκοπιάστου καὶ στερρόποδος. A

1 c. Ἐλατὴρ ὑπέρτατε βροντᾶς: ἐπειδὴ ὁ ἀγὼν BCDE

---

16 Hes. ἐλασίβροντα.

---

1 ἡ — ιβ΄ om. D ‖ κώλων EQ: εἰς A ‖ α΄] α΄ τῆς ἐπῳδῆς D 3 ἀκατάληκτον Pauw: ἀκαταληκτικόν A καταληκτικόν V ‖ προσῳδιακὸν A 3. 4 τῆς κεοι συνηρημέν(ης) A: τοῖς κεφαλαίοις συνηρημένον V 4 post συνηρημένης add. δὲ καὶ ὅτι δίμετρον ὑπερκατάληκτον A. Ft. ⟨τινὲς⟩ δὲ τροχαϊκὸν δ. ὑ. (nam ἐν om. A in textu) ‖ δίμετρον ὑπερκατάληκτον om. A 4. 5 ἐπιχοριαμβικὸν A: ἐπὶ χοριάμβου V 5 ἀπὸ — ἀναλυομένου om. A ‖ ἀπὸ τροχαίου EQ: lac. D ‖ ἀναλυόμενον V: Pauw 6 post βραχυκατάληκτον add. ἀνακλώμενον (h. e. ἀναλυόμενον) D ‖ τρίμετρον EQ: δίμετρον AD 7 καταληκτικὸν EQ: om. A βραχυκατάληκτον D ‖ ἢ — ὄντος om. A 8 τροχαϊκὴ A: τροχαῖος V 9 ἰαμβικοῦ D ‖ καταληκτικὸν Q 8. 9 περίοδος, τροχαϊκὸν ἀπὸ ἰάμβου καταληκτικόν Tzetzes b; καταληκτικοῦ (s. -κόν) ft. delend. 10 τροχαϊκὸν ἐπίτριτον A: τροχαῖος ἐπίτριτος DE τροχαϊκὸς ἐπίτριτος Q 11 ὑπερκατάληκτον A 13 Ψάμμιδι et Ψάμμις 18 ἀκαντόποδος A$^{ac}$ -21 l. om. C ὑπέρτατε βροντᾶς om. DQ

Ὀλυμπιακὸς, τοῦτον δὲ ὁ Ψαῦμις ἐνίκησεν, εἰκότως ἐξ αὐτοῦ τοῦ Διὸς ποιεῖται τὸ προοίμιον τοῦ ἐπινίκου. d. οἱ νεώτεροι δὲ ἅρματα τὴν βροντὴν τῷ Διὶ εἶναι διδόασι, καὶ λέγουσιν, ὦ ἡνίοχε Ζεῦ. e. ἡ δὲ ἀκολουθία· ὦ Ζεῦ, ὃς Αἴτναν ἔχεις· καθ' ὑπερβατόν. f. ἀλλ' ὦ Ζεῦ, ὅστις τὴν Αἴτναν κατέχεις τὴν οὖσαν ἶπον καὶ πίεσμα καὶ βάρος τοῦ

BEQ Τυφῶνος. g. Αἴτνα ὄρος Σικελίας |· οἰκειότατα δὲ, Σικε-

B λιώτης γὰρ ὁ νικηφόρος. h. ὅτι καὶ ἡ Καμάρινα πόλις

BEQ Σικελίας. i. καὶ ἡ Κατάνη ὕστερον Αἴτνη ἐκλήθη. 11 Q$^{b}$

BC(D)EQ 1 k. τὴν βροντὴν ὁ Πίνδαρος ὡς ἵππον ὑφίσταται τοῦ Διός· διὸ καὶ ἀκαμαντόποδα αὐτὴν εἶπεν. l. ἤτοι δὲ ὑπέρτατε Ζεῦ εἴρηκεν, ἢ ὑπέρτατε ἐλατὴρ τῆς βροντῆς. m. ἀ κ α μ α ν τ ό π ο δ ο ς δὲ, τῆς στερρᾶς καὶ μὴ καμνούσης τοὺς πόδας.

CDEQ 1 n. οὗτος δὲ ὁ Ψαῦμις ἐνίκησε τεθρίππῳ τὴν πβ' Ὀλυμπιάδα.

A 3 a. τ ε α ὶ γ ὰ ρ ὧ ρ α ι: αἱ γὰρ ὧραι ἑλίσσουσαι, τουτέστι περικυκλοῦσαι ἔπεμψάν με. b. Διὸς δὲ ὥρας τὰς Ὀλυμπιάδας νῦν λέγει.

BDEQ 3 c. Ζ ε ῦ, τ ε α ὶ γ ὰ ρ ὧ ρ α ι: τὸ ἑξῆς· Ζεῦ, τεαὶ γὰρ ὧραι ἑλισσόμεναί με ἔπεμψαν ὑψηλοτάτων μάρτυρ' ἀέθλων,

BCEQ ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς. d. ἵν' ᾖ, αἱ γὰρ σαὶ ὧραι τῶν ἐνιαυτῶν ἔπεμψαν. Ὅμηρος (Β 551)· περιτελλομένων ἐνιαυτῶν. e. μ ά ρ τ υ ρ α δὲ ἀντὶ τοῦ ὑμνητήν· διὰ γὰρ τῶν ποιημάτων καὶ ὕμνων ἐκδηλότεροι οἱ νικῶντες καὶ ἀίδιος ἡ μαρτυρία. f. τὸ δὲ, ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς, τῇ ὑπό

---

1 Ὀλυμπικὸς E ‖ δὴ E  4—9 post sch. 7 repet. Q(Q$^{b}$), praem. l. ἀλλ' ὦ Κρόνου παῖ  4 ὦ Ζεῦ — 5 ὅστις] ἀλλ' ὦ Ζεῦ, καθ' ὑπερβατὸν, ὅστις B et om. ἀλλ' v ‖ ὦ — ὑπερβ. om. Q$^{b}$  5 ὦ Ζεῦ om. E  6 Αἴτνην Q ‖ ἶπον BEQ: ἵπον D ἵππον C  7 Αἴτνα — Σικελίας om. C ‖ ἄλλως· ὅστις τὴν Αἴτνην κατέχεις praem. Q$^{b}$ ‖ Αἴτνα B(D): αἴπυα E Αἴτνη Q ‖ οἰκειότατον EQ$^{a}$  7. 8 Σικελία E

10 l. nullum D: βροντᾶς B ἐλατὴρ ὑπέρτατε E ἐλατήρ (corr. ex -ῆρα) C ἄλλως Q  11. 12 ὑπέρτατα E  12 εἶπεν Bv  13 τῆς om. E ‖ στερᾶς Dv στερεᾶς Beck (στερρᾶς id. e conj.) ‖ καὶ BDE: τῆς CQ ‖ καμνούσης CDQ: καμούσης BE  20 l.] ἄλλως D  21 με om. E ‖ ἔπεμψα E  22 σαὶ om. E  23 τὸν ἐνιαυτὸν CQ$^{ac}$b ‖ με ἔπεμψαν U ‖ περιπλομένων Q  26 τῇ] τὸ E

ἀντὶ τῆς μετά κέχρηται· ἵν' ᾖ, μετὰ ποικιλοφορμίγγων ᾠδῶν
| ἔπεμψάν με αἱ τεαὶ ὧραι. g. ποικιλοφόρμιγγα δὲ εἶπεν, **BCDEQ**
ἐπειδὴ σὺν μουσικοῖς ὀργάνοις, αὐλῷ τε καὶ κιθάρᾳ, ᾖδον.
h. τῇ δὲ ὑπό ἀντὶ τῆς μετά καὶ Ὅμηρος κέχρηται (Σ 492)·
δαΐδων ὑπὸ λαμπομενάων· ἀντὶ τοῦ μετὰ δαΐδων.

3 i. Διὸς ὥρας τὰς Ὀλυμπιάδας λέγει. **CDEQ**
k. περισσὸς δὲ ὁ γάρ σύνδεσμος. **DEQ**

4. ⟨ποικιλοφόρμιγγος ἀοιδᾶς:⟩ ὅτι αἰτία τοῦ ποι- **EQ**
κίλλειν τὴν φόρμιγγα.

6 a. ὑψηλοτάτων: τῶν Ὀλυμπιακῶν λέγει. b. μάρ- **A**
τυρα δὲ ἀντὶ τοῦ ἑρμηνέα.

7 a. ξείνων δ' εὖ πρασσόντων: τῶν φίλων εὖ πρασ- **A**
σόντων τὴν ἀγγελίαν τὴν περὶ αὐτῶν γλυκεῖαν οὖσαν ἱλα-
ρῶς οἱ ἀγαθοὶ προσδέχονται καὶ ἀφθόνως. b. ἔσαναν:
ἐχάρησαν. ἡ μεταφορὰ ἀπὸ τῶν σαινόντων κυνῶν τοὺς
ἰδίους δεσπότας.

7 c. ξείνων δ' εὖ πρασσόντων: ξείνων, φίλων. **BDEQ**
d. ἔσαναν ἀντὶ τοῦ ἐχάρησαν, ἀπὸ τῶν σαινόντων ζώων. **BCDEQ**
e. ἤτοι δὲ τὸ ἑξῆς· προσέσαναν τὴν ἀγγελίαν· ἤ, πρὸς τὴν
ἀγγελίαν ἔσαναν καὶ ἐχάρησαν. f. ἡ δὲ διάνοια· πρὸς τὴν
τῶν εὖ πρασσόντων φίλων ἀγγελίαν ἐχάρησαν οἱ ἀγαθοί.
g. ἢ οὕτω· τὴν δὲ τῶν εὖ πρασσόντων φίλων ἀγγελίαν
γλυκεῖαν οὖσαν ἱλαρῶς οἱ ἀγαθοὶ φίλοι προσδέχονται. | τοῦτο **BDEQ**
δὲ ὡς πρὸς ἑαυτόν. h. ὁ χορὸς ἥδεται ἐπὶ τῇ τοῦ νενικη-
κότος εὐπραγίᾳ, | ὡς ἂν γνωρίμου. i. ἔσαναν· ἐχάρησαν. **BEQ**
k. ὁ δὲ νοῦς· τῶν γὰρ φίλων εὐδαιμονούντων εὐθέως
οἱ γνήσιοι καὶ ἀγαθοὶ ἑταῖροι ἥσθησαν ὑπὸ τῶν γλυκειῶν
ἀγγελιῶν μαθόντες. 1e–i Qb

---

4 sch. A Σ 492

---

4 τῇ] τὸ **CD** 7 σύνδεσμός ἐστι Beck 8 l. add. **b** ‖ αἰτία **E**: αἰτία ἐστὶ **Qv** 6 Ὀλυμπιονικῶν: **b** 17 l. om. **E** ‖ ξείνων φίλων om. **DQ** 19 ἤτοι — ἀγγελίαν om. **D** ‖ ἤτοι δὲ τὸ ἑξῆς] τὸ ἑξῆς δὲ **Q** ‖ προσέσαναν **Qv**: προέσαναν 21 ἀγγελίαν φίλων **Bv** ‖ ἀγγελίαν et ἐχάρησαν οἱ ἀγ. om. **D** ‖ ἐχάρησαν — 22 ἀγγελίαν om. **C** 23 οἱ ἀγ. φ. πρ. ἱλαρῶς **E** 24 ὁ χορός **DEQ**: ἡ χαρᾷ **B** 25 ὡς **BQ**: ἄλλως ὡς **E** ‖ ἄλλως ante ἔσαναν add. **Qv** 26 γὰρ om. **Bv** 27 ἥσθησαν **B**[ac]**E** ‖ ὑπὸ] ἐπὶ **Q**[i]

A 11 a. *ἵππον*: ἀλλ' ὦ Ζεῦ ὃς τὴν Αἴτναν ἔχεις τὴν
παγίδα τὴν ἀνεμοέσσαν (Αἴτνα δὲ πόλις καὶ ὄρος Σικελίας),
ὅπου κολάζεται ὁ Τυφὼν ὁ ἑκατὸν ἔχων κεφαλάς.
C 11 b. γράφεται καὶ *ἵππον*. ἔστι δὲ ὄνομα ὄρους.
CDEHQ 11 c. *ἶπον ἀνεμόεσσαν*: ὁ μὲν Πίνδαρος τῷ Τυφῶνι
ἐπικεῖσθαί φησι τὴν Αἴτνην, ὁ δὲ Καλλίμαχος τῷ Ἐγκε-
CDEH λάδῳ, | οὕτως (fr. 382)· τριγλώχιν ὀλοῷ νῆσος ἐπ' Ἐγκε-
CDEHQ λάδῳ. | ἔνιοι δὲ ἐν Πιθηκούσαις φασὶ τὸν Τυφῶνα, ἄλλοι
ἐν Φρυγίᾳ, οἱ δὲ ἐν Σικελίᾳ, οἱ δὲ ἐν Αἰγύπτῳ, ὡς Ἡρό-
δοτος (III, 5), οἱ δὲ ἐν τῷ ὄρει τῷ κατὰ Βοιωτίαν.
A 14 a. *δέξαι*: τοῦτον τὸν κῶμον καὶ ὕμνον δέξαι ὄντα
Ὀλυμπιονίκην· ἐπειδὴ εἰς τὸν νικήσαντα λέγεται. δέξαι δὲ
ἡδέως καὶ κεχαρμένως.
BCDEQ 14 b. *δέξαι Χαρίτων θ' ἕκατι τόνδε κῶμον*: ἀντὶ
τοῦ κεχαριτωμένον. c. ὁ δὲ τέ σύνδεσμος περισσός· ἔστι
γὰρ τὸ ἑξῆς ἀλλὰ Κρόνου παῖ, δέξαι Χαρίτων ἕκατι τόνδε
κῶμον ἐπὶ τῇ Ὀλυμπικῇ νίκῃ γεγραμμένον, ὅστις ἐστὶ τῆς
τῶν νικησάντων ἀρετῆς χρονιώτατον φάος· σβέννυται γὰρ
BCEQ τὰ καλὰ ἔργα, μὴ ἔχοντα ποιητικὴν φωνὴν | μάρτυρα.
d. τὸ δ' ἑξῆς· Χαρίτων τ' εὐρυσθενέων ἕκατι.
CEQ 14 e. *ἄλλως· τόνδε κῶμον*: τοῦτον τὸν κῶμον δέξαι
καὶ ὕμνον ⟨ὄντα⟩ Ὀλυμπιόνικον, ἐπειδὴ εἰς τὸν νικήσαντα
CDEQ λέγεται· | δέξαι δὲ ἡδέως ⟨καὶ⟩ κεχαρισμένως ὡς ἐσόμενον
φῶς πολυχρόνιον τῶν εὐρυσθενῶν, οἱονεὶ τῶν νικησάντων

---

8 Tzetzes ad. Lyc. 177. sch. P. 1, 31

---

2 *Αἶτνα* 5 *ἶππον* **C** *ἴπον* **D** *ἵππον* **E** 7 *τριγλῶχιν* **C** *τριγλώχινος* **D** ‖ *νῆσον* **H** 7. 8 *Ἐγγελάδῳ* **C** 8 *ἄλλοι — 9 Σικελίᾳ* om. **D** 9 *Σικελίᾳ*] *Κιλικίᾳ* Oxon. *Λυδίᾳ*? Beck cl. sch. P. (cfr. et Tzetzes) ‖ *ὡς* **CDE**: *ὡς καὶ* **HQv** 12 *λέγει*: **V** (23) 14 *τόνδε κῶμον* om. **CDQ** 15 *περισσός* **B**: *π ριττός* 15. 16 *ἔστι γὰρ τὸ ἑξῆς* **BCQ**: *ἐστι· τὸ ἑξῆς γάρ* **E** *ὁ δὲ νοῦς* **D** 17 *ἐπὶ — γεγραμμένον* om. **D** ‖ *Ὀλυμπιακῇ* **CQv** ‖ *ἐστὶ*] *ἐπὶ* **v** 18 *σβέννυται*] *συνέγγυται* **E** 20 *Χαρίτων τ' ⟨ἀρετᾶν τ'⟩ εὐρ.* Bergk 21 *ἄλλως· τόνδε κῶμον* om. **C** ‖ *τοῦτον τὸν κῶμον* om. **E** 22 *ὄντα* add. **b** ex **A** 23 *λέγει* **Q** (ut **A**) ‖ *καὶ* add. **b** ex **A** ‖ *κεχαρισμένως* **DQ** (ut **A**): *κεχαρισμένον* **CE** 24 *φῶς*] *φησὶ* **E** ‖ *πολυχρόνιον* **CDE**: *πολυχρόνιον: — εὐρυσθενέων* **Qb** ‖ *ἐρισθενῶν* **D**[ac] *εὐρυσθενέων* **C**

μετὰ ἀνδρείας καὶ ἐναρέτων γενομένων. ἐκ γὰρ τῶν ὀχημάτων τοῦ Ψαύμιδος ἦλθεν ὁ ὕμνος, ὅστις Ψαῦμις τῷ κοτίνῳ τῷ ἐν τῇ Πίσῃ στεφθεὶς δόξαν τῇ ἑαυτοῦ πατρίδι σπεύδει περιθεῖναι.

16 a. χρονιώτατον: τὸν ὕμνον, ὃς φωστὴρ ἀρετῆς ἐστι, **A** δέξαι τὸν ἐπὶ χρόνον μένοντα. ἀθάνατος γάρ ἐστιν ὁ ὕμνος καὶ ἡ ἀρετή. b. φάος: τὸν ὕμνον, ὃς φωστὴρ ἀρετῆς ⟨ἐστι⟩· σβέννυται γὰρ τὰ καλὰ ἔργα, μὴ ἔχοντα τὴν ποιητικὴν φωνὴν μάρτυρα.

18 a. Ψαύμιος γάρ: ἀντὶ τοῦ ἥκει γὰρ ἐπὶ τῶν ὀχέων **A** ὁ Ψαύμιος ὕμνος· ὃν δέξαι, ὦ Ζεῦ. b. ἢ οὕτως· ὁ τοῦ Ψαύμιος ὕμνος .... ⟨ὃς⟩ ἐλαίᾳ στεφανωθεὶς παραγίνεται, τῇ πατρίδι δόξαν περιποιῶν τῇ Καμαρίνῃ· ἔστι δὲ πόλις καὶ λίμνη τῆς Σικελίας.

18 c. Ψαύμιος γὰρ ἵκει: ἥκει γὰρ ἐπὶ τῶν ὀχέων **BCDEQ** τοῦ Ψαύμιδος· τίς; ὁ ὕμνος· ὃς ἐλαίᾳ στεφανωθεὶς παραγίνεται τῇ ἑαυτοῦ πατρίδι Καμανίνῃ στέφανον καὶ δόξαν φέρων. 24 **E**

20 a. Πισάτιδι κῦδος: τῇ ἑαυτοῦ πατρίδι. ἥκει γὰρ **A** τῶν ὀχέων τοῦ Ψαύμιδος ὕμνος· ὃν δέξαι, ὦ Ζεῦ.

20 b. ὃς ἐλαίᾳ στεφανωθείς: ὁ Ψαῦμις· ὃς τῇ ἑαυ- **A** τοῦ πατρίδι στέφανον καὶ δόξαν θέλει περιποιήσασθαι.

21 a. εὔφρων εἴη: καὶ εἰς τὸν πάντα χρόνον εὔφρων **A** ὁ θεὸς εἴη αὐτῷ.

21 b. θεὸς εὔφρων εἴη λοιπαῖς εὐχαῖς: εὐμενής. **BCDEQ** c. μετὰ ταύτης οὖν αὐτοῦ τῆς δόξης εἴη αὐτῷ ταῖς λοιπαῖς εὐχαῖς εὐμενὴς ὁ θεός· ἐπειδὴ ἄξιος ἐπαίνου μοι δοκεῖ εἶναι διὰ τὸ εἶναι αὐτὸν λίαν πρόθυμον ἐπὶ τὸ ἱππο-

---

1 ἐναρέτων **E**: ἐν ἀρετῇ **CDQ** ‖ γινομένων **E** 2 ὁ Ψαῦμις **E** 3 Πίσσῃ **CD** ‖ στεφθεὶς **D** σπευθεὶς **E**: στεφανωθεὶς **CQ** 4 σπεύδει om. **E** ‖ περιθεῖναι **CE(G)**: ἐπιθεῖναι **DQ** 5 l.] φάος **b** ‖ ὃς **b**: ὡς 6 χρόνου: ego 7 ὃς **b**: ὡς 10 ἐπὶ **V**: ἀπὸ 12 lac. indicavi, supplevi ex **C** (16) 15 l. **B**: ἄλλως **CDE** ἵκει γὰρ ὀχέων **Q** ‖ ἥκει **CDE**: ἵκει **BQ** 16 Ψαύμιος **B** ‖ τίς· ὁ ὕμνος **BEQ**: τις ὕμνος **C** om. **D** ‖ ὃς **C**: om. **BDEQv** 19 ἥκει ego: διήκει 20 Ψαύμιχος 21 ὃς (pr.)] ὡς **A** ‖ Ψαῦμις· ὃς ego: Ψαύμιχος 25 l. **BE**: θεὸς εὔφρων **C** θ. εὔ. εἴη **DQ** ‖ εὐμενής om. **D** 26 αὐτοῦ om. **BQ**[i]**v** ‖ αὐτῷ **BDQ**: αὐτοῦ **CE**

BDEQ τροφεῖν, | καὶ ὅτι φιλόξενός ἐστι πάντας δεξιούμενος. εἰς τὸν μετὰ ταῦτα οὖν χρόνον θεὸς εὔφρων αὐτῷ γένοιτο.

BEQ | d. ἄλλως· εὐχαῖς: τοῦ νικηφόρου. e. ὁ Ζεύς, φησιν, εἴη εὔφρων καὶ ταῖς λοιπαῖς εὐχαῖς, ἐπειδὴ τὰς περὶ τῆς νίκης ἐτέλεσεν. 26 E

A 24 a. τροφαῖς: ταῖς ἐξ ἑτοίμου ἱπποτροφίαις αὐτὸν ἐπαινεῖ· χαίρει δὲ καὶ ξενίζων.

CDEQ 24 b. ἐξ ἑτοίμου ἱπποτροφεῖ· χαίρει δὲ καὶ ξενίζων· διὸ ἐπαινῶ αὐτόν. 21 E

A 25. χαίροντά τε: καὶ φιλόξενον ὄντα καὶ ἱππικὸν καὶ εἰρηνικὸν καὶ δίκαιον· ἱππικὸν μέν, ὡς χαίροντα τροφαῖς ἵππων, φιλόξενον δὲ ὡς πάντα ξένον ὑποδεχόμενον καὶ ἐπὶ τούτῳ χαίροντα, εἰρηνικὸν δὲ ὡς ἡσυχίαν ἀγαπῶντα τὴν φιλοπόλιδα, δίκαιον δὲ ὡς τὴν γνώμην τρέποντα ἐπὶ τὸ καθαρώτατον καὶ ἀμόλυντον.

BCDEQ 26. φιλόπολιν: εἰσὶ γάρ τινες οἱ ἐν ταῖς στάσεσι διάγοντες φιλοπόλιδες ὄντες· τὸν οὖν Ψαῦμιν φιλόπολίν φησιν εἶναι πρὸς τῷ καὶ ἥσυχον ὑπάρχειν.

A 28 a. οὐ ψεύδεϊ τέγξω: οὐ καταβρέξω οὐδὲ ἀφεψήσω καθάπερ ὕδατι ψεύδει τὸν λόγον. οἷον οὐ ψεύσομαι.

BCDEQ 28 b. οὐ ψεύδεϊ τέγξω: οὐκ εἰς ὑπερβολὴν τραπήσομαι ψευσάμενος. c. ἤτοι οὐ κρύψω τὸν λόγον τῷ ψεύδει· κρύπτεται γὰρ τἀληθῆ ὑπὸ τῶν ψευδῶν. d. ἢ οὕτως· οὐ ποιήσω τὸν λόγον ἀσθενέστερον, ἀπὸ μεταφορᾶς τῶν βρεχομένων· ταῦτα γὰρ ἀσθενέστερα γίνεται. e. οὐ μιανῶ οὖν, φησιν, οὐδὲ βρέξω τὸν λόγον μου ψεύδει· ἀντὶ τοῦ οὐ ψεύσομαι περὶ τῶν ἐγκωμίων τῶν τοῦ Ψαύμιδος λέγων.

A 29 a. διάπειρά τοι: τοῦτο ἐν τῷ καθόλου λέγει, ὅτι

---

1 πάντα E 4 καὶ B: οὕτως ἐπὶ EQ ἐπὶ v ἔτι Beck || εὐχαῖς om. B || τὰς] τὰ v 6 αὐτὸν V: αὐτ(αῖς) 7 ἐπαινεῖ] εῖ ex corr. Ft. ἐπαινῶ (V) 8 l. nullum E: τροφαῖς ἑτοῖμον C τρ. ἐ. ἵππων Q αἰνέω D, om. ἐξ ἑτοίμου 8 χαίρει — 9 αὐτόν om. C 13. 14 ἀγαπῶντος τοῦ φιλοπόλιδος: ego 14 ἐπὶ b: ἢ 16 l.] om. E πρὸς ἡσυχίαν φιλόπολιν Q || στάσεσι] πόλεσι E 16. 17 διάγουσι C 18 τῷ] τὸ DE 19 ἀφεψήσω ego: ἀπεψήσω A ἀποψήσω b 21 οὐ] οὐχι E || τέγξω om. CD 26 βρέξω B βρέξω μου Q: βρέξομαι CDE || μου om. DQ

ἡ πεῖρα τῶν ἀνθρώπων ἔλεγχός ἐστι. καὶ τούτου οὖν εἶναι αὐτοῦ πείσεται ὅτι τοιοῦτός ἐστιν.

29 b. *διάπειρά τοι βροτῶν ἔλεγχος*: πάρεστι δια- BCDEQ
πειρᾶσαι τὸν Ψαῦμιν καὶ γνῶναι. c. ἄλλως· ἡ πεῖρα τῶν ἀνθρώπων ἔλεγχος ἀκριβής· καὶ ὁ τούτου πειραθεὶς εἴσεται ὅτι οὕτως ἔχει. d. παράδειγμα δὲ τοῦ δεῖν τῇ πείρᾳ τἀληθὲς ἐξετάζειν τὸν Ἐργῖνον παρέλαβεν τὸν Μινυῶν βασιλέα, ἀγωνιζόμενον ἐν τῷ ἐπιταφίῳ ἀγῶνι Θόαντος μετὰ τῶν Ἀργοναυτῶν. γέλωτας δὲ κινῶν ἐπὶ τῷ παρ' ἡλικίαν ἀθλεῖν αὐτόν, αὐτῇ τῇ πείρᾳ τοῦ ἀγῶνος ἔδειξε νικήσας ὡς εἶχεν ἰσχύος. ἐνίκησε δὲ τοὺς Βορεάδας. e. ἐλθόντων γὰρ εἰς τὴν Λῆμνον τῶν Ἀργοναυτῶν δοκεῖ Ὑψιπύλη ἡ Θόαντος θυγάτηρ θεῖναι τὸν γυμνικὸν ἀγῶνα, καὶ ὁ Ἐργῖνος ἠγωνίσατο· ὡς δὲ γελώμενος ὑπὸ τῶν Λημνιάδων ὅτι πολιὸς ὢν νέοις ἐσπούδασε διαγωνίσασθαι ἐνίκησε φύσει πολιὸς ὑπάρχων. ὅθεν δῆλον ὡς καὶ αὐτὸς ὁ Ψαῦμις ἤδη πολιὸς ὢν ἐνίκησεν.

31 a. *ἅπερ*: ἀντὶ τοῦ εἴπερ. b. ἡ πεῖρα ἤλεγξε καὶ A
τὸν Ἐργῖνον· ὃν ἔλαβεν εἰκόνα. δοκεῖ γὰρ παρ' ἱστορίαν λέγειν· οὐ γὰρ ἐν Λήμνῳ τελευτᾷ Θόας ὁ πατὴρ Ὑψιπύλης, ἀλλ' αὐτὴ μὴ ἀνελοῦσα αὐτὸν λάρνακι ξυλίνῳ βαλοῦσα κατέβαλεν ἐν θαλάσσῃ, ὡς Ἀπολλώνιος (I, 620)·

---

1 sq. ft. καὶ τοῦτον οὖν ὁ πειραθεὶς αὐτοῦ εἴσεται (cfr. **V**) 3 βροτῶν ἔλεγχος om. **CDQ** ‖ βροντῶν **E** 3. 4 διαπειρᾶσαι **E** διαπειράσαι **B**: διαπειρᾶσθαι **D** διαπειράσομαι **C** διάπειρα **Q** 5 καὶ ὁ **BDQ**: ὁ γοῦν **C** καὶ **E** 7 Ἐργεῖνον **B** 7. 8 τὸν Μινυῶν βασιλέα, ἀγωνιζόμενον scripsi (cl. **A** 31[c]): τὸν Ἐργίνων βασιλέα ἀγωνιζόμενον **CE**(**G**) τὸν τοῦ Κλυμένου ἀγωνιζόμενον **DQ** ἅπερ καὶ Κλυμένοιο παῖδα· Ἐργῖνος γὰρ ἀγωνιζόμενος **B** λέγων· ἅπερ Κλ. παῖδα. Ἐργ. γὰρ ὁ Κλ. παῖς **v** 9 γέλωτας δὲ **DEGQ** γέλωτα δὲ **C**: καὶ γέλωτας **Bv** ‖ κινῶν] κινώντων **v** κινούντων Beck 12 Ὑψιπύλεια **DQ** 14 ἠγωνίσατο· ὡς δὲ om. **D** ‖ γελώμενος **BC**: γελώμενος ἠγωνίσατο **E** et (supra ἠγων. scr. ἐγελᾶτο) **Q** ἐγελᾶτο **Db** ‖ ὑπὸ] ἀπὸ **E** ‖ Λαμν. **E** Λημνιάδων ἦν **C** 15 πολιὸς] πολιὸς ἐσπῶν **E** ‖ ἐνίκησε **BCE**: ἐνίκησε δὲ **DQ** 16 ft. post ὑπάρχων lac. stat. 18 post εἴπερ non dist. **b** ‖ ft. ἤπερ 19 γὰρ **A**: δὲ cj. **b**, ft. recte 21 ⟨ἐν⟩ λάρνακι **b**

οἴη δ' ἐκ πασέων γεραροῦ περιφείσατο πατρὸς
Ὑψιπύλεια Θόαντος, ὃ δὴ κατὰ Λῆμνον ἄνασσεν·
λάρνακι δ' ἐν κοίλῃ μιν ὕπερθ' ἁλὸς ἧκε φέρεσθαι,
αἴ κε φύγῃ. καὶ τὸν μὲν ἐς Οἰνοίην ἐρύσαντο
πρόσθεν, ἀτὰρ Σίκινόν γε μεθύστερον αὐδηθεῖσαν.

πῶς οὖν λέγει αὐτὸν ἐν Λήμνῳ τεθάφθαι καὶ ἐπ' αὐτῷ ἀγῶνα ποιῆσαι Ὑψιπύλην; ἀλλ' ἔξεστι πλάττειν τοῖς ποιηταῖς ἃ βούλονται.

A 31 c. Κλυμένοιο: παράδειγμα τοῦ δεῖν ⟨τῇ πείρᾳ⟩ τὸ ἀληθὲς ἐξετάζειν τὸν Ἐργῖνον προσάγεται· οὗτος γὰρ παλαιὸς ὢν λίαν ἀγωνιούμενος τὸν ἐπὶ Θόαντι ἀγῶνα ἦλθεν· γελώντων δὲ ἐκείνων ἐπὶ τῷ παρ' ἡλικίαν δοκεῖν . . . αὐτῇ τῇ πείρᾳ ⟨τοῦ⟩ ἀγῶνος ἔδειξε νικήσας ἐνόπλιον δρόμον· ὥστε καὶ τοῦ Ψαύμιος †συμπονοῦντος παρέλαβεν ὡς ὅμοιον τὸ κατὰ τὸν Ἐργῖνον.

BCDEQ 32 a. Λαμνιάδων: καὶ ὁ Καλλίμαχος (fr. 197)· Ἐργῖνος Κλυμένου ἔξοχος ἐν σταδίῳ. b. ἥτις διάπειρα τὸν Κλυμένου παῖδα ἀπέλυσε τῆς ἀτιμίας τῶν ἐν Λήμνῳ γυναικῶν. c. ἡ δὲ ἱστορία τοιαύτη· Ὑψιπύλης ἀγῶνα ἐπιτελούσης ἐπιτάφιον Θόαντι τῷ πατρὶ Λημνίων βασιλεῖ, συμβέβηκεν

---

32 d. Apostol. 7, 95 (= sch. Thom. p. 179, 1 Ab.): Ἐργίνου πολιαί: ἐπὶ τῶν προπολίων. οὗτος ἦν παῖς Κλυμένου, εἷς τῶν Ἀργοναυτῶν. Ὑψιπύλης δὲ τῆς θυγατρὸς Θόαντος βασιλέως Λημνίων ἐπιτάφιον ἀγῶνα τοῦ πατρὸς προτεθεικυίας, Ἐργῖνος νέος μὲν ὢν τῇ ἡλικίᾳ, προπόλιος δέ, παρῆλθεν ἀγωνισόμενος, καὶ ἐγελᾶτο ὑπὸ τῶν Λημνιάδων γυναικῶν διὰ τὰς πολιάς. κάλλιστα οὖν τὸν ἀγῶνα διενεγκὼν καὶ τοὺς συνάθλους νικήσας Βορεάδας Ζῆθον καὶ Κάλαϊν, εἰς ὑπερβολὴν ἐθαυμάσθη. περὶ οὗ καὶ ὁ Πίνδαρος εἶπε: διάπειρά τοι βροτῶν ἔλεγχος.

---

1 οἴη 2 Λῆμνον A: δῆμον codd. Apoll. ‖ ἀνάσσει 5 Σίκινόν γε] σηκόνδε ‖ αὐδηθεῖσαι 7 ποιῆσαι] ποιοῦντα $A^{ac}$ 9 δεῖ A: corr. et supplevi ex V 12 τῷ ego: τὸ ‖ lac. indicavi 13 τοῦ addidi ex V 14 Ψάμμιος ‖ ft. προπολιοῦντος (cfr. p. 137, 24) 16 l.] om. CQ Λαμνιάδ.. (cp. obsc.) E Λ. γυναικῶν Qv ‖ καὶ ὁ Καλλίμαχος om. D ‖ Ὀργῖνος E 17 σταδίᾳ E ‖ διάπυρος E 19 ἡ — τοιαύτη om. D ‖ Ὑψιπύλεια $Q^{ac}$ Ὑψιπυλείας $Q^{pc}$ 20 Λημναίων E

*ἀπιόντας ἐπὶ τὸ χρυσοῦν δέρας τοὺς Ἀργοναύτας ἐκεῖσε γενέσθαι, καὶ προτραπέντας εἰς τὸν ἀγῶνα ἀγωνίσασθαι. εἷς ὢν οὖν αὐτῶν ὁ Ἐργῖνος νεώτερος μὲν τῷ χρόνῳ, προπόλιος δὲ τὴν κόμην, ὡς μὴ ἱκανὸς ἀγωνίσασθαι διὰ τὴν ὄψιν τῶν πολιῶν ἐγελᾶτο ὑπὸ τῶν γυναικῶν καὶ ἐπεκερτομεῖτο. ὡς δὲ διὰ τῶν ἔργων ἐδείχθη ὑπερβαλλόμενος τοὺς ἀγωνιστάς· ἦσαν δὲ οἱ τοῦ Βορέου παῖδες Ζήτης καὶ Κάλαϊς·*
| *ἐπαύσατο ἡ κατ᾽ αὐτοῦ γινομένη χλεύη, καὶ τοὐναντίον* **BCEQ**
*ἐθαυμάσθη. διὰ τοῦτο οὖν λέγει τὴν πεῖραν πεπαυκέναι τῆς ὕβρεως τῆς κατ᾽ αὐτοῦ τὰς Λημνιάδας γυναῖκας.*

34 a. *χαλκέοισιν δὲ ἐν ἔντεσιν: ὁπλῖται γὰρ ἔτρεχον.* **A**
b. *ὁ δὲ δέ σύνδεσμος ἀντὶ τοῦ γάρ· ἵν᾽ ᾖ· χαλκέοις γὰρ ἐν ὅπλοις νικῶν.*

34 c. *χαλκέοις δ᾽ ἐν ἔντεσιν: ὁ δέ ἀντὶ τοῦ γάρ.* **CEQ**
*τὸν γὰρ ἔνοπλον δρόμον νικήσας ὁ Ἐργῖνος,* | *εἶτα προσιὼν* **CDEQ**
*τῇ Ὑψιπύλῃ ἐπὶ τῷ στεφθῆναι εἶπε πρὸς αὐτὴν δεικτικῶς· οὗτος ἐγώ.*

36. *μετὰ στέφανον: ἐπὶ τὸ στεφθῆναι ἀπιὼν εἶπε* **A**
*τῇ Ὑψιπύλῃ.*

37. *οὗτος ἐγώ: τὸ οὗτος ἐγὼ ταχυτᾶτι δεικτικόν.* **A**

38. *χεῖρες δὲ καὶ ἦτορ: αἱ δὲ χεῖρές μου καὶ ἡ ψυχὴ* **A**
*κατάλληλοι. ἀλλ᾽ ὅμοιος ἔσομαι, ὅμοια ἐνθυμούμενος καὶ πράττων.*

39 a. *φύονται καὶ νέοις: ὡς καὶ τοῦ Ψαύμιδος προ-* **A**
*πολιοῦντος καὶ νικήσαντος.* b. *ἄλλως· πολλάκις τις νέος ὢν πολιοῦται καὶ παρὰ τὸν τῆς ἡλικίας ἐοικότα χρόνον. δηλονότι καὶ αὐτὸς ὁ Ψαῦμις πολιὸς ἦν καὶ οἷον προπόλιος.*

*ὕμνου τέλος Ψαύμιδος ἐκ Καμαρίνης.* **Q**

---

1 *τοὺς*] *τοῦ* **E** 3 *αὐτῶν* om. **E** 4 *ἱκανὸς*] *καλὸς καὶ ἱκανὸς* **D** 5 *καὶ ἐπεκερτομεῖτο* om. **BC** Apostol. ‖ *ἐπεκερτομεῖτο* **Qv**: *ὑπεκερτομεῖτο* **D** *ἐκερτομεῖτο* **E** 8 *ἡ γινομένη χλεύη κατ᾽ αὐτοῦ* **Bv** 11 *χαλκέοις* **A**[ac] ‖ pro *δὲ* cp. obsc. **A** 14 *χαλκείοις* **CE** ‖ *ἔντεσιν* **CE**: *ἔντεσι νικῶν* **Q** 15 *ἐνόπλιον* **E** ‖ *εἶτα*] *καὶ* **D** 16 *Ὑψιπυλείᾳ* **Q** ‖ *στεφανωθῆναι* **GQ** ‖ *εἶπε*] *καὶ* **D** ‖ *πρὸς αὐτὴν* om. **Q** ‖ *αὐτὸν* **E** 17 *οὗτος* **D** *οὗτος* **Q**: *οὕτως* **CE** ‖ *ἐγώ* om. **C** 20 *δοτικόν*: **V** (Schroeder) 22 *ἀλλ᾽* suspectum 24 *Ψάμμιδος* 27 *Ψάμμις*

## Scholia in Olympionicarum carmen V.

AC Τῷ αὐτῷ ἀπήνῃ καὶ κέλητι καὶ τεθρίππῳ.

BDEQ Τῷ αὐτῷ ἀπήνῃ καὶ κέλητι. inscr.[b] B

ADEQ a. Τὸ ε΄ εἶδος γ΄ ἔχει περιόδους ἁπλᾶς πάσας ἑαυταῖς συμφωνούσας· οὐ γάρ ἐστιν ἐπῳδὸς ἡ γ΄. ἐκ κώλων δέ εἰσιν ιθ΄. τὸ α΄ δακτυλικὸν τρίμετρον καταληκτικόν. τὸ β΄ ἰωνικὸν ἀπ' ἐλάττονος, τῆς α΄ συζυγίας τρίτον παίωνα ἐπιδεξαμένης· ὅπερ γίνεται ἐπὶ τῶν ἰωνικῶν. τὸ γ΄ ἰθυφαλλικὸν παρὰ μίαν συλλαβήν. τὸ δ΄ δακτυλικὸν πενθημιμερές. τὸ ε΄ ἰθυφαλλικόν. τὸ ς΄ ἀναπαιστικόν· σύγκειται δὲ ἐκ β΄ ἀναπαίστων καὶ βακχείου, ὅπερ πάσχει τὰ ἀναπαιστικά, καὶ ἑξῆς ἀναπαίστου καταληκτικοῦ. τὸ ζ΄ ἰθυφαλλικόν. τὸ η΄ Φερεκράτειον. τὸ θ΄ προσοδιακὸν ἐκ τοῦ ἀπ' ἐλάσσονος καὶ χοριάμβου. τὸ ι΄ δακτυλικὸν δίμετρον ἀκατάληκτον. τὸ ια΄ δακτυλικὸν πενθημιμερές. τὸ ιβ΄ ἰθυφαλλικόν. τὸ ιγ΄ ὅμοιον τῷ ς΄. τὸ ιδ΄ ἰθυφαλλικόν. τὸ ιε΄ δίμοιρον ἔπους. τὸ ις΄ ἰθυφαλλικόν. τὸ ιζ΄ δίμοιρον ἔπους. τὸ ιη΄ ἐγκωμιολογικὸν παρὰ τὴν τελευταίαν συλλαβήν. τὸ ιθ΄ ἰθυφαλλικόν. inscr.[b] DEQ

E b. ὅμοιον δέ ἐστι μονοστροφικῷ· ἐκ γ΄ γὰρ περιόδων ἐστὶ τῶν αὐτῶν, ἐπῳδὸς δὲ οὐκ ἔστιν.

ABDEHQ Inscr. a. Αὕτη ἡ ᾠδὴ ἐν μὲν τοῖς ἐδαφίοις οὐκ ἦν, ἐν δὲ τοῖς Διδύμου ὑπομνήμασιν ἐλέγετο Πινδάρου. 1 B 6 DEQ

---

2 ἀπήνῃ κέλλητι. εἶδος πέμπτον E ἀπ κέλητι ἰθυφαλλικόν F (teste Mommseno) 3 γ΄ ἔχει scripsi: γ΄ A τῆς στροφῆς ἔχει V τῶν στροφῶν ἔχει b ‖ πάσας b: πάσαις A om. V 5 εἰσιν A: ἐστι V ‖ ἀκατάληκτον Pauw 6 ἐλάττονος AQ: ἐλάσσονος E ἐ..... (lac.) D ‖ τρίτον DQ Tzetzes: τέταρτον E om. A 7 ἐπιδεξαμένης V: ἐνδειξαμένης A ‖ τῶν ἰωνικῶν A: τοῦ ἰωνικοῦ V 8 ἰθυφαλικὸν DE 10 ὅπερ V: ὥσπερ A ‖ πάσχει ADE: περιέχει Qv 11 καὶ om. V ‖ ἑξῆς AQ: ἐξ ἧς DE ‖ ἀναπαίστου AQ: ἀναπαίστου καλεῖται DE 12 προσοδιακὸν EQ: προσῳδιακὸν A ἀνακλώμενον προσοδιακὸν D 15 ὁμοίως V ‖ ἕκτῳ Q Tzetzes v: γ΄ A τρίτῳ DE 17. 18 τὰς τελευταίας συλλαβάς Tzetzes v (corr. iam Pauw) 21 αὕτη AB: αὕτη δὲ DE ἰστέον δὲ ὅτι HQ ‖ μὲν om. A 22 Πινδάρου V: περὶ αὐτῆς τάδε A

Insc. b. *Γέγραπται τῷ αὐτῷ Ψαύμιδι τεθρίππῳ καὶ ἀπήνῃ καὶ κέλητι νενικηκότι τὴν ὀγδοηκοστὴν δευτέραν Ὀλυμπιάδα.* **ABCDEQ** inscr.ᵃ **B**

c. *περὶ δὲ τῆς ἀπήνης Πολέμων φησί· ἤγετο δὲ ἐν Ὀλυμπίᾳ ἀπήνης ἀγών, καί εἰσιν οἱ ἀγωνισάμενοι ἡμίονοι· καταλυθῆναι δὲ τοῦτο τὸ ἀγώνισμα κατὰ τὴν οδ΄ Ὀλυμπιάδα καὶ εἶναι ιγ΄ νίκας. τὴν δὲ ἀπήνην λαμπήνην λεγέσθαι ὑπὸ Τεγεατῶν φησιν ὁ Πολέμων· οἱ δὲ, Θετταλῶν εἶναι τὴν λέξιν. ἐτυμολογεῖται δὲ ἀπήνη αἰπεινή τις οὖσα διὰ τὴν ὑπερτερίαν· διὸ καὶ ὑψηλᾶν ἀρετᾶν τὸν Πίνδαρον λέγειν ὁ λόγος.* **A**

1 a. *ὦ θύγατερ Ὠκεανοῦ Καμάρινα, δέχου τὸν γλυκὺν ἄωτον τῶν στεφάνων καὶ τῶν ἀρετῶν τῶν ἐν Ὀλυμπίᾳ καρδίᾳ γελανεῖ, τουτέστι γαληνιαζούσῃ, καὶ τῆς ἀκαμαντόποδος ἀπήνης καὶ τὰ δῶρα τοῦ Ψαύμιδος· σοὶ γὰρ αὐτὰ παρακομίζει.* **A**

1 b. *Ὑψηλᾶν ἀρετᾶν: ὁ νοῦς· λέγει πρὸς τὴν Καμάριναν τὴν Ὠκεανοῦ, ᾗ ὁμώνυμος ἡ πόλις καὶ ἡ λίμνη,* **BCDEQ** *ὅτι δέξαι τῶν ἀρετῶν καὶ τῶν στεφάνων τῶν ἐν Ὀλυμπίᾳ καὶ τῆς ἀπήνης τὸ ἄωτον, ἀντὶ τοῦ τὸν ὕμνον, ὅς ἐστι δῶρα τοῦ Ψαύμιος νενικηκότος. τὸν ὕμνον δὲ ἄωτον τῶν στεφάνων καὶ τῶν ἀρετῶν εἶπεν, ἐπεὶ οἱ νικῶντες ἐκ τοῦ ὑμνεῖσθαι εὐκλεεῖς γίνονται. Ἀρίσταρχος δὲ ἀκούει Ὠκεανοῦ θυγατέρα Καμάριναν τὴν λίμνην, ἀφ᾽ ἧς καὶ τὴν πόλιν ὠνομάσθαι. Ἀρτέμων δὲ* (FHG IV, 341) *πρὸς τὴν Ἀρέθουσαν τὸν λόγον εἶναί φησιν. αὕτη δὲ ἐν Συρακούσαις κρήνη· ὑποτέτακται δὲ ἡ Καμάρινα ταῖς Συρακούσαις. ἔχει* **CDEHQ**

---

1—3 cfr. Thom. 183, 19 1 *τῷ αὐτῷ* om. **A** ‖ *Ψαύμιδι* **ABQ**: *Ψαύμιδι ὁ ἐπίνικος* **CDE** (Thom.) 2 *κέλλητι* **ACE** ‖ post *κέλητι* frustula sch. 1 add. **E**; cfr. ad 16 ‖ *νενικηκότι* — 3 *Ὀλυμπιάδα* om. **A** ‖ *ὀγδοηκοστὴν δευτέραν* (πβ΄) **BDE**: *πε΄* **CHQ** 4 *Ὀλυμπίᾳ αὕτη* **A**, del. *αὕτη* 6 *πδ΄* cj. **b** ‖ *λαμπήνην* Schroeder cl. Hes. s. v. Poll. X 52: *λαμπίνην* 7 *Πολέμων* **b**: *πολέμιος* 8 *αἰπεινή* ego: *αἰπίνη* 11 *Καμαρίνα* ubique codd. 12 *Ὀλυμπίοις*: ego 13 *γαληνιάζουσα*: ego 16 *ὑψηλᾶν — λέγει* **B**: *λέγει δὲ* **CDEQ** 16—22 turbato ordine **E** (cfr. ad 2) 16 *τὴν* om. **CQ** 17 *καὶ ἡ* **BC**: *καὶ* **DEQ** 19 *ὅς* **DEG**: *ὅ* **C** *ἅ* **Qb** 20 *δῶρον* **C** ‖ *τῶν δὲ ὕμνων ἄωτον* **E** 25 *φασιν* **E** 26 *κρήτη* **E** ‖ *ὑποτέτακται — Συρακούσαις* om. **V**

δὲ ἡ Ἀρέθουσα καὶ πᾶσα κρήνη τὰς πηγὰς ἀπὸ Ὠκεανοῦ.

CEHQ βέλτιον δὲ ὡς Ἀρίσταρχος. c. ἄλλως Καμάρινα καὶ ἡ πόλις τοῦ Ψαύμιδος καλεῖται καὶ λίμνη πλησίον αὐτῆς κειμένη. οἱ μὲν οὖν φασιν ὅτι τῇ πόλει τὸ ὄνομα ἐτέθη ἀπό τινος νύμφης οὔσης, οἱ δὲ ἔκ τινος Ὠκεανοῦ θυγατρὸς ἀμφοτέραις, ὡς Ἡσίοδος (th. 364)·

CDEHQ τρὶς γὰρ μυρίαι εἰσὶ τανίσφυροι Ὠκεανῖναι.

πρὸς θυγατέρα οὖν τοῦ Ὠκεανοῦ τὴν Καμάριναν λέγει.

B(C)DEHQ d. ὁ δὲ νοῦς· ὦ τοῦ Ὠκεανοῦ θύγατερ Καμάρινα, δέχου τὸν γλυκὺν ἄωτον (λέγει δὲ τὸν ὕμνον) τῶν ἐν Ὀλυμπίᾳ ὑψηλοτάτων ἀρετῶν καὶ τῶν στεφάνων τῆς τε ἀπήνης καὶ τοῦ Ψαύμιδος, δέχου δὲ τὸ τοιοῦτο δῶρον φαιδρῷ προσώπῳ. inscr.[a] DQ metr.[b] E

C 5. καρδίᾳ γελανεῖ: γαληνιώσῃ καὶ φαιδρᾷ.

BDEQ 6 a. ἀκαμαντόποδος ἀπήνης: ἁμάξης.

BCDEQ b. ἀπήνη δέ ἐστιν ἅρμα ἐξ ἡμιόνων ζευχθέν. εἰθισμένου δὲ ἵπποις ἀγωνίζεσθαι, Ἀσάνδραστος ἐπετήδευσε καὶ ἡμιόνοις ἀγωνίζεσθαι. χρόνος δέ τις οὐ μακρὸς, ἀλλὰ δεκαετὴς τοῦτο διέλυσε· διελύθη γὰρ περὶ πε΄ Ὀλυμπιάδα.

HQ 6 c. ἀκαμαντόποδος δὲ, τῆς κατὰ τὸν δρόμον ἀκοπιάστου ἀπήνης.

BDEQ 7 a. Ψαύμιός τε δῶρα: ὅστις Ψαῦμις, ὦ νύμφη Καμάρινα, τὴν σοὶ ὁμώνυμον πόλιν ἐπαίρων καὶ δοξάζων,

---

2 καὶ om. v 5 νύμφης οὔσης CEH: οὔσης νύμφης Qv γῆς νύμφης Horn n. 45. Ft. cf. Zenob. V, 18: τινὲς δέ φασι φυτὸν δυσῶδες εἶναι τὴν καμάριναν 5. 6 Ἀμφοτέρης v ἢ Ἀμφιτρίτης b ἀμφοτέρως, del. ὡς, Horn l. l. 7 τανίσφυροι DE$H^{pc}$Q: τανύσφυροι C$H^{ac}$ ‖ Ὠκεανῖναι (-ίναι) CE: Ὠκεανίδες (-ῖδες) DHQ 8 γοῦν E 9 ὁ δὲ νοῦς om. Bv 10 τῶν ἐν Ὀλ. DQ: τὸν ἐν Ὀλ. E τὸν ἐν Ὀλ. τῶν BHv 11 ἀπήνης EU (b ex cj.): Αἴτνης BDHQ 12 δὲ om. E ‖ τοιοῦτον EQ 15 ἀπήνης BDE: τ' ἀπήνας Q 16 εἰθισμένον Dv εἰθισμένα C 17 ἀγωνίζεσθαι — ἡμιόνοις om. D ‖ Ἀσάνδραστος E Ἀσάδραστος $C^{ac}$: Ἀσάνδροστος BQ Ἀσάνδροσος GH ἃς Ἄδραστος $C^{pc}$ Θερσίας Paus. V 9, 1 Θέρσανδρός τις cj. Bentley opusc. p. 239 ed. Lips. Ἄσανδρος Mommsen sch. Germ. p. 22 not. 2 18 δεκαετὴς] δυοκαιπεντηκονταετὴς Bergk[4] p. 76 19 πε΄ CDEGQ: ὀγδοηκοστὴν ἐννάτην B 22 l.] ὃς τὰν σὰν πόλιν αὔξων Q

τὴν εὐδαίμονα καὶ πολυάνθρωπον Καμάριναν, | τοὺς λεγο- BCDEQ
μένους διδύμους βωμοὺς ἐν τῇ Ἤλιδι ἓξ ἐκόσμησε βουθυσίαις ὑπὸ ταῖς ἑορταῖς τῶν θεῶν ταῖς μεγίσταις. οἱ γὰρ νικῶντες ἔθυον ἐν τοῖς ἓξ βωμοῖς. 10 C

7 b. ἄλλως· ὃς τὰν σὰν πόλιν αὔξων: πρὸς τὴν CEQ
ἡρωΐδα ἀφ' ἧς ἡ πόλις· ἀπὸ γὰρ τῆς κρήνης καὶ ἡ πόλις. 13 C

8 a. τὰν σὰν πόλιν: τὴν Καμάριναν ὁμώνυμον τῇ A
πόλει λίμνην οὖσαν ἀκούουσιν, ἀφ' ἧς καὶ αὐτὴ ἡ πόλις ὠνόμασται. διὸ καὶ Ὠκεανοῦ θυγατέρα αὐτὴν λέγει.

b. σὰν πόλιν: τὴν ἀπὸ σοῦ προσαγορευομένην καὶ χρη- AEQ
ματίζουσαν, διὰ τὸ ἐν ἀξιώματι.

10 a. βωμοὺς ἕξ: ἀφ' ἱστορίας τοῦτο εἴληφεν· ἱστορεῖ A
γὰρ περὶ τῶν ἓξ βωμῶν Ἡρόδωρος (FHG II, 36) γραμματικός· ἐλθὼν δὲ εἰς τὴν Ἦλιν τὸ ἐν Ὀλυμπίᾳ ἱερὸν ἱδρύσατο Διὸς Ὀλυμπίου καὶ Ὀλυμπίαν τοῦ θεοῦ ὁμώνυμον τὴν χώραν ἔθεντο. ἔθηκε δὲ αὐτῷ αὐτόθι καὶ ἄλλοις θεοῖς βωμοὺς ἓξ τῷ ἀριθμῷ σύμβολον τῶν ιβ' θεῶν, καὶ πρῶτον τὸν τοῦ Διὸς τοῦ Ὀλυμπίου, ᾧ σύμβωμον ἐποίησε τὸν Ποσειδῶνα· δεύτερον Ἥρας καὶ Ἀθηνᾶς· τρίτον Ἑρμοῦ καὶ Ἀπόλλωνος· τέταρτον Χαρίτων καὶ Διονύσου· πέμπτον Ἀρτέμιδος καὶ Ἀλφειοῦ· ἕκτον Κρόνου καὶ Ῥέας. καὶ ἐπὶ πέντε ἡμέρας ἦγον τὴν ἑορτὴν βουθυσίας ποιοῦντες καὶ ἀγῶνας ἐπιτελοῦντες.

10 b. βωμοὺς ἕξ: Ἡρόδωρός φησι τὸν Ἡρακλέα ἐν BCDEQ

---

1 βωμοὺς ἕξ pro l. praem. C 2 ἓξ] καὶ E 3 ὑπὸ BCE: ὑπὲρ DQv ‖ τοῦ θεοῦ E 4 σημείωσαι περὶ τῶν ιβ' βωμῶν ἢ μᾶλλον ς', ιβ' δὲ ἀγαλμάτων add. D 5—6 cfr. Germ. 185, 12 5 τὴν σὴν CQ 7 ὁμωνύμως: ego 10—11 cfr. Germ. 185, 13
10 σὰν πόλιν ego: οὖσαν πόλιν A τὴν σὴν οὖν EQ Thom.
11 διὰ τ(ὸ) ἐν ἀξιωματι A: ὦ Καμαρίνα EQ Thom.
12 β(ωμ)οῦς $A^{cp}$ 13 Ἡρόδοτος $A^{pc}$ ‖ γραμματικός b: γραμμάτα $A^{cp}$ 14 Διὸς b: δι' οὗ 16 ἔθεντο corruptum; ἔθετο b ‖ ἔθηκε ego: ἔθυσε ‖ αὐτόθι. καὶ b 16 sq. ἔθυσε δὲ αὐτῷ τῷ Διὶ καὶ τοῖς ἄλλοις θεοῖς καὶ ἐποίησε βωμοὺς cett. Müller FHG l. l.
16 βωμοὺς ⟨ἱδρυσάμενος⟩ (et infra συμβώμων) Christ
17 σύμβολ(ον) A: συμβώμων b συμφώνους? Schroeder 19 δεύτερον b: καὶ ‖ γ' etc. A 24 l. om. E ‖ Ἡρώ(corr. ex ό?)δοτος C Ἡρόδο(ο corr.)τος D

Ὀλυμπίᾳ ἱδρύσασθαι δώδεκα θεῶν ἀγάλματα, συμβώμους δὲ αὐτοὺς ποιῆσαι ἓξ βωμοὺς κατασκευάσαντα. c. ἄλλως· Ὀλυμπίασι βωμοί εἰσιν ἓξ δίδυμοι τοῖς δώδεκα θεοῖς ἀνιδρυμένοι, ἑνὸς ἑκάστου βωμοῦ δύο θεοῖς καθωσιωμένου· πρῶτος Διὸς καὶ Ποσειδῶνος· δεύτερος Ἥρας καὶ Ἀθηνᾶς· τρίτος Ἑρμοῦ καὶ Ἀπόλλωνος· τέταρτος Χαρίτων καὶ Διονύσου· πέμπτος Ἀρτέμιδος καὶ Ἀλφειοῦ· ἕκτος Κρόνου καὶ Ῥέας· ὥς φησιν Ἡρόδωρος. 7ᵇ C

A 13 a. ἀέθλων τε πεμπαμέροις: ὅτι πεμπάμερος ἢ πενθήμερος ὁ ἀγὼν λέγεται· πρὸς γὰρ ε΄ ἡμέρας ἄγεται, ἀπὸ ια΄ ἀρχόμενος ⟨καὶ⟩ λήγων εἰς ιε΄· καὶ στεφάνους ἔχει κη΄, οἷς στεφανοῦσι τοὺς νικῶντας.

BCDEQ 13 b. πεμπταμέροις ἁμίλλαις: ἐπειδὴ ἐπὶ πέντε ἡμέρας ἤγετο αὐτὰ τὰ ἀγωνίσματα [ἀπὸ ια΄ μέχρις ις΄].

BDEQ c. ἡνίκα οὖν ἐτελεῖτο τὰ ἆθλα τῶν πενθημέρων ἀγώνων, ἐγέραιρε τοὺς βωμούς· ἐκόσμησε δὲ τοὺς βωμοὺς νικήσας ἵπποις [τεθρίππῳ] καὶ ἡμιόνοις καὶ κέλητι.

B 13 d. πεμπταμέροις: ἐπεὶ ἐν πέντε ἡμέραις ἤγετο τὰ Ὀλύμπια, ἀπὸ ἑνδεκάτης μέχρις ἑξκαιδεκάτης.

A 15 a. μοναμπυκίᾳ τε: καὶ ἵπποις καὶ ἡμιόνοις καὶ

---

13 e. Tzetzes ad Lyc. 41: Τὰ δὲ Ὀλύμπια πέντε ἡμέρας ἐτελεῖτο, ἀπὸ ια΄ τῆς σελήνης μέχρι τῆς ὅλης ιε΄. Προεγυμνάζοντο δὲ πρῴην ἡμέρας λ΄.

---

1 δώδεκα] τῶν E 2 κατασκευάσαντα Beck: κατασκευάσας 3 Ὀλυμπίασι(ν) CQ (Beck): Ὀλυμπιὰς E Ὀλυμπιάδι Dv om. B 3. 4 ἐνιδρυμένοι Q ἀφιερωμένοι C 8 ὁ Ἡρώδοτος C Ἡρόδοτος D 9 πενταμέτροις A πενταμέροις cj. Mommsen ‖ πεντάμετρος 10 πρὸς] ft. ἐπὶ (V) 11 ἀρχόμενος ⟨καὶ⟩ ego: ἀρχομέν(ας?) ‖ λήγ(ων) 12 κη΄] ιη΄ Christ proll. LXXI ‖ οἷς ego: οἳ 13 πεμπταμέροις B(C)DQ: πεμπταμέτροις E ‖ ἁμίλλαις om. CQ 14 ἡμέρας CEQ: ἡμέραις BDv ‖ ἤγετο — ἀγωνίσματα] ἐγένετο τὰ Ὀλύμπια Q ‖ ἀπὸ — ις΄ HQv om. BCDE 15 ἡνίκα B: καὶ ἡνίκα DEQ ‖ πεμπταμέρων D 15. 16 ἐγέραιρε DEQ: ἐγέραιρον Bv 16 ἐκόσμησε — βωμοὺς om. D ‖ τὸν βωμὸν E ‖ νικήσας BDQ: ὡς νικήσας E ‖ ἵπποις] om. E ἵππῳ D 17 τεθρίππῳ seclusi ‖ καὶ ante ἡμιόνοις om. Oxon. ‖ ἡμιόνοις Q^{cp}v: ἡμίονος BDEG ‖ καὶ (ante κέλητι) E: om. BDGQv 20 μοναμπυκίας γε

*μοναμπυκίᾳ, ὅ ἐστι κέλητι· ἄμπυξ γὰρ κατὰ Θετταλοὺς ὁ χαλινός.*

15 b. *μοναμπυκίᾳ: μονοχαλίνῳ. νοητέον δὲ ἑνὶ ἵππῳ* **BCDEQ** *τῷ λεγομένῳ κέλητι. ἄμπυξ μὲν γὰρ κυρίως ἀνάδημα τῆς κεφαλῆς τι, καὶ λῶρος χρυσῷ καὶ λίθοις πεποικιλμένος, ὃν περὶ τὰς κεφαλὰς αἱ γυναῖκες φοροῦσι· μεταφορικῶς δὲ καὶ οἱ διάχρυσοι χαλινοὶ ἄμπυκες λέγονται· ὡς Ὅμηρος* (*E* 358)· *χρυσάμπυκας ἵππους· καὶ ἀλλαχοῦ* (*X* 469)· *ἄμπυκα κεκρύφαλόν τ' ἠδὲ πλεκτὴν ἀναδέσμην.*

16. *τὶν δὲ κῦδος: σοὶ δέ, ὦ νύμφη Καμάρινα, τὴν* **BCDEQ** *ἐκ τῆς νίκης δόξαν ἀνέθηκεν· ἀντὶ τοῦ, σοὶ χάριν ὁμολογεῖ ἐπὶ τῇ νίκῃ. ἔτι γε μὴν καὶ τὸν αὐτοῦ πατέρα τὸν Ἄκρωνα ἀνεκήρυξεν· ἐν γὰρ τῷ ἀγῶνι οἱ νικῶντες | καὶ ἀπὸ πατέ-* **CDEHQ** *ρων ἀνηγορεύοντο καὶ ἀπὸ προγόνων καὶ πόλεων. καὶ τὴν νέοικον οὖν ἕδραν ἀνηγόρευσεν, τὴν πόλιν αὐτοῦ τὴν νεωστὶ ἱδρυθεῖσαν καὶ οἰκισθεῖσαν. κτίζεται μὲν γὰρ ἡ Καμάρινα με´ Ὀλυμπιάδι· ἐπικρατησάντων δὲ Συρακουσίων πορθεῖται τῇ νζ´ Ὀλυμπιάδι· εἶτα ἐν τῇ πε´ Ὀλυμπιάδι τῷ μεταξὺ χρόνῳ καθ' ὃν ἐνίκησεν ὁ Ψαῦμις ἀνακτίζεται. εἰκότως οὖν αὐτὴν νέοικον ὀνομάζει.*

18. *ὃν πατέρ' Ἄκρων' ἐκήρυξεν: Ἄκρων ἐκαλεῖτο ὁ* **A** *πατὴρ Ψαύμιδος. ὁ γὰρ νικῶν πατέρα καὶ πατρίδα ἀνακηρύσσει.*

---

4 sch. T *E* 358. Hes., Suid., EM 86, 20. Ap. soph., Hes., Suid. *χρυσάμπυκας*. Zon. 1860

---

4—6 cfr. Mosch. 186, 14 5 *λώρῳ* **E** ‖ *χρυσοῦς καὶ λίθοις πεποικιλμένοις* **Q** 8 *ἵππους* om. **E** ‖ *ἄμπυκε* **D** *ἄμπυ* **E** om. **Q** 9 *τ' ἠδὲ*] *ἠδὲ* **Bv** *τ' ἢ* **Q**, om. *πλ. ἀναδ.* ‖ *πλεκτὴν*] *χρυσῆν* **E** 11 *ὁμολογῶ* **CE** 12 *καὶ*] *καὶ καὶ* **E** ‖ *αὐτοῦ* codd. 13 *νικῶντες*] des. f. 32ᵛ **B**; *ζήτει εἰς τὴν ἀρχὴν τοῦ βιβλίου* add. **B**²ᵐᵍ. Cfr. ad sch. 48 ‖ *καὶ* om. **Qv** 14 *καὶ* (ante *τὴν*) om. **Qv** 15 *ἀνηγόρευσεν* — 16 *ἱδρυθεῖσαν* om. **E** 16 *ἱδρυθεῖσαν καὶ οἰκισθεῖσαν* **D**: *καὶ οἰκισθεῖσαν* **E** *ἱδρυνθεῖσαν* **HQv** *κτισθεῖσαν* **C** 16—20 cfr. Thom. 188, 17 17 *τῶν Συρ.* **HQ** 18 *τὴν ζ´ Ὀλυμπιάδ(α)* **D** 18 sq. corrupta; 18 *πβ´* et 19 *μεταξὺ τοῦ χρόνου* Thom. 19; prob. Horn p. 31 18 *εἶτα* — *Ὀλυμπιάδι* om. **C** ‖ *τῷ* **EQ**: *ἐν τῷ δὲ* **C** *τὸν* **D** *τῷ τῷ* **H** 19 *χρόνον* **D** ‖ *ὃν*] *ἣν* **ΓΛ** ap. Thom. 20 *αὐτὸν* **E** 21 *Ἄκρων* (in l.) **A**ᵃᶜ

A 19a. *τὰν νέοικον ἕδραν*: νέοικον ἕδραν εἶπε τὴν Καμάριναν ὁ Πίνδαρος. σαφηνίζει Τίμαιος ἐν τῇ δεκάτῃ· εἰσὶ δὲ οὗτοι οἱ Καμαριναῖοι .... ὑπὸ τοῦ Γέλωνος τυράννου ἀνῃρέθησαν· εἶτα ὑπὸ Γελώων συνῳκίσθησαν ἐπὶ τῆς ... Ὀλυμπιάδος. ἡ δὲ ἅλωσις ἐγένετο κατὰ τὴν Δαρείου τοῦ Πέρσου διάβασιν.

CDEHQ 19b. *τὰν νέοικον ἕδραν*: Ἱπποκράτης ὑπὸ τοῦ τῶν Γελώων τυράννου ἀνῃρέθη· εἶτα ὑπὸ Γελώων συνῳκίσθη ἡ Καμάρινα κατὰ τὴν † μβʹ Ὀλυμπιάδα, ὥς φησι Τίμαιος (FHG I, 214)· διὸ καὶ νέοικον ἕδραν εἶπε τὴν πόλιν. ἡ δὲ ἅλωσις αὐτῆς ἐγένετο κατὰ τὴν Δαρείου τοῦ Ὑστάσπου στρατείαν.

ACDEHQ c. Φίλιστος ἐν γʹ (FHG I, 187) φησὶν ὅτι Γέλων Καμάριναν κατέσκαψεν· Ἱπποκράτης δὲ πολεμήσας Συρακουσίοις καὶ πολλοὺς αἰχμαλώτους λαβὼν ὑπὲρ τοῦ τούτους ἀποδοῦναι ἔλαβε τὴν Καμάριναν καὶ συνῴκισεν αὐτήν. ὁ γοῦν Πίνδαρος συνῳκισμένην οἶδε τὴν Καμάριναν.

A 19d. ὅτι δὲ περὶ τὴν πʹ ἐνίκησεν Ὀλυμπιάδα ὁ Ψαῦμις τῇ ἀπήνῃ, οὕτως συνορᾶται· καταλύεται γὰρ αὐτῇ τὸ ἀγώνισμα περὶ ὀγδοηκοστὴν εʹ Ὀλυμπιάδα· τῷ δὲ ἅρματι ἐνίκησε τὴν πβʹ· ὥστε τὴν παʹ Ὀλυμπιάδα ἐνίκησε τῇ ἀπηνῃ ὁ Ψαῦμις.

---

2 ⟨ὀκτὼ καὶ⟩ δεκάτῃ Horn n. 48 (male) 3 οἱ in lac. suppl. **b** ‖ ὑπὸ **b**: ἀπὸ ‖ Γέλω(νος) 4 Γελώων scripsi (cfr. ad 8): Γέλω(νος) 5 οθʹ suppl. **b**, πβʹ Horn p. 31 7 post Ἱπποκράτης ft. lac. statuenda ‖ τῶν om. **C** 8 Γελώνων **E** ‖ ἀπὸ **C** ‖ Γελώων Wesseling ad Diod. XI, 76: Γέλωνος ‖ ἀνῳκίσθη **D** 9 μβʹ] κβʹ **E** πβʹ Horn p. 31 ex recc. 7—9 ita constitui voluit **b**: Καμάρινα ὑπὸ Γέλωνος τοῦ τῶν Γ. τ. ἀνῃρέθη, εἶτα ὑπὸ Γελώων συνῳκίσθη κατὰ τὴν οθʹ Ὀ. (vix recte) 10 διὸ — πόλιν om. **D** 12 Φίλιστος **A**: Φίλιστος (-ιππος **E**) δὲ **V** ‖ ἐν γʹ φησὶν ὅτι **E**: ἐν τρίτῳ φ. ὅ. **A** ἐν τούτῳ φ. ὅ. **C** ἐν τῇ γʹ (ιγʹ **U**) φ. ὅ. **HU** φησὶν ὅτι **D** φησιν ὅτι ἐν τῇ τρίτῃ **Qr** ‖ Γέλων **V**: Γέλωνι **A** 13 κατέσκαψεν **A**: κατέστρεψεν **V** ‖ Ἱπποκράτης **V**: Ἱππότης **A** ‖ δὲ **V**: ὁ **A** ‖ πολεμήσας **A**: πολεμῶν **V** ‖ Συρ(ρ)ακουσίοις **V**: Συρρακουσίους **A** 14 τούτους ἀποδοῦναι **A**: ἀποδοῦναι τούτους **V** 15 συνῴκησεν **AC** ‖ αὐτῇ **A** 15. 16 ὁ γοῦν Π. σ. οἶδε **A**: οἶδεν οὖν ὁ Π. σ. **V** εἶδεν οὖν ὁ Π. σ. Beck 16 συνῳκισμένην **DHQ**: συγκτιζομένην **A** συνῳκιζομένην **E** συνοικιζομένην **C** 19. 20 ἐνίκησε **b**: ἐνίκησαν 20 ἐνίκησε Schroeder: ἐνίκησεν ἐν

20 a. *ἱκὼν δ' Οἰνομάου*: ἀπὸ τῆς Πίσης. b. περι- CEHQ
φραστικῶς ἀπὸ τῆς Πελοποννήσου ἐλθών. c. ὅτι καὶ ὁ
Οἰνόμαος ἐν Ὀλυμπίᾳ ᾤκει. d. *ἱκὼν* δὲ ἀντὶ τοῦ παρα- EHQ
γενόμενος.

20 e. ἄλλως· *ἱκὼν δ' Οἰνομάου ἕως τόνδε δᾶμον* CDEHQ
*ἀστῶν*: ὁ νοῦς· ἐλθὼν δὲ ἐκ τοῦ ἀγῶνος καὶ τῆς Πίσης
νικήσας ὑμνεῖ μὲν τὸ σὸν ἄλσος, ὦ πολιοῦχε Ἀθηνᾶ· ἀντὶ
τοῦ σὲ ὑμνεῖ· ὑμνεῖ δὲ καὶ τὸν ποταμὸν τὸν Ὤανον κα-
λούμενον καὶ τὴν ἐγχωρίαν λίμνην Καμάριναν· ὑμνεῖ δὲ καὶ
τοὺς ὀχετοὺς τοῦ Ἱππάριδος ποταμοῦ, ὅστις τοῖς μὲν ὀχε-
τοῖς αὐτοῦ ἄρδει τὸν ὅλον ὄχλον τε καὶ τόπον, προσκολλᾷ
δὲ καὶ προστίθησιν ἀδιαλείπτως ἄλσος μέγα καὶ τόπον πο-
λύν τε καὶ ὑψηλόν, ὡς δύνασθαι καὶ θαλάμους ἐξ αὐτοῦ
καὶ μεγάλας ποιεῖν οἰκίας· ἄγει δὲ τὸν δῆμον αὐτὸν εἰς
φῶς καὶ χαρὰν ἐξ ἀμηχανίας καὶ ἀπορίας, πάντα παρέχων.
λέγεται γὰρ καὶ ναυσίπορος εἶναι καὶ πολύιχθυς. καὶ ὁ
μὲν Ἀρίσταρχος βούλεται οὕτω, θαλάμων κατασκευὰς τὸν
Ἵππαριν τῇ Καμαρίνῃ παρέχειν· φησὶ γὰρ ὅτι διὰ μέσης
ῥέων τῆς Καμαρίνης τῇ πλημμυρίᾳ ἀναπλάσσει γῆν, ἀφ'
ἧς πλινθεύοντες οἱ Καμαριναῖοι οἰκοδομοῦσι τὰς οἰκίας.
προσπλάσσει δὲ γῆν ὡς καὶ ὁ Ἀχελῷος ταῖς Ἐχινάσι καὶ
ὁ Νεῖλος τῇ Αἰγύπτῳ. | ὁ δὲ Δίδυμος οὐ τοῦτο βούλεται· DEHQ
οὐ γάρ φησι τοσοῦτον πλημμυρεῖν ὡς δύνασθαι τῇ νεωστὶ
κατασκευασθείσῃ πόλει τοσοῦτον παρασχεῖν πηλὸν πρὸς

---

1 l.] *ἱκὼν δ' Οἰ. καὶ Πέλοπος* **E** ‖ *τῆς* om. **CH** 1. 2 *περιφρ. δὴ* **E** ‖ *τῆς* om. **CE** ‖ *Πελοπονήσου* **CEH** 3 *ᾤκει* om. **E** 5 *ἄλλως* om. **CDE** ‖ *Οἰνομάου* **CHQ**: *Οἰ. καὶ Πέλοπος* **DE** ‖ *ἕως — 6 ἀστῶν* om. **D** 5 *ἕως*] *ἕως τοῦ* **C** 6 *Πίσης* **DHQ**: *Πίσσης* **CE** *Πίσσης καὶ* **D** 7 *μὲν*] *δὲ* **Qv** ‖ *Ἀθηνᾶ* **Ev**: *Ἀθήνη* **C** *Παλλὰς Ἀθήνη* **D** *Παλλὰς Ἀθηνᾶ* **H** ‖ *ἀντὶ τοῦ — 10 ὅστις*] *καὶ τὸν Ἵππαριν ὃς* **C** 8 *Ὤανον* **CEH**: *Ὤαννον* **D** *Ὤανιν* **Q** 9 *δὲ* om. **EH** 11 *αὐτοῦ*] om. **C** *αὐτοῖς* **E** ‖ *τε καὶ*] *καὶ τὸν* **Qv** 14 *αὐτὸν* **CDE**: *αὐτῶν* **HQv** 15 *ἀμηχανίας καὶ*] *ἀμηχάνου* **E** ‖ *εὐπορίας* **v** (corr. Beck) 17 *θαλάμω* **E**[pc] (eras. *ν*) ‖ *κατασκευὰς τὸν* **b**: *κατασκευαστὸν* **Ev** *κατασκευαστ(ὴν?)* **DH** *κατασκευαστὴν* **CQh** 18 *παρέσχεν* **v** ‖ *φησὶ* **CDE**: *φασὶ* **HQv** 19 *πλημμυρίδι* **C** ‖ *ἀφ' ἧς — 21 γῆν* om. **E** 21 *ὡς καὶ* **EH**: *ὡς* **CQv** *καὶ* **D** 22 *ὁ* — p. 146, 1 *φησιν* post 2 *Καμαριναίων* **D**,

πλινθοποιίαν. ἀλλὰ τοῦτό φησιν, ὅτι ὁ ποταμὸς διὰ μέσης τῆς ὕλης ῥεῖ· εἶτα κοπτόντων τῶν Καμαριναίων τὰ ξύλα εἰς κατασκευὴν οἴκων, ἀμηχανούντων δὲ πρὸς τὴν καταγωγὴν, ὑποδέχεσθαι καὶ τῷ πολλῷ ῥεύματι κατάγειν εἰς τὴν
EHQ πόλιν. | οὕτω καὶ τὸ ταχέως προσκεῖσθαι τῷ λόγῳ φαμέν. 27 C

HQ 21 a. παρ' εὐηράτων σταθμῶν: ἐπεράστων οἴκων· νῦν γὰρ καταχρηστικώτερον σταθμῶν τῶν οἴκων. λέγει δὲ ἀπὸ τῆς Ὀλυμπίας.

E^mg 21 b. γράφεται εὐηλάτων· ἔνθα αἱ ἱππηλασίαι γίνονται.

CDHQ 22. πολιάοχε: Καμαριναίων θεὸς ἡ Ἀθηνᾶ καὶ διὰ πλείστης τιμῆς παρ' αὐτοῖς οὖσα ἡ θεός. καὶ Ἀθήναιον ἐπίσημον ἐν Καμαρίνῃ. εἰς τοῦτο δὲ εἰώθει ὁ κῶμος ἄγεσθαι ἐπὶ τῇ νίκῃ καὶ ὁ ὕμνος ᾄδεσθαι.

A 25 a. [Ὤανον:] Ἀθηνᾶς ἱερὸν ἐπίσημον ἐν Καμαρίνῃ.

CHQ 25 b. ποταμόν τε Ὤανον: ποταμὸς ἐν Καμαρίνῃ Ὤανος. c. τοὺς δὲ ἱεροὺς τόπους ἄλση εἰώθασι λέγειν. 34 C

A 27 a. Ἵππαρις: ὁ Ἵππαρις λέγεται τὰς ῥύσεις τῶν ὑδάτων ἔχειν οὐχ ὁμοίας, ἀλλὰ τὴν μὲν γλυκεῖαν, τὴν δὲ πικράν· ὅπερ κρύπτων ὁ ποιητὴς σεμνοὺς ὀχετοὺς λέγει. Ἵππαρις δὲ ποταμὸς Σικελίας·

. . . . καὶ Καμάριναν, ἵν' Ἵππαρις ἀγκύλον ἕρπει.

b. Ἀρίσταρχος παριέναι φησὶ τὸν Ἵππαριν τὴν πόλιν καὶ προσχωννύντα ἰλὺν ἀναπλάσσειν αὐτῇ γῆν, καθάπερ τὸν

---

repet. deinde 1 ὅτι — 2 Καμαριναίων 2 κοπτόντων **D** (Beck e cj.): κόπτει **E** κόπτων **HQv** 3 post κατασκευὴν add. δίδωσιν **EHQv** ‖ οἴκων **DE**: οἰκημάτων **HQv** ⟨τῶν⟩ οἰκημάτων Beck (om. δίδωσιν) ‖ τὴν] om. **E** τὴν τούτων **D** 4 ὑποδέχεσθαι καὶ **HQ**: ὑποδέχεσθαι **E** αὐτὸς ὑποδεχόμενος **D** ‖ κατάγει **D** 5 τὸ om. **E** ‖ τῷ λόγῳ προσκεῖσθαι **Qv** 7. 8 οἴκων λέγει· ἀπὸ **Q**, om. δὲ (cum v) 10 l.] om. **C** ὦ πολιοῦχε **D** πολιάοχε Παλλάς **v** ‖ καὶ διὰ πλείστης] διὰ πλείστης δὲ **C** 12 Καμαρίνῃ] Κ. ἔχει **C** ‖ εἰς τοῦτο **D** εἰς τοῦτον **C**: τούτῳ **HQv** 13 καὶ — ᾄδεσθαι om. **D** ‖ ὁ om. **Qv** 14 gl. pertinet ad ἄλσος ἀγνόν 15 Ὤανον **CGH** Ὤανιν **Qb** Ὥανιν **v** 16 Ὤανος **GH** Ὤαντος **C**: Ὤανις **Qb** Ὥανις **v** ‖ τόπους **U**: ποταμοὺς ‖ εἰώθεισαν **U** 18 ὁμοίας ego: ὁμοῖος **A** ὁμοίως **b** 21 . . . .] φησ ὡ fere **A^cp** φήσω **b** ‖ ἵνα Ἵππαρις ‖ ἀγκύ(λον) ‖ ἕρπει **b**: ἕρπη 23 προσχωννύντα ἰλὺν ἀναπλάσσειν ego: προέχων νυνὶ συναναπλά(σσειν) **A** προσχέοντα συναναπλάσσειν **b**

Ἀχελῷον ταῖς Ἐχινάσι νήσοις καὶ τὸν Νεῖλον τῇ Αἰγύπτῳ· κολλᾷ οὖν ἀντὶ τοῦ προσαναπλάσσει γῆν. τοῦτο δέ φησιν ὁ Δίδυμος ἀμάρτυρον εἶναι· οὐ γὰρ ἱστορεῖται περὶ τὸν Ἵππαριν καὶ τὴν Καμάριναν τοῦτο γενόμενον· οὐ γὰρ πλημμύρᾳ χρῆται ὁ ποταμὸς καταφερόμενος. βέλτιον οὖν οὕτως τινές· ἐπειδὴ ἐξ ὑπογυίου συνῴκισται ἡ Καμάρινα, καθὰ καὶ νέοικον αὐτὴν προσηγόρευσε, γειτνιᾷ δὲ Ἵππαρις αὐτῇ, κατὰ τοῦτο φάναι ἐπὶ τοῦ συνοικισμοῦ κολλᾶσθαι ὑπ' αὐτοῦ σταδίων θαλάμων ταχέως ὑψίπυργον ἄλσος, ἐπεὶ τὰ ἐπιτήδεια πρὸς τὴν οἰκοδομὴν διὰ τοῦ κατάπλου προσεκομίζετο ὥστε ποιεῖν σταδίους θαλάμους.

27 c. Ἵππαρις: ποταμὸς οὗτος ἐν Καμαρίνῃ. ἔστι δὲ **CDEHQ**
αὐτοῦ τοῦ ῥεύματος τὸ μέν τι γλυκὺ, τὸ δὲ ἁλμυρόν· διὸ καὶ τὸν Πίνδαρον εἰρηκέναι σεμνοὺς ὀχετοὺς ἀναστέλλοντα.

29 a. κολλᾷ τε σταδίων: εὖ ἑστώτων. ἑδραίων. **CDEHQ**
b. ὅτι προσχώννυσι καὶ προστίθησί τινα τῇ πόλει γῆν. c. κολλᾷ οὖν ἀντὶ τοῦ προσαναπλάσσει. d. τὸ δὲ σταδίων θαλάμων ἄλσος ἀντὶ τοῦ πρὸς οἰκοδομὴν ἐπιτήδειον οἴκων.

29 e. ἄλλως· κολλᾷ τε σταδίων: Ἀρίσταρχός φησιν **CEHQ**
ἰλὺν καταφέρειν τὸν Ἵππαριν ὡς καὶ τὸν Νεῖλον· ἐκ δὲ τῆς ἰλύος κατασκευάζεσθαί φησιν ἄλση· κυρίως γὰρ ἀκούεσθαι τὰ ἄλση. οὐκ ἔστι δὲ, ἀλλ' ὑψίγυια ἄλση τοὺς οἴκους φησὶ παρὰ τὸ ἑστάναι ὡς τὰ ἄλση. f. ἄλσος δὲ **CDEHQ**
θαλάμων, τὸ πλῆθος τῶν οἴκων, τουτέστιν αὐτὴν τὴν πόλιν, | ὡσεὶ ἔλεγε δένδρων ἄλσος. σταδίων δὲ οἷον ἑδραίων. **DEHQ**
g. ὁ οὖν Ἵππαρις κολλᾷ καὶ προστίθησιν ἐπὶ τῇ πόλει τοὺς θαλάμους, καθὸ δι' αὐτοῦ εἰσκομίζεται τὰ πρὸς τὴν κατασκευὴν ὑπουργήματα, καὶ διὰ τοῦτο αἴτιος τοῦ τὰς οἰκίας κατασκευάζεσθαι. μεσόγειος γάρ ἐστιν ἡ χώρα.

---

8 συνοικισμοῦ **b**: συνωκισμοῦ 9 ὑψίγυιον cj. **b** 10. 11 προσεκομίζετο **b**: προεκομ. 12 οὗτος om. **DE** ‖ Καμαρίνᾳ **E** 13 αὐτῷ **C** 14 τὸν om. **Qv** 16 sch. b post c trp. **C** 17 γοῦν **Qv** ‖ προσαναπλάττει **DH** 19 ἄλλως et l. om. **C** 21 ante κυρίως lac. stat. Horn, quam e recc. sic explevit: ⟨ὑψίγυιον ἄλσος τὰ μεγάλα καὶ ὑψηλὰ ξύλα λέγει.⟩ κυρίως γὰρ ⟨δεῖ⟩ ἀκ. κτλ. 23 φασὶ **Qv** (corr. Beck) 26 ἐπὶ] περὶ **v** 27 τὴν om. **EQv**

CDEHQ h. ἄλλως· θάλαμος κυρίως ἐστὶν οἶκος ἐν ᾧ κατακλείονται αἱ νυμφευόμεναι, ὅτι θάλλουσαι τῇ ἡλικίᾳ συνέρχονται γάμῳ· καταχρηστικῶς δὲ νῦν ὅλας τὰς οἰκίας θαλάμους εἶπεν ὁ Πίνδαρος. 22 C 37 D

A 31 a. ὑψίγυιον ἄλσος: ὑψηλὸν ἀπὸ τῆς γῆς. b. ἔχον μακροὺς κλάδους, τουτέστι ξύλα μακρὰ οἷς †λακτίζουσι καὶ ὀροφοῦσι τοὺς θαλάμους.

E 31 c. ὑψίγυιον: ὑψηλόν. d. πρὸς οἰκοδομίαν χρήσιμον.

E 32. ὑπ' ἀμηχανίας: ὑπ' ἀπορίας.

CDEHQ 34 a. αἰεὶ δ' ἀμφ' ἀρεταῖσιν: ὡμολόγηται ὅτι ἕνεκα τοῦ κτήσασθαι ἀρετὴν καὶ πόνους τις καὶ μεγάλας δαπάνας καταβάλλεται καὶ πρὸς πᾶν ἔργον ἐπικίνδυνον ἀπομάχεται

CEHQ ἡ δαπάνη καὶ ὁ πόνος. b. κινδύνῳ δὲ κεκαλυμμένον εἶπε νῦν, ἐπειδὴ οὐ μόνον ἄδηλός ἐστι τοῖς τὰ ἑαυτῶν δαπανῶσιν ἡ ἐν Ὀλυμπίᾳ νίκη, ἀλλ' ὅτι καὶ πλεῖστοι τῶν ἀγωνιζομένων ἀπέθανον ἐν τῷ σταδίῳ. τοῦτο δὲ οὐκ ἔστι πρόδηλον, οὐδὲ γὰρ πᾶσι συμβαίνει, ἀλλὰ κεκάλυπται ὁ τοιοῦτος κίνδυνος τῇ ἀδηλίᾳ. ἐνδείκνυται δὲ ὅτι οὐ μικρόν ἐστι νικῆσαι Ὀλύμπια. 41 D

A 34 c. πόνος δαπάνα: πονεῖν ἔφη καὶ δαπανᾶν τοὺς ὀρεγομένους ἀρετῆς· καὶ πόνον μὲν τὴν γυμνασίαν εἶπε, δαπάνην δὲ τὴν ἱπποτροφίαν. (Hes. O. et D. 289)·

τῆς ἀρετῆς ἱδρῶτα θε⟨οὶ προπάροιθεν ἔθηκαν⟩.

d. τὸ ἀγωνίζεσθαι οὐκ ἐκτός ἐστι κινδύνου διὰ τὸ ἄδηλον τῆς τύχης. οἱ δὲ λέγουσιν ὅτι μετὰ κινδύνου ἐνίκησεν ὁ ὑμνούμενος.

A 36 a. κινδύνῳ κεκαλυμμένον: πρὸς τὴν νίκην· ἄδηλος γάρ ἐστιν αὕτη τοῖς ἀγωνιζομένοις.

---

1 EM 441, 13. Hes. θάλαμος

---

1 καταλύονται E 2 ὅτε b (ὅτι et G) || συνέργονται QU 5 ἄλσος A[ac] 8 ὑψίγυον 11 l. πόνος δαπάνα τε μάρναται add. E 14 ἡ — πόνος om. E || κεκαλ(λ)υμμένῳ EHv || εἶπον E 15 ἄδηλος v: ἄδηλον 22 post ὀρεγομένους ras. 2 litt. 24 θε⟨οὶ cett.⟩ b: θετέον A. Ft. plura exciderunt 28 κεκαλυμμένος A, bis scr.

36 b. *ἔργον κινδύνῳ*: τῇ ἀδηλίᾳ· ἄδηλος γὰρ ἡ τῆς E
νίκης ἔκβασις. c. *πρὸς ἔργον*: τὴν νίκην λέγει, ὅτι
ἄδηλός ἐστιν.

37 a. *εὖ δὲ ἔχοντες*: εὐδαιμονήσαντες δὲ καὶ σοφοὶ A
καὶ λόγιοι τοῖς πολίταις ἔδοξαν εἶναι.

37 b. *εὖ δὲ ἔχοντες*: εὖ δὲ πράξαντες οἱ ἀρετῆς ἀντι- CDEHQ
ποιούμενοι, ὅ ἐστιν ἐπιτυχόντες οἱ νικήσαντες, καὶ σοφίας
δόκησιν ἔχουσιν. c. ἄλλως· οἱ ἐνάρετοι καὶ πονοῦσιν ἅμα CEHQ
καὶ ἀναλίσκουσιν ἕνεκα τοῦ ἀρετὴν κτήσασθαι. d. ἢ οὕτω·
παρὰ σοί, Ψαῦμι, ἕνεκα τῶν ἀρετῶν ὁ πόνος τῇ δαπάνῃ
μάχεται· καὶ γὰρ δαπανᾷς καὶ ταλαιπωρεῖς.

37 e. *σοφοὶ καὶ πολίταις*: οἱ γοῦν εὐδαιμονήσαντες CDEHQ
καὶ καλῶς διάξαντες κατὰ τὸν βίον ἤδη που καὶ σοφοὶ καὶ
λόγιοι ἔδοξαν εἶναι παρὰ τοῖς πολίταις.

39 a. *σωτὴρ ὑψινεφές*: Ἀττικῶς ἀντὶ τοῦ ὑψινεφής. CDEHQ
b. Ζεῦ, ὅστις σωτὴρ τυγχάνεις καὶ τῶν ἐν ὕψει νεφελῶν
κρατεῖς τόν τε λόφον οἰκεῖς τοῦ Κρόνου. c. Κρόνιον δὲ
ὄρος ἐστὶν ἐν τῇ Πίσῃ ἱερὸν Κρόνου. 42 C 34 D

41 a. *τιμῶν τ' Ἀλφεόν*: καὶ τιμῶν καταξιῶν καὶ τὸν DHQ
Ἀλφειὸν ποταμόν. b. ἀπὸ δὲ μέρους τὴν Ἦλιν λέγει, διὰ CDHQ
τὸν ἀγῶνα. 53 C

42 a. *Ἰδαῖόν τε σεμνὸν ἄντρον*: Ἰδαῖον ἄντρον ἐν A
Ἤλιδι Δημήτριος ὁ Σκήψιος νέων διακόσμου ἱερὸν Διός.
ἔνιοι δὲ νομίζοντες μὴ τῶν ἐν Ἤλιδι χωρίων αὐτὸν μεμνῆ-

---

(15) Herodian. II, 695, 22

---

6 δ' ἔχοντες CD 12 l. (H)Q: om. C σοφοί D σοφοὶ πολίταις E 13 διώξαντες E 15 l. Ζεῦ add. EH ‖ Ἀττικὸν CDE 16 Ζεύς E ‖ νεφῶν E 17 κρατεῖς τὸν b (κρατεῖς κράτιστον h): κράτιστον ‖ κατοικεῖς Qv 18 Πίσσῃ CDE ‖ τοῦ Κρόνου Q 19 l. et C ‖ καταξιῶν καὶ τιμῶν D, om. καὶ utroque. Delevi virgulam post τιμῶν 20 δὲ et λέγει om. C 23 Σκήψιος b: σκῆψις ‖ νέων διακόσμου A prave: νεὼν δ. b νεῶν διακόσμου ... id. praef. sch. p. XXII ἐν νεῶν διακόσμῳ Gaede Dem. Sc. quae supers. (diss. Gryphisw. 1880) n. 74 (fr. 54) ἐν ε' (vel ιε') διακόσμου Bergk ind. lect. Marb. 1844/5 p. 17; et in νέων numerus latet

σθαι ὑπέλαβον μνημονεύειν Ἴδης τῆς ἐν Κρήτῃ ἢ τῆς ἐν Τροίᾳ. οὕτως Θέων φησίν.

**CDEHQ** 42 b. *Ἰδαῖόν τε σεμνὸν ἄντρον*: τὸ Κρητικὸν ὄρος, ἔνθα ἀνετράφη ὁ Ζεὺς ὑπὸ τῶν Κουρήτων φρουρούμενος. ἄντρον δὲ τὸ σπήλαιον λέγει. μέμνηται δὲ τῆς ἀνατροφῆς τοῦ Διὸς καὶ ὁ Καλλίμαχος ἐν ὕμνοις (I, 46 sqq.).

**A** 44 a. *ἱκέτας σέθεν*: παρακαλῶ σε, Ζεῦ, Λυδίαις ὑμνῶν εὐρυθμίαις φυλάττειν τὴν Καμάριναν ἐν νίκαις καὶ ἀνδρείαις.

**DHQ** 44 b. *ἱκέτας σέθεν ἔρχομαι*: ἡ ἀνταπόδοσις τῆς ἐπικλήσεως· ὦ Ζεῦ, ἱκέτης σου ἔρχομαι· ἵν' ᾖ· ἱκετεύω σε, Ζεῦ.

**A** 44 c. *Λυδίοις ἀπύων*: Λυδιστὶ ἡρμοσμένοις. Πτολεμαῖος δὲ ὁ ἐπιθέτης τοὺς ἐν Λυδίᾳ αὐλούς φησι πρωτεύειν ἐν τῇ τέχνῃ.

**CDEHQ** 44 d. *Λυδίοις ἀπύων*: ἀντὶ τοῦ βοῶν, ᾄδων.

**DEH** e. αἰτήσω σέ, φησιν, ὦ Ὀλυμπιόνικε Ψαῦμι, καὶ σὲ τοῖς ἵπποις ἐπιτερπόμενον εὔθυμον ἔχειν γῆρας καὶ φέρειν σε ἐπὶ τελευτὴν υἱῶν παρισταμένων.

**CEHQ** 44 f. ἄλλως· *Λυδίοις ἀπύων ἐν αὐλοῖς*: βοῶν. ᾄδων.

g. ἢ ὅτι αἱ λεγόμεναι γλωσσίδες τῶν αὐλῶν ἐν Λυδίᾳ γίνονται, ἢ ὅτι τοὺς μετὰ Πέλοπος ἐλθόντας πρώτους αὐλητὰς οἱ Ἕλληνες ἐμιμήσαντο. γλυκὺ δὲ τὸ Λύδιον μέλος.

**CDEHQ** h. ἔρχομαι οὖν αἰτήσων σε διὰ Λυδίου μελῳδίας ὥστε σε ταύτην τὴν πόλιν, τὴν Καμάριναν, ταῖς εὐανδρίαις καὶ

**DEHQ** ταῖς εὐφημίαις αὔξειν καὶ ἀγάλλειν. i. εὐρυθμίαις δὲ Λυδίαις, Λυδιστὶ ἡρμοσμέναις.

---

21 Plut. de mus. 15. Paus. 9, 5, 4(?)

---

1 ἢ τῆς **b**: ἥττης 5 ἄντρον — λέγει om. **C** || δὲ om. **E** 10 l. om. **D** || ἔρχομαι om. **v** 11 Ζεῦ (alt.)] ὦ Ζεῦ **v** 12 Λυδιστὶ **b**: Λυδίοις 15 βοᾷ **E** 16 αἰτήσων **Ev** || Ψαῦμι — 17 ἔχειν post 18 παρισταμένων **E** 17 ἐπιτρεπ. **E** 18 τελευτῇ **E** 19 ἄλλως om. **E** 21—22 cfr. Thom. 193, 12 23 οὖν om. **D** || αἰτῆσαι **E** || Λυδίου] τῆς Λυδ(ίας?) **C** || μελῳδίας **CHQ**: μέλους **E** μελῳδίας γλυκέος ὑπάρχοντος **D** 24 σε om. **CE** 24. 25 ταῖς εὐφ. καὶ ταῖς εὐανδρ. **Qv** || εὐφημίαις] εὐθυμίαις **E** εὐφ. καὶ ταῖς εὐθυμίαις **D** || εὐρυθμίαις Fähse syllog. p. 405 (cfr. **A** sch. 44ᵃ): εὐθυμίαις **GHQv** εὐφημίαις **DE** (id. cj. Beck) αὐλῳδίαις cj. **h** 26 Λυδίαις] Λυδίαισι **DE**

46. *αἰτήσων πόλιν εὐανορίαις*: αἰτήσω δὲ σέ, φη- **A**
σιν, Ὀλυμπιόνικε Ψαῦμι, σὲ τὸν ἵπποις τοῦ Ποσειδῶνος
ἐπιτερπόμενον (τῆς γὰρ ἱππικῆς ἔφορος ⟨ὁ θεός⟩), εὔθυ-
μον ἔχειν γῆρας καὶ φέρειν εἰς τὴν τελευτὴν, υἱῶν σου
παρισταμένων.

48. *σέ τ' Ὀλυμπιόνικε*: πάλιν ἀπέστρεψε τὸν λόγον **CDEHQ**
πρὸς τὸν Ψαῦμιν· καὶ σὲ ἦλθον αἰτήσων, ὦ τὰ Ὀλύμπια
| νενικηκὼς, ταῖς ἵπποις ἐπιτερπόμενον· Ποσειδανίαισι δὲ, **BCDEQ**
ἐπεὶ φίλιππος ὁ θεός· | μέχρι τῆς τελευτῆς σου τοῦ βίου **BDEQ**
διάγειν ἐν εὐθυμίᾳ καὶ τὸ γῆρας τοῖς καλοῖς τέρπειν. 41 **C**

53 a. *υἱῶν Ψαῦμι*: ἢ εὔχεται παῖδας αὐτῷ γενέσθαι, **A**
ἢ ὑπὲρ τῶν ὄντων καὶ παρεστώτων αὐτῷ.

53 b. *υἱῶν, Ψαῦμι, παρισταμένων*: παρεστώτων **BCDEQ**
σοι, ὦ Ψαῦμι, καὶ υἱῶν. ἴσως δὲ ὡς πρὸς τέλεον ἄπαιδα·
ἢ ὡς ἐπιθυμοῦντα ἀρρένων παίδων· | ἢ ὡς λοιπὸν παρεστώ- **BDEQ**
των αὐτῷ καὶ παίδων.

54 a. *ὑγίεντα*: τὸν μετὰ ὑγείας· ἢ τὸν ἄθραυστον καὶ **A**
ὑγιῆ. b. ὁ μὲν Ἀρίσταρχος ἀναγινώσκει ὀξύτονον τὴν
παραλήγουσαν ἀντὶ τοῦ ὑγιαίνοντα· τινὲς δὲ ὡς χαρίεντα.
c. εἰ δὲ πλοῦτον ἔχει τις μεθ' ὑγιείας, διοικῶν αὐτὸν καὶ
δαπανῶν ὅπως πρεπῶδές ἐστιν, τύχῃ δὲ καὶ ὕμνῳ εὐφη-
μεῖσθαι, μὴ ζητείτω θεὸς γενέσθαι· ταῦτα γὰρ αὐτῷ ἱκανά.

54 d. *ὑγίεντα δ' εἴ τις ὄλβον*: τὴν μεθ' ὑγείας **BCDEQ**
εὐδαιμονίαν. e. ὁ δὲ νοῦς· ὁ δὲ τὸν πλοῦτον καὶ τὴν
εὐδαιμονίαν αὔξων ἐν ἑαυτῷ καὶ οὕτως ἐπαρκῶν τῇ περι-
ουσίᾳ καὶ διοικῶν τὴν ὕπαρξιν ὥστε καὶ εὐφημίας αὐτῷ
προσγενέσθαι, οὗτος μὴ ζητείτω ἔτι καὶ θεὸς γενέσθαι.

---

54 f. Choerobosc. in Theodos. can. p. 204, 22 G. (209, 4 Hilg.): *παραφυλαττόμεθα δὲ παρὰ τῷ Πινδάρῳ τὴν αἰτιατικὴν λεγομένην ὑγίεντα· ὡς ἀπὸ εὐθείας γάρ ἐστι παραληγομένης δηλονότι τῷ ἰῶτα, ὡς ἀπὸ τοῦ ὑγίεις.*

---

3 ὁ θεὸς add. **b** 4 ft. σοι 6 l. om. **CD** 8 inc. f. 33ʳ **B** || ἐπιτρεπ. **E** 13 l. om. (**C**)**DQ** 14 τέλεον **BCD**: τελείων **E** τέλειον **Qv** 15 λοιπὸν **BE**: λοιπῶν **DHQ** 19 ὑγιαίνοντα **b**: ὑγιαίνοντι 21 πρὸς τῇ τύχῃ δὲ καὶ ὕμνῳ εὐφημεῖται **b** 25 καὶ **BE**: ὁ καὶ **CDQ** 27 γενέσθαι] γενέσθαι καὶ μετὰ τὸ (τοῦτο Germ.) εὖ λεγόμενος παρὰ τοῖς ἀνθρώποις **H** (Germ.)

A 55 a. ὄλβον: τὸν ἐξ ὑγιοῦς ὄλβον. b. εἴ τις ἄρδοι: οἷον εἴ τις ἐπιμελούμενος τοῦ ἀπὸ τῶν καλῶν συναγομένου πλούτου τοῦτον αὔξει ἱκανὸς ὢν τοῖς κτήμασι καὶ προσκτώμενος εὐλογίαν, μὴ ζητείτω θεὸς γενέσθαι· ταῦτα γὰρ αὐτῷ ἱκανά.

A 56. κτεάτεσσιν: ἀπ' εὐθείας τῆς κτέατος Δωρικῶς· τὰ γὰρ εἰς ον εἰς ος ποιοῦσιν, ὡς παρ' Ὁμήρῳ (Η 475)· ἀνδραπόδεσσιν.

DQ τέλος.

---

## Scholia in Olympionicarum carmen VI.

AC Ἀγησίᾳ Συρακουσίῳ ἀπήνῃ. sch. inscr. A

BDEFQ Ἀγησίᾳ Συρακουσίῳ υἱῷ Σωστράτου ἀπήνῃ.

EFQ Ἀγησίᾳ Συρακουσίῳ ἀπήνῃ υἱῷ Σωστράτου.

ADE Τοῦ ς' εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστὶν ια'. τὸ α' ἐστιν ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ β' προσοδιακὸν δίμετρον ἀκατάληκτον. τὸ γ' προσοδιακὸν τρίμετρον ἀκατάληκτον, α' χοριάμβου, β' ἰωνικοῦ, γ' χοριάμβου. τὸ δ' ἐγκωμιολογικόν. τὸ ε' Εὐριπίδειον. τὸ ς' προσοδιακὸν ὑπερκατάληκτον δίμετρον. τὸ ζ' ἰαμβέλεγος. τὸ η' ἴαμβος τρίμετρος. τὸ θ' ὅμοιον τῷ ἕκτῳ. τὸ ι' ἐγκωμιολογικόν. τὸ ια' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον.

---

6 Herodian. I 391 (= II 772, 35 = II 936, 21). EM 542, 8

---

3 αὔξει ego: αὔξειν 7 εἰς (alt.) **A**: ἐξ **b** (e Red. male lecto) 11 ὡς δὲ ἔνιοι Στυμφηλίῳ υἱῷ add. **D** 12 νικήσαντι (-τι m. 2) τὴν πε' (πε' m. 2 in ras.) Ὀλυμπιάδα add. **F** 13 ἐστὶν **A**: om. **V** 14 ια' corr. ex ιθ' **A** ‖ ἐστὶν **A**: om. **V** 15 προσοδικὸν semper **E** ‖ τὸ γ' — 16 ἀκατάληκτον in mg. **A** 15 προσοδιακὸν (alt.)] ἀνακλώμενον προσοδ. **D** 15. 16 τρίμετρον **DQv**: δίμετρον **AE** ‖ α'] τὸ α' **A**, item τὸ β', τὸ γ' ‖ χοριάμβου **D** (Tzetzes): χοριαμβικοῦ **AEQv** 18 δίμετρον om. **A**; ft. ante ὑπερκ. transponendum est ‖ ἴαμβος ἔλεγος **A** ἰαμμέλεγος **E** 19 ἰάμβ' **A** ‖ τρίμετρον **D** (δίμετρον Tz.) ‖ ὁμοίως **A**? **E** 20 ἐγκωμιολογικόν **AEQ**: ἐγκ. λειπούσης τῆς τελευταίας συλλαβῆς **D** (Tzetzes)

ἡ δὲ ἐπῳδὸς κώλων ιδ΄. τὸ α΄ ἐγκωμιολογικὸν παρὰ μίαν τοῦ πενθημιμεροῦς ἰαμβικοῦ. τὸ β΄ προσοδιακὸν δίμετρον ἀκατάληκτον. τὸ γ΄ Στησιχόρειον τῷ Πινδαρικῷ ἰδιώματι· ὁ γὰρ τελευταῖος ἀντὶ τροχαίου ἴαμβον ἔχει. τὸ δ΄ ἀναπαιστικὸν μονόμετρον ἀκατάληκτον. τὸ ε΄ ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ϛ΄ ἰωνικὸν μονόμετρον ὑπερκατάληκτον, [ἢ ἀναπαιστικὸν δίμετρον]. τὸ ζ΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ η΄ Εὐριπίδειον. τὸ θ΄ ὅμοιον τῷ β΄ τῆς στροφῆς κατὰ τὸ ἔθος τῶν ἰωνικῶν ἀπὸ βραχείας. τὸ ι΄ δακτυλικὸν πενθημιμερές. τὸ ια΄ ὅμοιον τῷ β΄ τῆς στροφῆς. τὸ ιβ΄ δακτυλικὸν τρίμετρον καταληκτικόν. τὸ ιγ΄ προσοδιακὸν ἀπὸ χοριάμβου. τὸ ιδ΄ Στησιχόρειον. 7 A

Inscr. a. Τὸν Ἀγησίαν οἱ μὲν Συρακούσιον, οἱ δὲ Στυμφάλιον. οἱ δὲ χρόνοι τῆς ᾠδῆς οἱ πρὸ τῆς καταλύσεως τοῦ τῆς ἀπήνης ἀγωνίσματος· κατελύθη δὲ περὶ τὴν πε΄ Ὀλυμπιάδα. ἄπορον δὲ τὴν πόστην Ὀλυμπιάδα ἐνίκησεν. A

Inscr. b. Ἀγησίᾳ Συρακουσίῳ: ὡς μὲν ἔνιοι, Συρακουσίῳ, ὡς δὲ ἔνιοι, Στυμφηλίῳ, υἱῷ Σωστράτου, ἀπήνῃ. BCEQ

---

1 τῆς ἐπῳδοῦ τὰ κῶλα ante ἡ δὲ ἐπ. praem. **E** ‖ ἡ δὲ ἐπῳδὸς] καὶ ἡ ἐπῳδὴ **D** ‖ παρὰ **EQ**: περὶ **D** Tzetzes ἐπὶ **A** 2 μίαν **A**: μίαν συλλαβὴν **DQ** om. **E** ‖ τοῦ] δευτέρου Tzetzes ‖ ἰαμβικοῦ **AQ**: ἰάμβου **DE** 4 ὁ — ἔχει om. **A** 5 ἀναπαιστικὸν] ἀντισπαστικὸν **E** ἀναπ. ἤγουν (ἤγ corr. ex μο) δύο ἀνάπαιστοι **Q** (ἀνάπαιστοι γὰρ δύο Tzetzes) ‖ μονόἄμετρον **A** (in 2 verss.) ‖ καταληκτικόν **A** 6 ἰωνικὸν] ἢ ἰωνικὸν **D** 7 ἢ — δίμετρον om. **A**; seclusi ‖ δίμετρον] δίμ. ἀκατάληκτον **Q** δίμ. καταληκτικόν **E** 8 δίμ. ἀκατ. **V**: ἄμετρον ὑπερκατάληκτον **A** 8 sqq. ἔνατον προσοδ. καὶ δίμετρόν τι πέλει Tzetzes 9 ὅμοιον **A**: ὁμοίως **V** ‖ τῷ β΄ **AQ**: τῷ ϛ΄ **D** om. **E** ‖ τῇ στροφῇ **E** ‖ τῶν ἰωνικῶν **EQ**: τῶν ἰωνικῶν τῶν **A** τοῖς ἰωνικοῖς τοῖς **D** 10 ὅμοιον **AQ**: ὁμοίως **DE** 11 τρίμετρον **DQ** Tzetzes: δίμετρον **AE** 12 τὸ ιγ΄ ἀνακλώμενον προσοδικὸν τρίμετρον βραχυκατάληκτον ἀπὸ χορ. **D** (Tzetzes, om. ἀνακλ.) 14. 15 Στυμφάλιον ego: Πάμφυλον 15 οἱ δὲ χρ(όνοι) τ. ᾠ. οἱ **A**: ὁ δὲ χρόνος τ. ᾠ. ὁ Schroeder 18 χρυσέας l. praem. **Q** ‖ γέγραπται ἡ ᾠδὴ post l. inser. **v** (γέγραπται ὁ ὕμνος Ἀγησιλάῳ, om. l., **C**) 18. 19 Συρακουσίῳ] Ἀγησίᾳ Συρ. **v** 19 Σταμφυλίῳ **C** (cfr. **A** supra)

κατελύθη δὲ ἡ ἀπήνη, ὥς τινές φασιν, ὀγδοηκοστῇ πέμπτῃ Ὀλυμπιάδι, κατ' ἐνίους δὲ ὀγδοηκοστῇ ἕκτῃ. 1[d] Q

ABCDEQ 1 a. *Χρυσέας*: ἀλληγορεῖ ὁ ποιητής, ὡς ἐπὶ οἰκίας μεγαλοπρεποῦς κατασκευαστὴς τὸν ἐπίνικον διατεθειμένος. παραβάλλει δὲ προπυλαίῳ μὲν τὸ προοίμιον, τῷ δὲ ὅλῳ οἴκῳ τὸν ὕμνον, ἑαυτὸν δὲ τῷ κατασκευάζοντι.

A 1 b. ὁ δὲ νοῦς· χρυσέας ὑποστήσαντες κίονας πρὸ τοῦ θαλάμου, οὕτως τὸ λοιπὸν πήξομεν μέγαρον, τουτέστι τελειώσομεν τὴν ᾠδὴν προκαταβαλλόμενοι ἀρχὰς κεφαλαιώδεις.

B(C)DEQ 1 c. ὁ δὲ νοῦς τοιοῦτος· ὕμνον πήξομεν ὥσπερ θαητὸν μέγαρον χρυσέας κίονας ὑποστήσαντες τῷ προθύρῳ τοῦ θαλάμου, ὅπερ ἐστὶ τὸ προοίμιον. καὶ ὥσπερ θαύματος ἄξιον μέγαρον ἢ οἶκον κατασκευάσαντες τὸ πρόθυρον ἀξιοπρεπὲς ποιοῦμεν, οὕτω καὶ τοῦ ὕμνου τὸ προοίμιον πήξομεν ἀξιόλογον. 3 Q

B(C)DEQ 1 d. *χρυσέας*· τιμίας νῦν κίονας ὑπορθώσαντες. θηλυκῶς δὲ νῦν προήγαγεν, ὡς καὶ Ὅμηρος (α 53)·

ἔχει δέ τε κίονας αὐτὸς
μακράς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν. 1[a] Q

BCEQ 3. *ὡς ὅτε θαητόν*: θαυμαστόν, παρὰ τὴν θέαν.

BCDEQ 4 a. *πάξομεν*: κυρίως μὲν τὸ πῆξαι ἐπὶ τῆς τῶν

---

1 e. EM 514, 55: οἱ μὲν Ἀττικοὶ ἀρσενικῶς λέγουσιν, οἱ δὲ Ἴωνες θηλυκῶς· οἷον χρυσᾶς ὑφιστᾶν κίονας τῷ θαλάμῳ. Πίνδαρος. — Eust. Il. 550, 13. Od. 1390, 49 al.

---

1 ὀγδ. πέμπτῃ] π̄//// (ras.) E  2 ἕκτῃ] ὀγδόῃ C  3 χρυσέας A: χρυσέας ὑποστάσαντες BE χρ. ὑποστάντες (ὑποστάντες supra versum) D ἄλλως Q om. C ‖ ἀλληγορικῶς B ‖ ἐπὶ ft. del. 4 κατασκευαστὴς A (κατασκευῆς cj. b): τὸν λόγον προκατασκευῆς (-ὴν C) CDEQ τὸν λόγον προκατασκευάζει B τὸν λόγον παρακατασκευάζειν v ‖ ἐπινίκιον BE ‖ διατιθέμενος V  5 προπυλεῶ A ‖ δὲ (alt.) om. A  5. 6 ὅλῳ οἴκῳ τὸν ὕμνον A: μεγάρῳ τὸν ὅλον ὕμνον V  6 κατασκευάσαντι AQ  10 θητὸν CDQ?  11 ὑποστάσαντες BD  13 ft. κατασκευάσοντες  13. 14 ἀξιοπρεπῶς BEv  16 χρυσέας] χρ. ὑποστάτας? Q ‖ ft. τιμίας νῦν. ὑπορθώσαντες: — κίονας: θηλυκῶς νῦν κτλ. ‖ νῦν om. D ‖ ὑπορθ. — 18 κίονας om. D  17 νῦν] τὰς κίονας C  20 παρὰ CE?: περὶ BQv  21 l. om. CD

ξύλων ἁρμογῆς λέγεται, νῦν δὲ καταχρηστικῶς ἀντὶ τοῦ κατασκευάσομεν.

4 b. ἀρχομένου δ' ἔργου: δύναται τῷ δέ συνδέσμῳ **A** ἀντὶ τοῦ γάρ χρῆσθαι· ἵνα ᾖ ἡ ἀρχὴ οἷον, ὥσπερ ἄλλοι ἀρχόμενοι ἔργου κοσμοῦσι τὰ πρόθυρα, οὕτω κοσμήσομεν καὶ ἡμεῖς τὸ προοίμιον· χρὴ γὰρ παντὸς ἔργου πρόσωπον τηλαυγὲς εἶναι. τοῦτο δὲ λέγει ἐπειδὴ τὰ περὶ αὐτοῦ προτερήματα κατ' ἀρχὴν τῆς ᾠδῆς λέγει.

4 c. ἀρχομένου δ' ἔργου: ὁ δέ ἀντὶ τοῦ γάρ. ἡ γὰρ **BCDEQ** ἀκολουθία· παντὸς γὰρ ἔργου, φησίν, ἀρχομένου περίβλεπτον καὶ ἐξαίρετον δεῖ ποιεῖν τὸ τῆς προσόψεως. d. τὴν εἰσβολὴν καὶ τὴν ἀρχήν. e. λαμπρὰν καὶ ἐπίσημον.

6 a. Ὀλυμπιονίκας: ἐπισυνάγει πρῶτον μὲν ⟨ὅτι⟩ **A** Ὀλυμπιονίκης, δεύτερον δὲ ὅτι τοῦ μαντείου τοῦ Διὸς διοικητής, τρίτον δὲ ὅτι ἀπ' ἐκείνου τοῦ πρῶτον κτίσαντος τὰς Συρακούσας. metr. **A**

6 b. εἰ δ' εἴη μὲν Ὀλυμπιονίκας: λοιπὸν περὶ τοῦ **BCDEQ** Ἁγησίου φησίν· εἴ τις οὖν ὃν τρόπον οὗτος Ὀλυμπιονίκης εἴη καὶ προφήτης τοῦ κατὰ Πίσαν καὶ Ὀλυμπίαν μαντείου καὶ συνῳκικὼς τὰς Συρακούσας, τίνα διαφύγῃ ἂν ὁ τοιοῦτος ὕμνον; οὐχὶ δὲ παντὸς ἂν τύχῃ, τῶν πολιτῶν γε δὴ τυχὼν ἀφθόνων ἐν τῷ ὑμνεῖσθαι; τοῦτο δὲ προστίθησιν, ἐπειδὴ οἱ πολῖται κατὰ φύσιν ἀλλήλοις φθονοῦσιν.

7 a. βωμῷ: ἀντὶ τοῦ βωμοῦ. b. δι' ἐμπύρων ἐν **A** Ἤλιδι Ἰαμίδαι ἐμαντεύοντο· ἀφ' ὧν τὸ γένος εἶχεν Ἁγησίας.

---

1 ἀντὶ τοῦ **D**: ἐπὶ τοῦ **BCQ** ἐπι(κατασκ.) **E** 2 σκευάσομεν **D** 3 τοῦ δὲ συνδ(έσμου): ego 4 ft. κεχρῆσθαι 5 κοσμήσωμεν: ego 7 λέγει **A**$^{pc}$: τέ(λει) **A**$^{ac}$ || αὐτοῦ ego: αὐτῶν **A**. An Ἁγησίου scrib.? 8 κατ' ἀρχὴν **b**: καταρχομέν(ης) 9 ὁ] τὸ **E** || ἡ γὰρ] ἡ δὲ **D** 10 γὰρ om. **CQ** || ἀρχομένου **CDQ**: ἀρχομένου ὅτι **B** ἀρχομένους **E** 11 sch. 4$^{d}$ ἤτοι praem. **B** καὶ praem. **C** 13 ὅτι add. Schroeder 14 Ὀλυμπιονίκας: ego 15 πρῶτον κτίσαντος ego: τρόπον κτίσαντες || Συρρακούσσας (s. s. altero ρ, del. altero σ) 18 Ἀγησιλάου **BE** || Ὀλυμπιόνικος **E** 19 Πίσσαν (Πίσσης **E**$^{ac}$): **b** 20 συνῳκηκὼς **v** || ταῖς Συρακούσαις **E** || διαφύγοι et 21 τύχοι **C** 20. 21 ὁ τοιοῦτος] οὗτος **Q** om. **C** 21 δὲ] δὴ **E** 22 τυχὸν **E** 23 ἐπεὶ **CD** 25 Ἰαμμίδι: **b**

τοῦ δὲ μαντείου τοῦ ἐν Ἤλιδι καὶ Δικαίαρχος (FHG II, 239)
μέμνηται.
BCDEQ 7 c. βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ:
παρόσον ὁ Ἀγησίας ἱερεὺς ἦν τοῦ ἐν Πίσῃ μαντικοῦ βω-
BDEQ μοῦ τοῦ τῷ Διὶ ἀνιερωμένου. d. μαντείῳ δὲ ἀντὶ τοῦ
μαντικῷ.
B[gl] 7 e. (μαντείῳ:) μαντικῷ.
A 8 a. συνοικιστήρ τε: ὅτι οἱ πρόγονοι αὐτοῦ σὺν Ἀρ-
χίᾳ παρεγένοντο ἐν Συρακούσαις οἱ Ἰαμίδαι, ἀφ' ὧν εἰκὸς
παραλαβεῖν τινας. 14
BDEQ 8 b. συνοικιστήρ τε: τοῦτο δὲ οὐκ ἀληθῶς· οὐ γὰρ
οὗτος συνῴκισε τὰς Συρακούσας. ἀλλὰ πρὸς ἐγκώμιον εἴ-
ληφεν· ἀπὸ γὰρ ἐκείνων ὁ Ἀγησίας τῶν συνοικισάντων.
A 12 a. ἴστω γάρ: οἷον ὅτι ἔχει τὰ προειρημένα τρία.
b. ἢ ἐν τούτῳ τῷ πεδίλῳ, τῆς ἱμερτῆς ἀοιδῆς. c. τουτ-
έστι περὶ πόδας ἑαυτοῦ πεποιημένος τὰ τρία καὶ συνηρη-
μένα αὐτὰ ἔχων ὁ Ἀγησίας. 18
B[gl]CDQ 12 d. ἴστω: γινωσκέτω. καὶ Ὅμηρος (Ο 217)·

ἴστω τοῦθ' ὅτι νῶιν ἀνήκεστον ἄλγος ἔσται. 14[a] Q

B[gl] 12 e. (πεδίλω:) νῦν τῇ βάσει καὶ τῷ ῥυθμῷ.
CDQ 12 f. πεδίλῳ δὲ τῷ ὑποδήματι· νῦν δὲ τῇ βάσει καὶ
τῷ ῥυθμῷ λέγει. 14[f] Q
BCDEQ 14 a. Σωστράτου υἱός: ὁ Ἀγησίας. b. ὁ δὲ νοῦς·
ἴστω δὲ ἐν τῷδε βεβηκὼς τῷ τρόπῳ ὁ τοῦ Σωστράτου παῖς
Ἀγησίας τὰ προειρημένα τρία ἔχων, Ὀλυμπιονίκης καὶ ταμίας
BCEQ τοῦ Διὸς βωμοῦ καὶ συνοικιστὴς Συρακουσῶν. e. πεδίλῳ

---

3 ταμίας — Πίσᾳ om. **CD** ‖ Πίσσᾳ **BE** 4 παρόσον ὁ Ἀγησ. hic om. **B** (cfr. infra 13) ‖ παρόσον om. **D** 5 ἀνιερωμένῳ **E** 10 παραβαλεῖν: **b** 11 συνοικιστής **v** ‖ (τῶν) ἐνδόξων Συρ(ρ)ακουσ(ι)ῶν l. add. **EQ** ‖ ἀληθές **Bv** 13 συνοικισάντων **GQ**(**PY**): συνωκισάντων **B** (add. παρόσων ὁ Ἀγησίας) **D** (σαν corr. ex ουν) **E** 14 ἔχει ego: ἔχων 15 ἢ ego: καὶ 16 ft. ἑαυτῷ ‖ ft. συνηρμοσμένα 18 l.] ἴστω γάρ **Q** 19 ἀνήκεστος χόλος codd. Hom. 21 πέδιλον τὸ ὑπόδημα **Q** 23 ἄλλως praem. **Qv** ‖ Σωστράτου — 24 ἴστω δὲ om. **C** 24 ἴστω ego: ἢ **B** εἰ **DEQv** 25 τὰ τρία τὰ προειρ. **Bv** 26 τῶν Σ. **Gh** ‖ Συρακουσῶν **b**: Συρακουσίων ‖ πεδίλῳ — p. 157, 1 ὅτι om. **Q**

δὲ καὶ τὸ ἑξῆς εἶπεν, ἵν' εἴπῃ ὅτι προσήρμοσται αὐτῷ τὰ προειρημένα δαιμονίως καὶ ἐξαιρέτως, ὡσανεὶ πέδιλον τῷ ποδί. d. τουτέστιν ὁ ὕμνος. 12[r] Q BEQ

14 e. ἀκίνδυνοι δ' ἀρεταί: ἤτοι ὡς περὶ τὸν οἶκον αὐτοῦ πολλῶν κινδύνων γενομένων, ἢ αὐτοῦ μετὰ κινδύνου νικήσαντος. A

14 f. ἀκίνδυνοι δ' ἀρεταί: Ἡσίοδος λέγει (O. et D. 289)· BCDEQ

τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.

ὁ δὲ λέγει ὅτι αἱ ἀρεταὶ αἱ χωρὶς πόνων καὶ κινδύνων οὐκ εἰσὶ τίμιαι οὔτε παρὰ τοῖς ἄλλοις ἀνθρώποις οὔτε παρὰ τοῖς θαλαττεύουσιν ἁπλῶς, εἰ μὴ καὶ ναύμαχός τις εἴη. | παραμυθεῖται δὲ αὐτὸν, ἐπειδὴ μετὰ μόχθου πολλοῦ ἐνίκησεν. BCEQ

16 a. πολλοὶ δὲ μέμνανται: τὸ διὰ πόνου γιγνόμενον πολλοὶ ἀπομνημονεύουσιν. b. ἢ οὕτως· πολλοὶ τοῦ καλοῦ μνημονεύουσιν ὅταν πονηθῇ. 12 A

17 a. καλὸν εἴ τι ποναθῇ: ταῦτα δὲ ὡς κάλλιστα παρὰ τοῖς πολλοῖς μνημονεύεται, τὰ μετὰ πόνων ἀγαθὰ συμβαίνοντα δικαίως. BCDEQ b. τὸ δὲ πονηθῇ ἀντὶ τοῦ μετὰ πόνου κατορθωθείη C

18 a. Ἀγησία: σοὶ δὲ, ὦ Ἀγησία, πάρεστιν ἕτοιμον ἔχειν τὸν ἔπαινον ὡς ἐπήνεσεν ὁ Ἄδραστος εἰς Ἀμφιάραον. οὗτος ὑπὸ γῆς κατεπόθη πολεμῶν ἐν Θήβαις. τίς οὖν τοῦ Ἀδράστου πρὸς τὸν Ἀμφιάραον ἔπαινος ἐοικώς σοι; ἐκεῖνος ἀγαθὸς ἦν πολεμεῖν καὶ μάντις, σὺ δὲ καὶ ἀνδρεῖος καὶ μάντις ἀγαθός. ἔχεις δὴ τὸν Ἀμφιαράου ἔπαινον ἑτοίμως. A
b. Οἰκλέους δὲ παῖς Ἀμφιάραος.

18 c. τὶν δ' αἶνος ἕτοιμος: σοὶ δὲ, ὦ Ἀγησία, πρόχειρος καὶ ἁρμόδιος ὁ ἔπαινος καὶ πρέπων ὁ ὑπὸ τοῦ BCDEQ

---

1 δὲ καὶ τὸ ἑξῆς] om. **C** δὲ δαιμόνιον πόδα ἔχων **E** ‖ τὸ **BQ**: τὰ **v** ‖ προσήρμοστο **Cv** 5 αὐτοῦ ego: αὐτῶν 9 ἔδωκαν **E** 10 αἱ χωρὶς **BDQ**: χωρὶς **CE** ‖ πόνων **BCDE**: ἱδρώτων **GPQYv** 11 τοῖς om. **E** 12 μὴ om. **C** 18 l.] om. **E** πολλοὶ δὲ μέμνανται **PUYv** ‖ δὲ ὡς] καὶ **Q** 19 πόνων **BQ**: πόνον **CDE** 22 σοὶ ego: σὺ 27 ἕτοιμον Schroeder

Ἀδράστου ῥηθεὶς τοῦ Ταλαοῦ παιδὸς εἰς τὸν μάντιν Ἀμφιάραον τὸν Οἰκλέους υἱόν, ὃν διαστᾶσα καὶ ἡ γῆ ἐδέξατο ἅμα τῷ ἅρματι ἐν Ὠρωπῷ τῆς Βοιωτίας κινδυνεύειν μέλλοντα· περὶ οὗ μάντεως Ἀμφιαράου ὁ τοῦ Ταλαοῦ παῖς Ἄδραστος εἶπεν ὅτε συνηθροίσθησαν οἱ τῶν ἑπτὰ πυλῶν νεκροὶ ἐν Θήβαις καὶ ἐγένοντο ἑπτὰ πυρκαϊαί· ποθέω στρατιᾶς ὀφθαλμὸν ἐμᾶς, καὶ τὰ ἑξῆς. 23ᵉ E

Bgl 18 d. (ἑτοῖμος:) νῦν ἁρμόδιος.

Bgl 21 a. (ἐπεί:) ἀφ' οὗ.

A 21 b. ἐπεὶ κατὰ γαῖ': κεραυνωθεὶς γὰρ Ἀμφιάραος κατέδυ μετὰ τοῦ ἅρματος ἐν τῷ Ὠρωπῷ τῆς Βοιωτίας καταποθεὶς ὑπὸ τῆς γῆς. c. αὐτόν τέ νιν: ὅτι ἐκ παραλλήλου τέθεικε τὰς ἀντωνυμίας, καὶ ἔστιν ἡ μία αὐτῶν περισσή. d. κατεπόθη δὲ Ἀμφιάραος, οἱ μὲν περὶ Ὠρωπόν, οἱ δὲ περὶ Κλεωνάς· τοὺς δὲ ἵππους αὐτοῦ φησιν Ἀντίμαχος (fr. 31 K) εἶναι †ἀσυστάτους, οἱ δὲ Θεσσαλούς· ὀνόματα δὲ αὐτῶν Θόας καὶ Δίας· ὁ δὲ ἡνίοχος αὐτοῦ Βάτων ἐκαλεῖτο ἢ Σχοίνικος, συγκαταποθεὶς αὐτῷ.

Bgl 22 a. ὀνόματα τῶν ἵππων Δίας καὶ Θόας.

Bgl 22 b. (ἔμαρψεν:) ὑπεδέξατο.

A 23 a. ἑπτὰ δ' ἔπειτα πυρᾶν: τῶν διαβεβοημένων ἐστὶ καὶ τοῦτο, πῶς ἑπτά φησι γενέσθαι πυράς, [τῶν] ἑπτὰ ἐπιστρατευσάντων καὶ οὐ πάντων καέντων. Ἀμφιάραος μὲν κατεπόθη σὺν τοῖς ἵπποις ἐν Ὠρωπῷ· Πολυνείκης δὲ οὐκ ἐτάφη· ἄταφος γὰρ ἔμεινεν· Ἄδραστος δὲ ζῶν εἰς Ἄργος ἀπῆλθεν. καταλείπονται δ', Τυδεύς, Καπανεύς, Παρθενοπαῖος, Ἱππομέδων. ὁ μὲν οὖν Ἀρίσταρχός φησιν ὅτι ἰδιάζει καὶ ἐν τούτοις ὁ Πίνδαρος ὡς καὶ ἐν ἄλλοις. ὁ δὲ Ἀριστό-

---

18 Hes. Σχοίνικος

---

1 τοῦ Τ.] τοῦ τοῦ Τ. EQ τοῦ τοῦ λαοῦ D 2 Οἰκλέους CQ: Οἰκλέος B Ἰοκλέους DE || καὶ om. CGPQYhb 3. 4 μέλλουσα E 4 ὁ τοῦ λαοῦ D 5 ὅτι C¹Q || οἱ ⟨ἐπὶ⟩ τῶν Bergk || ἑπτὰ πυλῶν Cb: ἑπταπύλων BDEQ ἑπτὰ πυρῶν cj. h 7 ὀφθαλμὸς E 10 κατὰ γαῖ'] κατά γε A 15 Κλεωνάς] Κνωπίαν Unger Theb. par. 413 16 Ἀμυκλαίους Stoll Ἀσβωτίους Unger l. l. 475; cfr. id. ibid. 413. Ft. Ἀσβυστίους 22 τῶν s. s. A; delevi

δημός φησι τὰς ἑπτὰ πυρὰς . . . . . . . . ἀπολομένων. οὕτως καὶ Ἱππομέδων καὶ Ἀρμενίδας (FHG IV, 339) γράφουσι· καὶ πυρὰς ποιεῦντες ἑπτὰ ἐπὶ τοῖς †ἕρμεσιν ἐνταῦθα ὅπου καλοῦνται Ἑπτὰ Πυραί, ἢ ἀπὸ τῶν ἑπτὰ ἐπὶ Θήβας, ἢ ἀπὸ τῶν ἑπτὰ παίδων Νιόβης ἐκεῖ καυθέντων ἀπὸ τῶν ιδ΄ χωρισθεισῶν τῶν συζυγιῶν.

23 b. ἑπτὰ δ᾽ ἔπειτα πυρᾶν νεκρῶν τελεσθέντων: **BCDEQ** ἐπισωρευθέντων. c. ἤτοι καταριθμηθέντων, ἵνα καὶ τὸ ἑξῆς τοῦ λόγου οὕτως ἔχῃ· καταριθμήσας γὰρ ὁ Ἄδραστος τοὺς νεκροὺς καὶ λείποντα τὸν Ἀμφιάραον εὑρών, εἰκότως δυσφορήσας τὸν λόγον ἀπεφθέγξατο.

23 d. ἄλλως· ἑπτὰ δ᾽ ἔπειτα: ζητεῖται πῶς ἑπτά φησι **BCDEQ** τὰς πυράς· ἀδύνατον γάρ. ἠφάνιστο γὰρ Ἀμφιάραος· Ἄδραστος δὲ ζῶν εἰς Ἄργος ἀποφεύγει· Πολυνείκης δὲ ἄταφος ἔρριπτο, ὡς ἐπιστρατεύσας τῇ πατρίδι· ὥστε τῷ ἀληθεῖ λόγῳ τέσσαρας εἶναι πυρκαϊὰς τῶν τεθνηκότων. ἀλλ᾽ ἐπιλυτέον οὕτως, ὅτι τὰς πυρὰς ὁ Πίνδαρος καταριθμεῖται οὐ πρὸς αὐτοὺς τοὺς στρατηγούς, ἀλλὰ τὰ τούτων στρατεύματα. ἑπτὰ γὰρ τάξεις στρατευμάτων περὶ τὰς ἑπτὰ πύλας τῶν Θηβῶν μάχην συνεστήσαντο, καὶ οὕτω τῶν ἐν ἑκάστῃ πύλῃ τεθνηκότων στρατιωτῶν φησι γενέσθαι πυρκαϊάς. 27 E

---

1 εἶναι τῶν στρατιωτῶν τῶν suppl. **b**; sed plura exciderunt, cfr. sch. 23[d]   2 Ἱππομέδ(ων) **A** (ex p. 158, 27 repetitum, ut perspexit **b**): Ἱππίας cj. Bergk ‖ Ἀρμενίδας Bergk: Ἀρμονίδας **A** Ἀρτέμων cj. **b** ‖ γρ(άφουσι) **A**: γράφει **b**   3 ποιοῦντες **b** ‖ ἑπτὰ secl. Wilamowitz Herm. XXVI, 213 n. 2 ‖ ἕρμεσιν corruptum; ἕρμασιν **b** ἑρμεῶσιν cl. Hes. ἑρμεών Schroeder ἐπὶ ταῖς Προιτίσιν Unger Theb. par. 306   4 πυραί $A^1$ πηγαί $A^s$   5 hiat oratio; ⟨ἢ⟩ ἀπὸ Müller FHG l. l.; sed ft. ἀπὸ — 6 συζυγιῶν posterius addita   7 l.] τελεθέντων **C** ‖ ἑπτὰ] ἔπειτα $B^1$ ‖ τελεσθέντων iter. **E**   9 οὕτως] ὀρθῶς cj. Bergk   10 λιπόντα **E**

12 ἄλλως et l. om. **CD** ‖ ἀπορία add. $B^{mg}$ $Q^{mg}$   13 ὁ Ἀμφ. **CDQv**   16 εἶναι τὰς πυρκ. **Bv** ‖ λύσις add. $B^{mg}$ $Q^{mg}$ ‖ ἀλλ᾽ **BQ**: ἄλλως **E** om. **D**   17. 18 καταριθμεῖται οὐ **CDEQ**: οὐ καταριθμεῖται **Bv**   19 στρατευμάτων **BEQ**: στρατευσάντων **D** στρατευομένων **C** ‖ παρὰ **CDE**   20 καὶ] ἢ **E**   21 πόλει **E** ‖ στρατιωτῶν **BC**: στρατιῶν **DPQ** στρατῶν **E** ‖ γίνεσθαι **E**   21. 22 πυρκαιάς (-άν **D**) codd.: τὰς ἑπτὰ πυρκαιάς **v**

BDEQ 23 e. ἄλλως· τὸ σημεῖον ὅτι ἑπτὰ πυράς φησι τῶν ἑπτὰ μὴ ἀποθανόντων· Ἀμφιάραος γὰρ κατεπόθη σὺν ταῖς ἵπποις ἐν Ὠρωπῷ πόλει τῆς Βοιωτίας. 23ᵇ E

Bgl 23 f. (τελεσθέντων:) συναχθέντων.

A 26. ποθέω: ὁ Ἀσκληπιάδης φησὶ ταῦτα εἰληφέναι ἐκ τῆς κυκλικῆς Θηβαΐδος (fr. 5 K.).

A 27 a. ὀφθαλμόν: ὅτι ἔνδοξος, ὡς ὀφθαλμὸς τοῦ σώματος. b. ἢ ὅτι μάντις ὢν προέβλεπε καὶ διὰ τοῦτο διασημότατος ἦν. c. ὀφθαλμὸν ἐμᾶς: ὀφθαλμὸν στρατιᾶς τὸν Ἀμφιάραον ἐκάλεσεν ὡς δυνάμει προὔχοντα καὶ μάντιν ὄντα καὶ προορᾶν τὰ μέλλοντα δυνάμενον· ὀφθαλμὸς γὰρ προὔχει τοῦ σώματος. τοῦτο οὖν καὶ ἐπὶ τούτου λέγει τοῦ νικηφόρου.

B(C)DEQ 27 d. στρατιᾶς ὀφθαλμόν: ἤτοι τὸν ἐν πολέμῳ περίβλεπτον, ἢ τὸν προορᾶν δυνάμενον τὰ μέλλοντα ὡς μάντιν. καὶ δι' ἀμφότερά, φησιν οὖν, ποθῶ αὐτόν, ὅτι τε μάντις ἀγαθὸς καὶ πολεμιστής (ἀπὸ κοινοῦ τὸ ἀγαθός)· ὅπερ ἔξεστιν εἰπεῖν καὶ τῷ Ἀγησίᾳ τῷ δεσπότῃ τοῦ ὕμνου. τί δὲ αὐτῷ πάρεστιν ὃ καὶ τῷ Ἀμφιαράῳ; καὶ μάντις καὶ ἀνδρεῖος τὰ ἐν μάχαις. 35 Q

Bgl 29. (τό:) τὸ ἐπὶ Ἀμφιαράου ῥηθέν.

A 30 a. ἀνδρὶ κώμου δεσπότᾳ: τῷ ἐγκωμιαζομένῳ. b. οἷον τῷ Ἀμφιαράῳ ὑπῆρξεν, τοιοῦτόν φησι καὶ τούτῳ ἶσον ὑμνούμενον. ἦν γὰρ ἀνὴρ ἀγαθὸς καὶ μάντις ὁ Ἀγησίας.

---

14—17 Tzetzes Chil. 10, 739 sq.

---

1 ἄλλως BD: ἑπτὰ δ' ἔπειτα E ἄλλως· ἑπτὰ δ' ἔπειτα Q ‖ τὸ σημεῖον BDE: τὸ τοιόνδε σ. Q om. P τὸ σημεῖον χ' v. In textu ad h. v. ✢ B(B²?) ‖ φασι EQ 2 Ἀμφιάρεως U ‖ ταῖς BQ: τοῖς DEP 14 l.] ποθέω στρ. ὀφθ. Q ‖ πολέμοις Q 15 τὰ μέλλοντα δυνάμενον Qb 16 ἀμφοτέρων EQ ‖ φησιν οὖν ποθῶ αὐτὸν scripsi: φησιν οὖν παθῶν αὐτὸν E φ. εἶναι ποθῶ αὐ. Q οὖν φ. ποθῶ αὐ. D φησιν αὐ. ποθεῖν Bv φ. ποθεῖν αὐ. C ‖ ὅτι τε] τὸ δὲ Q εἰς δὲ τὸ v 17 ἀγαθὸς (pr.) om. v ‖ ἀπὸ κ. τὸ ἀγ. om. C, add. τὸ καὶ ἀνδρί ‖ ἀπὸ κ. δὲ τὸ ἀγ. D 17. 18 ἔξεστιν v: ἑξῆς ἐστιν V (πάρεστιν C) 18 δὲ om. E 20 τὰ] τε E 24 ἶσον ὑμνούμενον corrupta 25 Ἀγήσιμος: ego

30 c. *κώμου δεσπότα*: τῷ Ἀγησίᾳ. φησὶ γὰρ καὶ τὸν Ἀγησίαν μεθ' Ἱέρωνος στρατευσάμενον πολλοὺς πολέμους κατωρθωκέναι μαντείᾳ καὶ ἀρετῇ. 35 **BDE** **BCDEQ**

32 a. *οὔτε δύσερις ἐών*: ὁ γὰρ δύσερις καὶ ψευδῆ δύναται λέγειν πρὸς φιλονεικίαν. b. ὁ δὲ νοῦς· ἐγὼ οὐκ ὢν φιλόνεικος καὶ ὀμόσαιμι τῷ Ἀγησίᾳ μαρτυρῶν ταῦτα, ἅπερ καὶ ἐπὶ τοῦ Ἀμφιαράου λέγεται· εὔχομαι δὲ ἐπιτρέψαι μοι τὰς Μούσας καὶ συνεργῆσαι. εἰκότως δὲ παρὰ τῶν Μουσῶν αἰτεῖ ἐπιτραπῆναι, ἐπειδὴ οἶδεν ἀνάρμοστον ὂν τὸ ὀμνύναι ποιητῇ ἐγκωμιάζοντι. **A**

32 c. *οὔτε δύσερις ἐών*: ἐγὼ γάρ, φησιν, οὔτε δύσερις οὔτε φιλόνεικός τις πάνυ ὢν καὶ τὸν μέγιστον ὅρκον ὀμόσαιμι μαρτυρῶν τῷ Ἀγησίᾳ, ὃ καὶ ἐπὶ τοῦ Ἀμφιαράου λέγεται· εὔχομαι δὲ ἐπιτρέψαι μοι τὰς Μούσας καὶ συνεργῆσαι. εἰκότως δὲ ἐπιτραπῆναι παρὰ τῶν Μουσῶν αἰτεῖ, ἐπειδὴ οἶδεν ἀνάρμοστον ⟨ὂν⟩ ποιητῇ τὸ ὀμνύειν ἐγκωμιάζοντι. 37 **BDEQ** **B(C)DEQ**

35. [*τοῦτό γέ οἱ σαφέως μαρτυρήσω*:] τοῦτο αὐτὸ μαρτυρήσω τὸ προδεδηλωμένον, ὅτι εἰς πάντα ὁ Ἀγησίας παραπλήσιος ἦν τῷ Ἀμφιαράῳ. 32 **BDE** 30 **Q** **BDEQ**

37 a. *ὦ Φίντις*: Δωριεῖς $\overline{\lambda}$ εἰς τὸ $\overline{\nu}$, ὅταν ἐπιφέρηται ἢ τὸ $\overline{\vartheta}$ ἢ τὸ $\overline{\tau}$. ὄνομα δὲ κύριον ὁ Φίντις Δωρικῶς λεγόμενον, οὗ τὸ κοινὸν ὁ Φίλτις ἐστίν. τῇ δὲ κλητικῇ οὐκ ἐχρήσατο ἀλλὰ τῇ εὐθείᾳ (Hom. Γ 277)· Ἠέλιος ὃς πάντ' ἐφορᾷς. b. ἔστι δὲ ἡνίοχος Ἀγησίου τῆς ἀπήνης. **A**

---

21 Eust. Il. 918, 28. sch. Theocr. 1, 77 23 sch. A Γ 277

---

1 φασι **CG?Pb** ‖ καὶ om. **BCv** 2 μετὰ **CD** 2. 3 πολέμους] ἀγῶνας Beck 3 μαντείᾳ καὶ τέχνῃ καὶ ἀρ. **D** 8—10 cfr. Germ. 207, 3 11 l. om. **C** ‖ δύσερις] φιλόνεικος **v** ‖ ὢν **E** ‖ φησιν om. **D** 11. 12 οὔτε φιλόνεικος οὔτε δύσερις **v** ‖ οὔτε δύσερις om. **D** 14 καὶ om. **Bv** 15 αἰτεῖ ego ex **A**: αἰτεῖται **CDGP** αἰτιᾶται **Qb** εὔχεται **BE** 16 ἀνάρμοστον **C**(cfr. **A**)**b**: ἁρμοστὸν ‖ ὂν add. **b** ex **A** 18 l. **B**: om. **E** ἄλλως **D** τὸ καὶ ἀνδρί **Q**. Seclusi ‖ τοῦτο αὐτὸ **Bv**: τ. αὐτὸς **D** τοῦ .... (lac.) **E** αὐτὸ τοῦτο προσ(μαρτ.) **Q** τοῦτο αὐτῷ Brub.**hb** 19 πάντα ὁ Ἀγησίας] πᾶν .... (lac.) **E** 21 ὅτ(ε) ἐπιφέρονται: ego 23 Φίντις

CDEQ 37 c. ὦ Φίντις: οὗτος ἦν ἡνίοχος τῆς ἀπήνης.
BCDEQ 37 d. ὦ Φίντις, ἀλλὰ ζεῦξον: ὁ νοῦς· ἀλλ' ὦ Φίντι,
ζεῦξον ἤδη τὰς ἡμιόνους μοι. τροπικῷ δὲ τῷ λόγῳ χρῆται.
δοκῶν γὰρ προσκαλεῖσθαι τὸν ἡνίοχον, τὴν ἑαυτοῦ ψυχὴν
σπουδάσαι πρὸς τὸν ὕμνον προτρέπεται, καί φησιν· ἀντὶ
BDEQ τοῦ, γενοῦ τοι πρόφασις. e. ἢ ἔστω μοι ἀφορμὴ τοῦ
ὕμνου Φίντις [δὲ] ὁ ἡνίοχος καὶ τὰ ἅρματα τῶν ἡμιόνων.
BCEQ f. ὦ Φίντις: Δωρικῶς ἐσχημάτισται· εἴη δ' ἂν κατὰ
τὴν ἡμετέραν διάλεκτον Φίλτις. οἱ Δωριεῖς γὰρ τὸ λ εἰς ν
μετατιθέασι, ὅταν ᾖ εἴτε τὸ τ εἴτε τὸ θ.
A 39 a. ἃ τάχος: ἀντὶ τοῦ ὡς τάχος. b. τῇ ὁδῷ δὲ
τῇ καθαρᾷ, τῇ μὴ ἐχούσῃ ἐπίληψιν ἢ ψεῦδος, ἀλλὰ ἀλή-
θειαν. c. τὸ δὲ ὄκχον κατὰ τὸ πλεῖστον ἐπὶ τῶν ἡμιόνων
τιθέασιν.
ABCDEQ 39 d. ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ βάσομεν ὄκ-
χον: ἵνα ἐπιβιβάσωμεν ἐν καθαρᾷ ὁδῷ τὸ ὄχημα. ἀλλη-
γορεῖ δὲ νῦν, περὶ τοῦ ὕμνου λέγων· ἵνα διὰ καθαρᾶς
λεωφόρου τὸν ὕμνον ἐπιβιβάσαντες τῷ ὀχήματι χρησώμεθα.
A e. τὸ δὲ βάσομεν ἀντὶ τοῦ βήσωμεν Ὁμηρικόν.
BEQ 39 f. ὄφρα κελεύθῳ: ἀλληγορεῖ καί φησιν· ἵνα δι-
καίᾳ καὶ καθαρᾷ ὁδῷ, τῇ τῶν λόγων, ἐπιβήσωμεν τὸ ὄχημα,
BCDEQ ἀντὶ τοῦ ὑμνήσωμεν . . . . καὶ προσηκόντως· | καὶ ἵνα πρὸς
τὸ γένος ἵκωμαι τῶν ἀνδρῶν, λέγει δὲ τῶν προγόνων τοῦ

---

1 ἦν om. D 2 l. BE: om. C ἄλλως D ἄλλως· ὦ Φίντις Q || Φίντι BDE: Φίντις CQv 3 ζεῦξον] ἀλλὰ ζεῦξον E || τὰς B: τοὺς || τῷ om. Qv 5. 6 ἀντὶ τοῦ] ὅτι C 7 δὲ del. b || τῶν ἡμιόνων ego: τῶν ἡνιόχων BDEv τοῦ ἡνιόχου Qb || ὕμνου (Φ. δὲ ὁ ἡνίοχος) καὶ τὰ τῶν ἡνιόχων ἅρματα Mommsen sch. Germ. p. 26, 4 9. 10 μετατιθ. τὸ λ εἰς $\bar{\nu}$ Bv 9 εἰς τὸ $\bar{\nu}$ E 10 ὅταν ⟨ἑπόμενον⟩ ᾖ cj. Beck || εἴτε (utrob.)] εἴτι E || εἴτε τὸ θ] εἰς τὸ $\bar{\vartheta}$ B 11 ἃ b: αἳ 15 l. BE: κελεύθῳ τ' ἐν καθαρᾷ A ὄφρα κελεύθῳ CD ὄφρα κελ. τ' ἐν καθ. Q || βήσομεν B 16 ἵνα ἐπιβιβάσωμεν BEQ: ἵνα ἐπιβήσωμεν C ἵνα ἐπιβάσωμεν D ἀναβήσομεν A || ὄχημα V: σχῆμα A 16. 17 ἀλληγορεῖ V: ἀλληγορικῶς A || λέγων V: λέγει A || ἵνα διὰ V: ὁδοῦ A 18 λεωφόρου BDEQ: λ. ῥαδίως A λ. τῶν λόγων C || ἐπιβιβάσαντες AB: ἐπιβήσαντες CDE (ras. post η in E) ἐπιβοήσαντες Q || χρησόμεθα AQ 19 βήσωμεν b: βήσομεν 20 ἄλλως l. praem. EQv 22 δικαίως in lac. suppl. b

Ἀγησίου· ἵκωμαι δὲ ἐν αὐταῖς, διὰ τῶν ἐγκωμίων· ἐκεῖναι γάρ, αἱ ἡμίονοι τοῦ Ἀγησίου, παρὰ τὰς ἄλλας πάσας ἐπίστανται καὶ δύνανται ἡγεμονεῦσαι ταύτην τὴν ὁδόν· ποίαν ὁδόν; τὴν τῶν ὕμνων· ἐπειδὴ τοὺς ἐν Ὀλυμπίᾳ στεφάνους ἐδέξαντο.

39 g. γράφεται ἦ τάχος. $B^{mg}$ $E^{gl}$

39 h. (καθαρᾷ:) τῇ μὴ ἐχούσῃ ἐπίληψιν. $B^{gl}$

40 a. (ὄκχον:) ὄχημα. $B^{gl}$

40 b. ἵκωμαί τε πρὸς ἀνδρῶν: ἢ ὁ καί περισσός· **A** ἢ ὅτι ἄλλος .... c. τὸν καί σύνδεσμον ὑπερβιβαστέον· ἢ περισσός ἐστιν. θέλει γὰρ εἰπεῖν· ὅπως παραγένωμαί τε πρὸς τὸ γένος καὶ τῶν ἀνδρῶν ........ μνημονεύσω καὶ τῶν προγόνων.

40 d. ἵκωμαί τε πρὸς ἀνδρῶν: τὸν καί σύνδεσμον **BCDEQ** ὑπερβιβαστέον· καὶ πρὸς τὸ τῶν ἀνδρῶν γένος παραγένωμαι, τουτέστι μνημονεύσω καὶ τῶν προγόνων αὐτοῦ. ἀνέφερε δὲ ὁ Ἀγησίας εἰς τοὺς Ἰαμίδας τὸ γένος. e. ἔνιοι δὲ **BDEQ** τὸν καί σύνδεσμον περισσὸν δέχονται, ἵν' ᾖ, ἵκωμαί τε πρὸς τὸ τῶν ἀνδρῶν γένος.

41 a. (καί:) τὸ καί περισσὸν κατά..... $B^{gl}$

41 b. ἐξ ἄλλαν: παρὰ τὰς ἄλλας πάσας. c. ἀντὶ τοῦ **BDEQ** ὑπὲρ πάσας τὰς λοιπάς. d. αὗται γὰρ παρὰ τὰς ἄλλας πάσας τὰς ἀγωνισαμένας νικήσασαι προκαλοῦνται τὸν ὕμνον.

44 a. ἐπεὶ δέξαντο: ἀντὶ τοῦ ἐπεδείξαντο τοὺς στε- **BCDEQ**

---

41 e. lex. Vindob. p. 94, 1: ἐξ σημαίνει καὶ σύγκρισιν. Πίνδαρος· ἐκεῖναι γὰρ καὶ ἐξ ἄλλων ὁδὸν ἡγεμονεῦσαι ἐπίστανται.

---

1 post ἐγκωμίων sch. 40 inser. **C** 3 ταύτης τῆς ὁδοῦ **Q** 3. 4 ποίαν ὁδόν; τὴν **B**: τὴν **C** ποίας ὁδοῦ; τῆς **DEQ** 5 ἐδέξατο **DE** 6 τάχος om. **E** 10 ft. ἄλλος ⟨ὁ περὶ αὐτοῦ τοῦ Ἀγ. λόγος, ἄλλος ὁ περὶ τῶν προγόνων⟩ 12 lac. indicavi; cfr. 16 14 τε] τι **E** || ἀνδρῶν **BCQ**: ἀνδρῶν καὶ γένος **DE** 16 ἀναφέρει **CD** 20 κατὰ dubium 21 ἀλλᾶν **D** ἄλλᾶν **PQ** || ἀντὶ — 22 πάσας om. **DQ** 23 προκαλοῦνται **h** προκαλεῖται **E**: προσκαλοῦνται **BDQv** 24 sqq. cfr. Lehrs p. 194 sq. 24 l.] στεφάνους ἐδέξαντο **C** || ἀντὶ — p. 164, 1 πᾶσιν om. **C** || ἐπεδείξαντο et πᾶσιν (p. 164, 1) om. **Bv** || ἀπεδέξαντο **D**

φάνους οὓς ἔλαβον πᾶσιν. b. ἐπειδὴ καὶ αὐταὶ αἱ ἡμίονοι στεφάνοις ἐβάλλοντο καὶ ἄνθεσιν.

A 44 c. χρὴ τοίνυν πύλας: περὶ τῶν ἡμιόνων ⟨ὁ⟩ λόγος. αὗται γὰρ παρὰ τὰς ἄλλας ⟨τὰς⟩ ἀγωνιζομένας νικήσασαι προκέκληνται τὸν ὕμνον. d. γράφεται καὶ ⟨ἐπεδέξαντο, ἀντὶ τοῦ⟩ ἐπεδείξαντο τοὺς στεφάνους οὓς ἔλαβον.

BEQ 44 e. πύλας ὕμνων ἀναπιτνάμεν: ἐνέμεινε τῇ τροπῇ καί φησι· προσήκει τῶν ὕμνων τὰς πύλας ἀνοίγειν ταῖς
EQ ἡμιόνοις. f. ἄλλως· χρὴ τοίνυν πύλας: προσήκει καθάπερ πύλας, οὕτω τοὺς ὕμνους ἀναπετάσαι. εὖ δὲ τῇ παρασκευῇ παρίστησι τήν τε τοῦ ἐπαίνου μεγαλειότητα καὶ τὴν ἐν τῷ ἐπαινεῖν ἑαυτοῦ δύναμιν ὁ ποιητής.

BCDEQ 46 a. πρὸς Πιτάναν δέ: Πιτάναν νῦν τὴν ὁμώνυμον πόλιν λέγει τῇ ἡρωίδι, ἐπικειμένην ταῖς ὄχθαις τοῦ Εὐρώτα ποταμοῦ. προσέθηκε δὲ παρ' Εὐρώτα πόρον, ἐπεὶ καὶ τῆς Αἰολίδος ἐστὶν ἡ Πιτάνη. αὕτη δὲ ἡ Πιτάνη ἡ τοῦ Εὐρώτα πρόγονός ἐστι τῶν Ἰαμιδῶν. ταύτης γὰρ καὶ Ποσειδῶνος Εὐάδνη, Εὐάδνης δὲ καὶ Ἀπόλλωνος Ἴαμος ὁ μάντις. τῆς Πιτάνης δὲ ὁμώνυμος ἡ πόλις. Εὐάδναι δὲ δισσαί, μία μὲν ἡ Ποσειδῶνος καὶ Πιτάνης, ἑτέρα δὲ Ἴφιδος, ἣν καὶ Ἰάνειραν λεγομένην φασὶν Εὐάδνην ὠνομάσθαι διὰ τὸ
BEQ πλῆθος τῶν ἕδνων ὧν ἔδωκε Καπανεύς. b. ἡ δὲ Λακωνικὴ Πιτάνη Εὐρώτα τοῦ ποταμοῦ γενεαλογεῖται εἶναι.

BCEQ 46 c. πρὸς Πιτάναν δὲ παρ' Εὐρώτα πόρον: ὁ Ἀγησίας γένει μὲν ἦν Ἀρκὰς καὶ Ἀργεῖος ὡς ἀπὸ Ἰάμου οὕτω· Πιτάνη γὰρ γέγονεν Εὐρώτα Λακωνικοῦ ποταμοῦ·

---

1 ἐπειδὴ — ἡμίονοι] καὶ αἱ ἡμ. γὰρ C ‖ αὐταὶ D: αὗται BEQ 2 τοῖς στ. Q ‖ τοῖς ἄνθ. Q 3 ὁ addidi 4 ἀγωνιζόμεναι A: supplevi et corr. ex V 5. 6 supplevi 7 ὕμνων om. E ‖ ἀναπιτνάμεν om. Q 8 τὰς π. τῶν ὕμνων Bv ‖ τὰς] τῶν $E^{ac}$ 10 τοὺς E: καὶ τοὺς Q 11 ἐπαίνου EP: ἐπαινουμένου Qb 12 ἐν τῷ ἐπαινεῖν ἑαυτοῦ E: τοῦ ἐπαινεῖν αὐτοῦ Qb 13 l. om. DE ‖ Πιτάναν (alt.) om. C ‖ δέ et Πιτάναν om. Q 14 λέγει πόλιν E ‖ τῇ ἡρωίδι om. CD ‖ Εὐρώτου D hic et 17 15 ἐπειδὴ PQb ‖ καὶ om. PQr 16 ἐστὶν ἡ] ἐστὶ πόλις D 17 Ἰαμίδων B Ἰαμμίδων E 21 ἄνειραν E ‖ λεγομένην — ὠνομάσθαι] καλοῦσι καὶ D, add. ὠνομάσθη Εὐάδνη post Καπανεύς ‖ φησιν E 23 εἶναι om. v 24 l.] om. C ἄλλως· πρὸς Π. παρ' Εὐρώτα Q ‖ δὲ E: καὶ Bv 25 γένει μὲν om. Bv 26 γὰρ] μὲν Q

ᾗ συνελθὼν Ποσειδῶν ἐγέννησεν Εὐάδνην τινά. αὕτη τὸ γεννηθὲν ἐκπέμπει λαθραίως εἰς Ἀρκαδίαν τρέφεσθαι παρὰ Αἰπύτῳ τῷ Ἐλάτου παιδί. ταύτην τὴν Εὐάδνην ἐν ἀκμῇ γενομένην διεκόρησεν ὁ Ἀπόλλων, καὶ ἔτεκεν Ἴαμον, ἀφ᾽ οὗ οἱ Ἰαμίδαι μάντεις κατὰ τὴν Πίσαν, εἰς οὓς τὸ γένος ἀνάγει ὁ Ἀγησίας· καὶ οὕτως εὑρίσκεται ὡς μὲν ἀπὸ τῆς Πιτάνης Ἀργεῖος, ὡς δὲ ἀπὸ Ἰάμου καὶ Εὐάδνης τῆς ἐν Ἀρκαδίᾳ Ἀρκάς. 48 E 47d Q

46 d. *παρ᾽ Εὐρώτα πόρον*: προσέθηκε τὸ παρ᾽ Εὐρώτα πόρον· ἔστι δὲ Πιτάνη πόλις Λακεδαίμονος, καὶ Εὐρώτας ποταμὸς καὶ Σπάρτης καὶ ἄλλος Ἰταλίας. **A**

47 a. *δεῖ σάμερον*: ἑαυτὸν λέγει ὁ ποιητής· ἀντὶ τοῦ σχολάσω τῷ ὕμνῳ. **A**

47 b. *δεῖ σάμερον ἐλθεῖν*: κατὰ τὸν ὡρισμένον καιρὸν τῶν ἐγκωμίων. **BCDEQ** c. δεῖ οὖν, φησι, ταχέως καὶ περὶ τῆς Πιτάνης εἰπεῖν τήμερον, τῆς τοῦ Εὐρώτα ποταμοῦ θυγατρός. 48c BQ | d. ἐν δέοντι καιρῷ. e. δεῖ αὐτῆς μνησθῆναι σήμερον. 55d E 47b Q **CDQ**

48 a. [*ἅ τοι Ποσειδάωνι*]: λάθρᾳ τεκοῦσα ἡ Πιτάνη ἀπέστειλεν εἰς Ἀρκαδίαν Αἰπύτῳ τῷ Ἐλάτου παιδί. τὸ δὲ ἐκ συντυχίας συμβεβηκὸς ἐκ προνοίας λέγει γεγενῆσθαι. τὴν γὰρ Εὐάδνην ἐκτεθεῖσαν Αἴπυτος εὑρὼν ἀνέλαβεν. 61 B 55d Q **BCDEQ**

48 b. Πιτάνη γὰρ Εὐρώτα Λακωνικοῦ ποταμοῦ· ᾗ Ποσειδῶν μιχθεὶς λάθρᾳ .... γεννῆσαι τὸν Ἴαμον, ἀφ᾽ οὗ Ἰαμίδαι. **D**

48 c. *ἅ τοι Ποσειδάωνι μιχθεῖσα*: ἥτις μιχθεῖσα τῷ Ποσειδῶνι Πιτάνη λέγεται τὴν ἰοπλόκαμον (ἀπὸ μέρους τὴν καλὴν) Εὐάδνην τεκεῖν, καὶ διαλαθεῖν ἐγκυμονοῦσαν, **BCEQ**

---

1 ἐγέννησεν] ἀπέτεκεν Q ‖ αὕτη BE: αὕτη ἡ Πιτάνη CQ 3 Αἰπύτῃ v ‖ τῷ] τῷ τοῦ Qr 4 διεκόρευσεν E 5 τὴν om. Bv ‖ Πίσσαν B 6 μὲν ἀπὸ CEQ: ἀπὸ μὲν Bv 7 τῆς] τῶν E 17 l.] ἐν ὥρᾳ C ἄλλως praem. Q ‖ δεῖ σήμερόν φησι post l. add. v 15 δεῖ οὖν φησι] ἐλθεῖν v ‖ καὶ] δὲ E 16 εἰπεῖν BEQ: ἐλθεῖν CD ‖ τήμερον BE: σήμερον DQ om. Cv ‖ Εὐρώτου DE 14 l. δεῖ σάμερον ἐλθεῖν ἐν ὥρᾳ sch. 47d praem. Q ‖ sch. 47e om. C ‖ δεῖ Q: δι᾽ D 19 l. om. BEQ; seclusi 20 τῷ Ἐλ. παιδί om. Bv 21 συμβὰν Bv ‖ λέγεται EQ 22 ἔλαβεν Bv 26 Ποσειδάονι EQv ‖ μιγεῖσα E ‖ μιγεῖσα Bv 28 τὴν] τὸ πᾶν v

*καὶ κρύψαι τὴν ὠδῖνα τὴν ἑαυτῇ δοκοῦσαν παρθενίαν. παρθένιοι δὲ λέγονται παῖδες οἱ κρύφα τικτόμενοι παρὰ τῶν ἔτι νομιζομένων εἶναι παρθένων. οὕτω που καὶ Ὅμηρος ἐν τῷ καταλόγῳ τῶν Ἀχιλλέως νηῶν φησι* (*Π* 179)·

*τῆς δ' ἑτέρης Εὔδωρος ἀρήιος ἡγεμόνευε*
*παρθένιος.*

BCEQ 48 d. *ἄλλως· ἅ τοι Ποσειδάονι: πρὸς τὴν ἱστορίαν, ὅτι φησὶ τὸν Ποσειδῶνα Πιτάνῃ μιχθέντα λάθρᾳ γεννῆσαι Εὐάδνην. ἐκ ταύτης δὲ καὶ Ἀπόλλωνος Ἴαμος, ἀφ' οὗ Ἰαμίδαι.*

A 50 a. *ἰοπλόκαμον: ἡ Πιτάνη πρόγονός ἐστι τῶν Ἰαμιδῶν. γίνεται γὰρ Ποσειδῶνος καὶ Πιτάνης Εὐάδνη· Εὐάδνης δὲ καὶ Ἀπόλλωνος Ἴαμος ὁ μάντις, ἀφ' οὗ καὶ Ἰαμίδαι. δύο δέ εἰσιν Εὐάδναι· μία μέν ἐστιν ἡ Ποσειδῶνος καὶ Πιτάνης, ἑτέρα δὲ Ἰφίτου, ἣν καὶ Ἰάνειραν· ἣν ἔγημε Καπανεύς. ἡ δὲ Λακωνικὴ Πιτάνη Εὐρώτα τοῦ ποταμοῦ γενεαλογεῖται, ὡς Σωσίβιος* (FHG II, 627). b. *ἡ ἡρωίνη, ἀφ' ἧς καὶ ἡ πόλις.*

A 51 a. *⟨παρθενίαν:⟩ καθ' ὃ ἐδόκει ἔτι παρθένος εἶναι. διὸ καὶ οἱ ἐξ αὐτῶν παῖδες παρθένιοι.* b. *ἢ ὅτι λαθραίως ἡ Πιτάνη διεκορεύθη καὶ ἔτεκεν.*

A 52 a. *κυρίῳ δ' ἐν μηνί: τῷ τὸ κῦρος ἔχοντι τοῦ τόκου.*

BCDÊQ 52 b. *κυρίῳ δ' ἐν μηνί: τῷ τοῦ τοκετοῦ.* c. *ὁ νοῦς·*

---

2. 3 sch. A *Δ* 499. sch. ABT *Π* 180. EG 410, 32. EM 236, 27. Suid. Phot. 20 sch. B *Π* 180

---

1 *τὴν* (alt.) om. **E** | *ἑαυτῇ δοκοῦσαν παρθενίαν* **Bv**: *ἐν τῇ δοκούσῃ παρθενίᾳ* **CEQb** 2—6 cfr. Tricl. 211, 13 3 *ἔτι* om. **BĈv** (hab. schol. A Hom.) ‖ *παρθένων εἶναι* **Bv** 4 *Ἀχιλέως* **B** 5 *ἑτέρας* **E** 7 l. om. **CQ** 8 *φασὶ* **E** 10 *οἱ Ἰαμ.* **Cv** 11. 12 *Ἰαμμιδῶν* ‖ *Εὐάδνη* add. **A**[s] 12. 13 *Εὐέδνης* 15 *Ἴφιδος* **V** (46 a) 17 *Σωσίβιος* Gerhard: *Σωσίγγιος* 17. 18 *ἡ ἡρωίνη* ego: *ἢ ἡρωίνης* **A** *ἢ ἡρωίνη* **b**. Pertinet glossa ad *ἅ τοι* 48; cfr. Wilamowitz Isyll. p. 184, n. 42 19 l. addidi 24 l. **BCD**: *κυρίῳ μηνί* **E** *κ. δὲ μ.* **Q** ‖ *τῷ τοῦ τοκετοῦ* (**C**) **EQ**: om. **BDv** ‖ *ὁ νοῦς*] om. **CD** *ὁ δὲ νοῦς* **E**

τῷ κυρίῳ δὲ μηνὶ τοῦ τίκτειν ἀποστείλασα θεράποντας ἐκπέμπει τὸ βρέφος πρὸς τὸν βασιλέα τῶν Ἀρκάδων Αἴπυτον Ἐλάτου παῖδα. 47 E

d. ἄλλως· κύριόν εἶπε τὸν μῆνα εἰς ὃν ἔδει τεκεῖν αὐτήν. 48a Q Q

52 e. πέμποισ' ἀμφιπόλους: λάθρᾳ φησὶ τὴν Πιτάνην τεκοῦσαν ἀποστεῖλαι τὸ βρέφος τὴν Εὐάδνην εἰς τὴν Ἀρκαδίαν πρὸς Ἐλάτου υἱὸν τρέφεσθαι Αἴπυτον. τούτου καὶ Ὅμηρος μέμνηται (Β 604)· Αἰπύτιον παρὰ τύμβον. A
f. παρὼν δὲ καὶ ὁ Αἴπυτος ἐν Λακεδαίμονι ἔλαβεν αὐτὸ ἐκτεθέν· ὁ δὲ Πίνδαρος ποιητικῶς λέγει πεπέμφθαι τὸ βρέφος.

54 a. ἥρωι πορσαίνειν: τὸ ἑξῆς· ἥρωι Εἰλατίδᾳ δόμεν ὥστε πορσαίνειν καὶ τρέφειν τὸ βρέφος. A

54 b. (πορσαίνειν:) τρέφειν. Bgl

55 a. ὃς ἀνδρῶν Ἀρκάδων: Δίδυμός φησιν ὅτι πάντες οἱ ὑπομνηματισάμενοι Φαισάναν τὴν τῆς Ἀρκαδίας πόλιν· αὐτὸς δέ φησιν εἶναι τῆς Ἠλιδίας, καὶ παρατίθεται Ἴστρον ἱστοροῦντα ἐν τῇ ε´ τῶν Ἠλιακῶν. ἤτοι οὖν Πίνδαρος ψεύδεται, ἢ διὰ τὸ τὴν Πίσαν ὑπὸ τοῖς Ἀρκάσι ποτὲ γενέσθαι βασιλεύειν φησὶ τῆς Φαισάνης τὸν Αἴπυτον. 57 A

55 b. ὃς ἀνδρῶν Ἀρκάδων ἄνασσε Φαισάνᾳ: τὴν Φαισάναν πάντες μὲν οἱ ὑπομνηματισταὶ τῆς Ἀρκαδίας εἶναι πόλιν ἐξεδέξαντο· ὁ δὲ Δίδυμός φησι τῆς Ἤλιδος αὐτὴν εἶναι καὶ ὑπεραπολογεῖται τοῦ ῥητοῦ οὕτως, ὅτι ποτὲ οἱ Ἀρκάδες καὶ τῆς Ἤλιδος ἐβασίλευον κατὰ τὸν χρόνον τοῦ Αἰπύτου. οἱ δὲ βουλόμενοι τὴν Φαισάναν Ἀρκαδικὴν εἶναι τὸ περὶ Ἀλφειοῦ οὕτως ἐπιλύονται, ὅτι διὰ Φαισάνης ἔχει BCDEQ

---

1 τῷ — θεράποντας] ἐν τῷ τίκτειν τῷ κυρίῳ μηνὶ **D** ‖ θεράποντα **Bv** 2 Ἀρκαδίων **CQ** 5 πέμποι δ' 9 αὐτὸ ego: αὐτοῦ 12 Εἰλατίδᾳ δόμεν **b**: λατίδα δῶμεν 16 τὴν **A** prave: φασὶν εἶναι **b** 17 Ἠλιδίας ego: ἠλιαίας 17. 18 παρατίθεται **b**: παρατιθέναι 20 Φαισάνης **b**: Φαισάρης 22 l.] om. **C** ἄλλως **Q** 22 — p. 168, 3 cfr. Thom. 213, 10 22. 23 τῶν Φαισάνων **DE** om. **Q** ‖ πάντες **B**: καὶ πάντες ‖ οἱ om. **Bv** 24 ἐξεδέξαντο **BE**: διεδέξαντο **CD** Thom. τὴν Φαισάναν ἐδέξαντο **Q** 28 ἀπολύονται **DEQ**

ὁ ποταμὸς τὰ ῥεύματα. φέρεται γὰρ ἐξ Ἀσέας κώμης Ἀρκαδικῆς. c. ὅτι αἱ πηγαὶ τοῦ Ἀλφειοῦ ἐξ Ἀσέας τῆς Ἀρκαδικῆς εἰσι, καὶ μεταποιοῦνται αὐτοῦ οἱ Ἀρκάδες. 58 EQ

BCDEQ 55 d. *ἄνασσε Φαισάνᾳ*: ὁ νοῦς· ὅστις Αἴπυτος βασιλεύων τῆς Ἀρκαδίας καὶ ἔχων ὑφ' ἑαυτὸν τὴν Φαισάναν ἔλαχε κατοικεῖν ἐν ταῖς ἀρχαῖς τοῦ ποταμοῦ· ἄρχεται γὰρ τὰ ῥεῖθρα ἐν Ἀρκαδίᾳ, ἐν Ἤλιδι δὲ ἐκλάμπει πολύς. $48^{a}$ B $55^{b}$ EQ

A 56. *Ἀλφεὸν οἰκεῖν*: τὸν Ἀλφεόν φησιν οἰκεῖν τὸν Αἴπυτον, ὅτι τῆς Ἠλιδίας ἐπῆρχον οἱ Ἀρκάδες· ἢ ὅτι ⟨αἱ⟩ πηγαὶ τοῦ Ἀλφεοῦ ἐν Ἀσέᾳ τῆς Ἀρκαδίας εἰσί, παρ' ὃ καὶ ἀντιποιοῦνται αὐτοῦ οἱ Ἀρκάδες. 59

A 57. *ὑπ' Ἀπόλλωνι*: ἀντὶ τοῦ διεκορεύθη ὑπ' Ἀπόλλωνος ἡ Εὐάδνη ἐκεῖ τρεφομένη. 56

CDEQ 58 a. *ἔψαυσ' Ἀφροδίτας*: δαιμονίως τὸ ἔψαυσεν ὡς ἐπὶ θείας ἀφροδισίων συνόδου ἔταξε. b. τὸ δὲ ὅλον·
DEQ διεφθάρη ὑπ' Ἀπόλλωνος. c. ἄλλως· τῆς γλυκείας πρῶτον συνουσίας μετέσχε τοῦ Ἀπόλλωνος.

A 59 a. *οὐδ' ἔλαθ' Αἴπυτον*: οὐκ ἔλαθε τὸ ἐκ θεοῦ λαθραῖον ἀδίκημα κρύπτουσα τὸν πάντα χρόνον· ἔγνω γὰρ αὐτὴν ἔγκυον οὖσαν. b. τινὲς τὸν Ἴαμον οὐκ Ἀπόλλωνος, ἀλλὰ Ποσειδῶνος γεγονέναι.

$B\varepsilon^{1}$ 60 a. οὐκ ἠδυνήθη οὖν λαθεῖν τὸν αὐτὴν θρέψαντα Αἴπυτον ἤγουν κλέψασα ἤτοι δεξαμένη τὸν ἐξ Ἀπόλλωνος γινόμενον παῖδα.

---

1 St. B. Ἀσέα

---

1 ποταμὸς] Ἀλφειὸς Bv ‖ Ἀσέας B$C^2$Q: ἄσας D ἀσίας $C^1$E Thom. 2 ὅτι — 3 Ἀρκαδικῆς om. D 2 ὅτι B: ἢ ὅτι ‖ ἐξ Ἀσέας BQ: ἐκ νασέας C ἐν νασσέας E 3 ἀντιποιοῦνται b 4 l. om. CDQ ‖ ὁ νοῦς om. E 5 Ἀρκαδίας CQv: Ἀρκάδος BDE 6 τῇ ἀρχῇ Q ‖ γὰρ] δὲ CD 10 Ἠλιδίας ego: ἡλιαίας $A^{ac}$ ἠλιαίας $A^{pc}$ ‖ ἐπῆρχον ego: ὑπῆρχον 10. 11 αἱ πηγαὶ V: πηγαῖς 11 ἐν Ἀσέᾳ Sybel p. 8 (V): ἔναντι 13 διεπορεύθη (π expuncto?): ego 15 l.] πρῶτον ἔψαυσ' Ἀφρ. Qv 16 ἀφροδισίας Qv ‖ ὅλον] οἱ E 17 ἄλλως DQ: ἄλλως· ὃς πρῶτον ἔψαυσε E 18 τοῦ Ἀπ. συν. μετέσχε Qv 20 ἀδίκημα suspectum; an ἐγκύημα?

60 b. (*κλέπτοισα*:) συσκιάζουσα. B$^{gl}$

60 c. *θεοῖο γόνον*: τὸν ἐξ Ἀπόλλωνος γινόμενον παῖδα. CDEQ d. οὐκ ἠδυνήθη οὖν διαλαθεῖν τὸν αὐτὴν θρέψαντα Αἴπυτον δεξαμένη γόνον θεοῦ.

61 a. *ἀλλ' ὁ μὲν Πυθῶνα*: ἀλλ' ὁ μὲν εἰς Πυθῶνα A μαντευσόμενος ἀφίκετο. b. *πιέσας*: τὸν ἑαυτοῦ χόλον κατασχών.

61 c. *ἐν θυμῷ πιέσας*: κατὰ τὴν ψυχήν. d. καίτοι BCDEQ δεινὴν οὖσαν τὴν ὀργὴν λογισμῷ κατασχὼν καὶ πρὸ τῆς ἀληθοῦς γνώσεως οὐκ ἐκφῆναι τὸ δεινὸν βουληθείς, καίτοι καὶ πάνυ χαλεπαίνων, εἰς τὸ τοῦ Πυθίου Ἀπόλλωνος μαντεῖον ἐπορεύετο γνωσόμενος ὑπὲρ τοῦ ἀτλήτου καὶ ἀτόπου τῆς διαφθορᾶς πάθους.

62 a. (*χόλον*:) τὸν ὑπὲρ τοῦ τεκεῖν αὐτήν. B$^{gl}$

62 b. *ὀξείᾳ μελέτῃ*, τῇ μεγάλῃ φροντίδι· μελέτας γὰρ BDEQ τὰς φροντίδας λέγουσιν.

65 a. *ἀτλάτου*: περὶ τοῦ προδεδηλωμένου ἀτολμήτου A ὄντος. b. ἢ ἣν οὐκ ἄν τις ῥᾳδίως ἐνέγκοι διὰ τὴν ὕβριν.

66 a. *ἁ δὲ φοινικόκροκον*: ἡ Εὐάδνη. b. *φοινικόκροκον*, BCDEQ τὴν ἐκ φοινικῆς κρόκης ὑφασμένην. c. ἢ τὴν CD ἐκ φοινικοῦ εἴδους κεκροτημένην ἤτοι κατεσκευασμένην.

67. *ζώναν*: ὁ Αἴπυτος ἕως ᾤχετο πρὸς Δελφοὺς A μαντευσόμενος, ἡ Εὐάδνη ἀφελομένη τὴν ζώνην τῆς γαστρὸς καὶ τὴν ὑδρίαν ἀποθεμένη ἔτεκε τὸν Ἴαμον.

68. *ἀργυρέαν*: ἔθος ἦν ταῖς ἡρωίσιν ἑαυταῖς ὑδρεύ- A σασθαι, ὡς καὶ ἡ Εὐάδνη ὅτε τὸν παῖδα ἐγέννησεν. ἔθος δὲ καὶ ταῖς τικτούσαις λύειν τὰς ζώνας.

69 a. *λόχμας ὑπὸ κυανέας*: τοῦ ἀνθηροῦ καὶ κατα- BCDEQ πύκνου τοῖς φυτοῖς τόπου. b. *κυανέας*, ἤτοι τῆς βαθείας, ἢ παρὰ τὴν τῶν ἴων χροιάν.

---

3 οὖν διαλαθεῖν] δὲ λαθεῖν v    4 δεξαμένην **E**    6 μαντευσάμενος: ego ‖ χόλον ego: χρόνον    8 l.] ἄλλως· ἀλλ' ὁ μὲν ἐν θυμῷ **Q** ‖ πιέσαις **C**$^{pc}$ ‖ τὴν om. **B**v    11 καὶ om. **B**v    14 ὑπὲρ] περὶ v    15 τῆς μεγάλ(ης) φροντίδ(ος) **B**v    19 ἡ Εὐ. φοινικ. om. **D**    20 τὴν] δὲ τὴν **Q**b τῆς **DE**$^{ac}$ ‖ κρόκην v (corr. iam Beck)    29 τῆς] τὰς v    30 χροάν **CQ**$^{1}$ χρείαν **Q**$^{s}$

A 70 a. *θεόφρονα κοῦρον*: ἢ θεῖα φρονοῦντα, καθὸ μάντις ὁ Ἴαμος· ἢ ὅτι θεῶν βουλαῖς ἐγένετο.

BCDEQ 70 b. *τίκτε θεόφρονα κοῦρον*: τὸν Ἴαμον, ὅτι μάν-
BDEQ τις τὴν τέχνην. c. ὁ δὲ νοῦς· ἡ δὲ Εὐάδνη τὴν ἐκ φοινικῆς κρόκης ζώνην λύσασα καὶ ἀποθεμένη, ἀποθεμένη δὲ καὶ τὴν κάλπιν, οὕτω λοιπὸν ἔτεκεν ἐν συσκίῳ τόπῳ τὸν
BCDEQ ἐσόμενον θεόφρονα παῖδα. φησὶ δὲ τὸν Ἴαμον, | ἀφ' οὗ τὸ γένος ἔχει ὁ Ἀγησίας.

71 a. *πραΰμητιν*: τὴν Εἰλείθυιαν πραΰμητιν εἶπεν, ὅτι αἱ τίκτουσαι πραότεραι γίνονται. b. ἢ ὅτι παρθένοι εἰσίν.

BDE 71 b. *πραΰμητίν τ' Εἰλείθυιαν*: πραεῖαν. εὐμενῆ.
BDEQ c. τῇ Εὐάδνῃ ἀποκυούσῃ παρέστησεν ὁ χρυσοκόμης Ἀπόλ-
BCDEQ λων τὴν Εἰλείθυιαν | κεχαρισμένα φρονοῦσαν καὶ τὰς Μοίρας. ἡ δὲ ἔνδειξις οὐ μόνον περὶ εὐτοκίας, ἀλλὰ καὶ καλ-
Q λίστης γενέσεως τοῦ παιδός. d. πραΰμητιν δὲ πραεῖαν καὶ εὐμενῆ.

A 72. *παρέστασέ τε*: τοὺς συνδέσμους μεταθετέον· ὁ γὰρ λόγος οὕτως ἀπαιτεῖ· τῇ μὲν ὁ χρυσοκόμας πραΰμητιν Εἰλείθυιάν ⟨τε⟩ παρέστασεν Μοίρας τε κατὰ τὸν τόκον.

BCDEQ 73 a. *ἦλθε δ' ὑπὸ σπλάγχνων, ἕως κηδόμενοι*: ὁ νοῦς τοιοῦτος· ἐγεννήθη δὲ ἐξ ἐπεράστου ὠδῖνος ὁ Ἴαμος καὶ ἦλθεν εἰς τὸ φῶς εὐθέως. τοῦτον οὖν τίκτουσα καὶ ἐπιλυπουμένη καταλέλοιπεν ἐπὶ τῇ γῇ ἡ Εὐάδνη. δύο δὲ αὐτὸν φοβερώτατοι δράκοντες θεῶν βουλήσει ἀνέθρεψαν ἀβλαβῆ ἰὸν προσφερόμενοι· ἵνα λέγῃ τὸ μέλι.

A 73 b. *ὑπ' ὠδῖνος*: ἡ δευτέρα ὑπό ἀντὶ τῆς μετά, ἡ πρώτη δὲ ἀντὶ τῆς ἀπό.

---

3 τίκτει E 4 νοῦς· ἡ δὲ om. E 5 ἀποθεμένη δὲ καὶ om. V 6 κάλπιν] κάλπην ἤτοι καδδάριον D || ἔτεκεν] ἔτεκεν ∴ θεόφρονα B 7 θεόφρονα B: εὔφρονα || φησὶ δὲ BEQ: ἤγουν D λέγει δὲ V 9 πραϋμῆτιν A 12 τ' om. E 13 τᾷ μὲν ὁ χρυσοκόμας sch. 71c praem. Q || κυούσῃ E || χρυσοκόμας DQ 15 μόνον] μηνὸς E || περὶ τῆς εὐτ. CD 18 τόν τέ σύνδεσμον? 19 πραϋμῆτιν A 20 τε addidi 21 ἕως κηδόμενοι B: om. 23 οὖν τοῦτον B (s. s. β et α) E 25 βουλήσει B: θελήσει CDQ ὠλήσειαν E || ἔθρεψαν DE 27 ὑπό ἀντὶ τῆς b: ἀπὸ τῆς ἀντὶ 28 ἀντὶ Schroeder: ἀπὸ A ὑπὸ ἀντὶ b

75. ἐς φάος αὐτίκα: εὐθέως. ἀκολούθως ὡς ἀπὸ εὐμενεστάτης Εἰλειθυίας ῥᾳδίαν καὶ ἄμοχθον τὴν ὠδῖνα ἐποιήσατο. BCDEQ

76a. κνιζομένα: λυπουμένη ἐπὶ τῷ μὴ δύνασθαι τρέφειν αὐτόν. A

76b. τὸν μὲν κνιζομένα: δοκεῖ τὸ κνιζομένα ἐναντίον εἶναι πρὸς τὴν τῆς Εἰλειθυίας εὐμένειαν· καὶ ἴσως τὴν μετρίαν αἴσθησιν τῆς ἀλγηδόνος ὑποφαίνει [καὶ] κνισμὸν ὀνομάζων. c. ἢ λυπουμένη· ἤλγει μὲν γὰρ ὡς μήτηρ, στέργουσα τὸ τέκνον· κατελείπετο δὲ αὐτὸ ἐπὶ τῆς ἐρημίας βουλομένη λαθεῖν. BCDEQ

76d. γλαυκῶπες αὐτόν: ἢ πυρώδεις· τὸ γὰρ γλαυκὸν ἐπὶ τοῦ πυρώδους ἔθεντο πολλοὶ καὶ τὴν σελήνην γλαυκὴν λέγουσιν. ἢ ἀπὸ τοῦ γλαύσσειν. A

77. δαιμόνων βουλαῖσιν: ἤτοι καθόλου τῶν θεῶν ἀκουστέον, ἢ εἰς Ἀπόλλωνα καὶ Ποσειδῶνα ἀνακτέον, τὸν μὲν πατέρα, τὸν δὲ προπάτορα. BCDEQ

78a. ἀμεμφεῖ: ἀμεμφῆ ἰὸν προσηγόρευσε τὸ μέλι σκληρότερον· ὁ γὰρ ἰὸς μοχθηρόν τι ὑποφαίνει. b. ἐπειδὴ [δὲ] δράκοντές εἰσιν οἱ τρέφοντες, οὗτοι δὲ εἰώθασιν ἐμεῖν τὸν ἰόν· ὥστε τοὐναντίον ἐργάζεσθαι τὸν τῶν δρακόντων ἰὸν ὥσπερ εἰώθασι κατὰ φύσιν, τοῦ θεοῦ εἰς τοῦτο παραστήσαντος τὴν φύσιν τῶν δρακόντων. c. ἢ ἰῷ μελισσᾶν τῷ μέλιτι, διὰ τὴν δριμύτητα καὶ κατὰ μεταφοράν. d. ἐπεὶ δράκοντές εἰσιν, οὗτοι ⟨δὲ⟩ εἰώθεισαν ἐμεῖν τὸν ἰόν. e. [ἐν] ἀμεμφεῖ ἰῷ μελισσῶν: ἤγουν ἐν ἀμέμπτῳ ἰῷ καὶ παρὰ τῶν μελισσῶν· ἤτοι ἁπαλωτέρῳ καὶ γλυκυτέρῳ. A

---

12 EM 233, 21 14 ib. 36

---

4 κνιζομέν(α) 6 τὸν μὲν om. C ‖ κνιζομένα B κνιζομέναν Q: κνυζομένα CD(ubique)E ‖ κνι(υ)ζομένη DE κνιζομέναν Q 7 πρὸς] ὡς πρὸς D 8 καὶ om. v 8. 9 κνισμὸν BCQ: κνι(υ)σμὸν ὑποφαίνει DE 9 ἢ λυπουμένη CDEQ: κνιζομένη B ἢ κνιζομένη λυπουμένη v ‖ ἤλγει] ἢ λέγει E ‖ γὰρ om. DEQ 10 ὃ κατελείπετο, om. δὲ αὐτό, D ‖ καταλείπουσα C 11 ἐλθεῖν B 14 γλάσσειν: b 16 εἰς] ὡς E 18 ἀμεμφῆ ἰὸν V: ἀμεμφεῖ δὲ A 20 δὲ del. b 22 ᾧπερ b 25 οὗτοι, A

BCDEQ 78 f. ἀμεμφῆ ἰὸν εἶπε τὸ μέλι σκληρότερον· ὁ γὰρ ἰὸς μοχθηρίαν τινὰ ὑποφαίνει. g. ὡς ἐπὶ δρακόντων δὲ τὸν ἰὸν εἶπεν· ἀποβάλλει γὰρ ὁ δράκων ἰόν· βουλῇ δὲ θεῶν ὡς μελισσῶν ἄνθος ἡδὺ γίνεται καὶ οἷον ὡς μέλι.

BCEQ h. ἄλλως· ἠστειεύσατο εἰπὼν ἀντὶ τοῦ ἰοῦ μέλι προϊέναι.

BCDEQ i. τὸ δὲ σημεῖον ὅτι ἰὸν μελισσᾶν εἶπε τὸ μέλι διὰ τὸ ἀφίεσθαι ὑπ᾿ αὐτῶν· φησὶ δὲ τὸν Ἴαμον ὑπὸ δρακόντων μέλιτι τραφῆναι.

BDEQ 79 a. βασιλεὺς δ᾿ ἐπεὶ πετραέσσας: τῆς τραχείας. b. τὸ δὲ ἑξῆς, πετραέσσας Πυθῶνος. c. ὁ δὲ νοῦς· ἐπειδὴ οὖν ἦλθεν ἐκ τοῦ μαντείου ὁ βασιλεὺς Αἴπυτος, ἀνήρετο πάντας τοὺς ἐν τῇ οἰκίᾳ περὶ τοῦ γεννηθέντος παιδὸς ὑπὸ τῆς Εὐάδνης.

BCDEQ 84 a. περὶ θνατῶν: περισσῶς ὑπὲρ πάντας ἀνθρώπους. b. ἔλεγε γὰρ αὐτὸν ἐκ πατρὸς Ἀπόλλωνος γεγονέναι καὶ περισσῶς ὑπὲρ πάντας ἀνθρώπους γενέσθαι μάντιν καὶ μηδέποτε αὐτοῦ τὸ γένος διαλείπειν.

CDEQ 84 c. τὸ ἔφη ἀπὸ κοινοῦ. d. τὴν μαντείαν οὐδέποτ᾿ ἐκλείψειν τὴν γενεὰν αὐτοῦ διὰ τὸ ἀπ᾿ αὐτοῦ τοὺς Ἰαμίδας εἶναι.

A 86 a. οὐδέποτ᾿ ἐκλείψειν: διὰ τὸ ἀπ᾿ αὐτοῦ τοὺς Ἰαμίδας εἶναι. b. τοὺς ἀπογόνους.

A 87 a. οὔτ᾿ ὦν ἀκοῦσαι: ἀντὶ τοῦ ἔλεγον μήτε ἀκηκοέναι παιδὸς μήτε ἰδεῖν παῖδα, ἤδη ε´ [γὰρ] ἡμερῶν διελθουσῶν τῆς γενέσεως τοῦ παιδός.

BCDEQ 87 b. τοὶ δ᾿ οὔτ᾿ ὦν: οἱ κατ᾿ οἶκον τοῦ Αἰπύτου θεράποντες.

BCDEQ 88 a. ⟨εὔχοντο:⟩ εἶπον· τῷ γὰρ εὔχοντο ἀντὶ τοῦ εἶπον οἱ Λάκωνες χρῶνται. 89 B

---

1 ἀμεμφεῖ ἰῷ praem. Qv ‖ τὸ μέλι σκληρότερον CD: τὸ μέλι Bv τὸ σκληρότερον E τὸ μέλι τὸ σκληρότερον Qb ‖ υἱὸς E 4 γίνεται] φαίνεται Bv 5 ἠστιεύσαντο E ‖ τοῦ om. E 6 τὸ μέλι om. Bv 7 ἀπὸ E 9 τρηχείας E 15 ἔλεγε — 16 ἀνθρώπους om. B 16 μάντιν γεν. ἀνθρώπους V 19 τὴν] τεῶ E ‖ ὑπ᾿ E 21 οὐδέ ποτέκελείψει 22 Ἰαμμίδας 23 οὐ τῶν 24 γὰρ del. b 25 ft. ⟨ἀπὸ⟩ τῆς γεν. 26 l. BQ: τοὶ δ᾿ οὔτ᾿ ὦν ἀκοῦσαι CDE 28 l. addidi ‖ ηὔχοντο E

88 b. (εὔχοντο:) ἀντὶ τοῦ ἔλεγον. B[gl]
88 c. πεμπταῖον γεγεναμένον: τοῦτο οὐχ ὡς ἀπὸ BCDEQ
τῶν οἰκετῶν· δίδομεν γὰρ αὐτοῖς τὸ εἰδέναι, εἰ καὶ τὸν ἀριθ-
μὸν τῶν ἡμερῶν ἀφ' οὗ γέγονεν ἐπίστανται· ἀλλὰ ῥητέον
ἐκ τοῦ ποιητικοῦ προσώπου τὸ τοιοῦτον λέγεσθαι. οἱ οὖν
οἰκέται τοῦ Αἰπύτου ἐρωτώμενοι ἔλεγον μήτε ἑωρακέναι
μήτε ἀκηκοέναι· εἶτα ὁ ποιητὴς ἀφ' ἑαυτοῦ· καὶ ταῦτα
πεμπταῖον ἤδη ὂν τὸ παιδίον. 90 B
89. [οὔτ' ἰδεῖν εὔχοντο ἕως τοῦτ' ὄνομ' ἀθάνα- BCEQ
τον:] ὁ νοῦς· ἔκειτο δὲ ὁ παῖς βεβρεγμένος καὶ κεκαλυμ-
μένος ταῖς τῶν ἴων ἀκτῖσι [δεδροσισμένος]· διόπερ καὶ τὴν
κλῆσιν τὴν τοῦ Ἰάμου αὐτῷ ἡ μήτηρ ἔθετο ἀπὸ τῆς τῶν
ἴων αἰτίας. ἀθάνατον δὲ εἶπεν ὠνομάσθαι αὐτὸν ὡς ἐν
τῷ χρησμῷ· εἶπε γὰρ ἀνωτέρω οὐδέποτε ἐκλείψειν τὴν γε-
νεὰν αὐτοῦ. 88 B
90 a. βατείᾳ τ' ἐν ἀπειράτῳ: ἣν οὐκ ἔστι διὰ τὰ A
κέντρα διαπερᾶσαι. b. ἢ τὴν πολλὴν καὶ δύσβατον μετα-
σχηματίσας βάτειαν εἶπεν. c. οἷον ἐν δρυμῷ μεγάλῳ.
90 d. βατείᾳ τ' ἐν ἀπειράντῳ: ὅτι βάτειαν εἶπε τὴν BCDEQ
βάτον, ὅ ἐστιν ἀκάνθης εἶδος. καὶ ὅτι τὸν Ἴαμον ἐτυμο-
λογεῖ. e. ἀπειράντῳ δέ, ἐν δρυμῷ μεγάλῳ. | f. ἀπειράτῳ DEQ
ἀπὸ πολλῶν.
91 a. ἴων ξανθαῖς τε: ταῖς τῶν ἴων ἀκτῖσι καὶ λαμ- A

---

20 Hes. βάτος.

---

2 γεγενημένον E 3 δίδομεν CDEQ: οὐ διδόαμεν Bv || εἰ CDEQ: ἢ Bv 4 ἐπίστανται CDQ ἐπίσταται E: ἐπίστασθαι Bv 8 ἤδη om. CDQ 9 l. B: ἄλλως· οὔτ' ἰδεῖν εὔχοντο (-ται E) πεμπταῖον ἀλλ' ἐγκέκρυπτο (ἐκέκρ. E) ἕως ἀθάνατον EQ ἀλλ' ἐγκέκρυπτο C 10 βεβρεγμένος καὶ κεκαλυμμένος om. C 11 δεδροσισμένος CEQ: καὶ καταδεδροσισμένος Bv; seclusi 12 αὐτῷ Cv: αὐτοῦ BEQ 13. 14 ἐν τῷ χρησμῷ CEQ: ἀπὸ τῶν χρησμῶν B 17 sq. metaschematismus ad βάτειαν pro βάτον positum pertinere vid. 19 βατείᾳ] βατείαν E || τ' om. CD || ἀπειράτῳ v || ὅτι om. BCv || βάτειαν BC: βατείαν DEQ 20 ἀκάνθης εἶδος BEQ Hes.: ἀκανθῶδες (-ώδης C) φυτόν CD || ὅτι om. BCv 21 ἀπειράντῳ (pr.) B ἀπειράτῳ v: ἀπείρῳ CDE 22 ὑπὸ b; sed ft. glossa ad 102 λαοτρόφον pertinet 23 ἀκτίσι A[pc]

πηδόσι δεδροσισμένος. b. ἀκτῖσι δὲ παμπορφύροις εἶπεν, ἐπειδὴ τῶν ἴων τὰ μὲν ὑπολευκίζει, τὰ δὲ πορφυρᾶ ἐστιν.

BCDEQ 91 c. παμπορφύροις ἀκτῖσιν: ἀκτῖνας λέγει τὰς ἀποπιπτούσας ἀπὸ τῶν ἀνθέων δρόσους. d. ἢ λαμπηδόνας τῶν ἀνθῶν.

A 92 a. βεβρεγμένος: τουτέστι δεδροσισμένος ἐν αὐτοῖς. b. Ζηνόδοτος γράφει ἀντὶ τοῦ βεβρεγμένος .... c. ἀκτῖνας δὲ ἔφη τὰς ἀποπιπτούσας ἀπὸ τῶν ἀνθέων δρόσους (Hom. Ξ 351)· στιλπναὶ δ' ἔπιπτον ἐέρσαι.

Bgl 92 d. (βεβρεγμένος:) δεδροσισμένος.

A 93 a. κατεφάμιξεν: διὰ τὸ ἐν ἄνθεσι τετράφθαι Ἴαμος ἐκλήθη ἀπὸ τῶν ἴων τῶν περὶ αὐτῷ.

BCDEQ 93 b. τὸ καὶ κατεφάμιξεν: ἀντὶ τοῦ διὰ τὸ τοῖς ἴοις δροσίζεσθαι αὐτὸν ἀστείως καὶ Ἴαμον καλεῖσθαι.

A 95 a. τοῦτ' ὄνυμα: ἀντὶ τοῦ ὄνομα. b. τὸ ἀθάνατον ὅτι διαβόητος ἦν· ἢ ὅτι ἐξ αὐτοῦ πολὺ γένος ἐγένετο τῶν Ἰαμιδῶν. c. ἀθάνατον: διὰ τὸ ἀπ' αὐτοῦ κεκλῆσθαι τοὺς Ἰαμίδας.

BDEQ 95 a. τοῦτ' ὄνυμ' ἀθάνατον: διὰ τοῦτο. b. διὰ τὸ τοὺς Ἰαμίδας [ἀθανάτους] ἀπ' αὐτοῦ καλεῖσθαι.

A 95 c. τερπνᾶς δ' ἐπεί: καλῶς εἶπε τερπνῆς χρυσοστεφάνου καρπόν· ἐν γὰρ τῇ ἀκμῇ τοῦ σώματος οἱ ἄνδρες τὰ τέλεια φρονοῦσι. d. τερπνὴν δὲ καὶ εὐστέφανον ἐκάλεσε τὴν ἀκμὴν τοῦ σώματος διὰ τὸ ἐπίχαρι αὐτῆς.

BCDEQ 95 e. τερπνᾶς ἥβας: ὅτι ἐν ταύτῃ μάλιστα τὰ ἡδέα τοῖς ἀνθρώποις γίνεται. f. τερπνᾶς δ' ἐπεὶ χρυσοστε-

---

1 ἀκτίσι 2 πορφυρά 3 l. om. C || ἀκτίσιν et ἀκτίνας BDE 4 ἀνθέων et 5 ἀνθῶν omnes 4. 5 ἢ τὴν λαμπηδόνα τῶν ἀνθέων b 7 lac. ind. Bergk (item, sed post γράφει, b); id. ⟨πᾶν σῶμα ἁβρόν⟩, Schneidewin βεβραγμένος, Rauchenstein (N. Jhbb. 91, 656) πεφραγμένος suppl. 9 ἀπέπιπτον codd. Hom. ἐπέπιπτον s. ἀνέπιπτον Zenod. 12 αὐτῷ ego: αὐτοῖς 13 καὶ om. BCv 14 post καλεῖσθαι nonnulla excidisse vid. 15 ὄνυμα ego: ὄνομα 19 ὄνομ' E || διὰ τοῦτο (glossa ad τὸ pertinens) διὰ τὸ Q: διὰ τὸ BD διὰ τοῦτο E 20 ἀθανάτους om. b (cum A) 21. 22 χρυσοστεφ(άνου) 23 ft. τὰ γένεια φύουσι 25 ἥβας] δ' ἐπεί DQ 26 l. BE (τερπνὰς et ἐπὶ E): ἄλλως CD ἄλλως· τερπνᾶς δ' ἐπεί Q

*φάνοιο*: ὁ νοῦς· ἐπειδὴ δὲ ἐν ἀκμῇ ἡλικίας ἐγένετο καὶ
τὸν καρπὸν τοῦ χρόνου ἤνεγκε, | τὰ γένεια δὲ λέγει, τότε BCEQ
δὴ παραγενόμενος εἰς τὴν Ἐπίδαυρον ηὔξατο· ἐν μέσῳ γὰρ
Ἤλιδος καὶ Ἀρκαδίας ἡ Ἐπίδαυρος, ὧν ἡ μὲν Ἀρκαδία τὴν
ἀρχὴν, ἡ δὲ Ἦλις τὰ πρὸς ταῖς ἐκβολαῖς οἰκεῖται τοῦ ποτα-
μοῦ. ἐνταῦθα οὖν, | εἰς τὴν Ἐπίδαυρον, ἐπεκαλέσατο τόν τε BCDEQ
ἑαυτοῦ πρόγονον Ποσειδῶνα καὶ τὸν τοξοφόρον καὶ ἔφορον
τῆς θείας Δήλου τὸν Ἀπόλλωνα, τὸν ἑαυτοῦ πατέρα. 102e Q

96. (*χρυσοστεφάνοιο*:) τῆς τιμίας καὶ ἀνθηρᾶς. Bgl

97 a. *καρπὸν ἥβας*: τῆς θεοῦ λέγει. b. ὡς ἥβησεν. A

97 c. *Ἀλφεῷ μέσῳ*: ὁ Ἀλφεὸς ἐκ τῆς Ἀρκαδίας ῥέει A
ἐπὶ τὴν Ἦλιν. d. *κατελθὼν ἐν τῷ ποταμῷ ὑπαίθριος*·
ἀντὶ τοῦ ὑπὸ τὸν ἀέρα· ἐν νυκτὶ ἐκάλεσε τὸν Ποσειδῶνα
τὸν ἑαυτοῦ πρόγονον· ἀντὶ τοῦ πάππον κατὰ μητέρα· εἶπε
γὰρ ἐν τοῖς προλαβοῦσιν ὅτι τῇ Πιτάνῃ τῇ νύμφῃ ἐμίγη
ὁ Ποσειδῶν· ἐξ ἧς Εὐάδνη· καὶ ἀπὸ Εὐάδνης καὶ Ἀπόλ-
λωνος Ἴαμος.

102 a. *λαοτρόφον*: ἀντὶ τοῦ τὴν διατρέφουσαν αὐτὸν A
ἐκ τοῦ λαοῦ τιμήν· λέγει δὲ τὴν μαντικήν· οἱ γὰρ τοιοῦτοι
ὑπὸ τοῦ πλήθους τρέφονται μαντευόμενοι. b. τινὲς δὲ
λαοτρόφον φασὶ τὴν βασιλείαν τὴν τοὺς λαοὺς τρέφουσαν.
c. λαότροφον οὖν προπαροξυτόνως τὸν διὰ τῆς μαντικῆς
τρεφόμενον, παροξυτόνως δὲ τὴν τρέφουσαν τὸν λαὸν, τουτ-
έστι τὸν ὄχλον.

102 d. *λαοτρόφον*: τὴν τρεφομένην ὑπὸ τῶν λαῶν BDEQ
ἐπιστήμην ἑαυτῷ αἰτῶν. 104 Q

102 e. *λαοτρόφον τιμάν*: βασιλικὴν ἀρχήν· ᾧ καὶ BCDEQ

---

13 Hes. *ὑπαίθριον*. Suid. EM 777, 45. Zon. 1707

---

2 *λέγει δὲ τὰ γένεια* **Bv** 3 *τὴν* **BQ**: *τὸν* **CE** ‖ *Ἐπίδωρον* utrob. **C**. *Ἐπίδαυρον* corruptum; *Σαύρου δειράδα* (Paus. VI 21, 2) significari vidit Wilamowitz Isyll. p. 183 4 *ἡ* (ante *Ἐπίδ.*) om. **E**, hab. **C** ex corr. ‖ ⟨*πρὸς*⟩ *τὴν ἀρχὴν* **b** 5 *τὰ* om. **E** 6 *οὖν — Ἐπίδ.* om. **C** ‖ *τὴν*] *τὸν* **E**pc ‖ *τε* om. **D** 7 *τὸν* et *καὶ ἔφορον* om. **E** 13 *ὑπὸ* **b**: *ὑπὲρ* 15 *προλαβοῦσιν* **A**: *προτεθεῖσιν* **b** 18 *αὐτὸν*] *αυ* ex corr. 25 *ἄλλως* praem. **Q** 27 l. **E**: *ἄλλως λ. τ.* **B** *ἄλλως* **D** *λαοτρόφον* **C** *αἰτέων λ. τ.* **Q** ‖ *βασ. ἀρχήν* om. **Q** ‖ *ᾧ*] *ὡς* **D**

Ὅμηρος ὁμολογῶν τοὺς βασιλέας ποιμένας λαῶν ὀνομάζει. f. αἰτῶν οὖν τιμήν τινα τὴν ἀπὸ πολλῶν, ἐν πολλοῖς ὄχλοις, ὑπάρξαι αὐτοῦ τῇ κεφαλῇ. 102^d Q

A 103. *τιμάν τιν᾽*: τιμὴν ἀπὸ τῶν λαῶν καὶ αὐξανομένην καὶ τρεφομένην.

CDEQ 104 a. *νυκτὸς ὑπαίθριος*: τοῦτο συναπτέον τῷ πρώ-
BCDEQ τῳ· καταβὰς ἐν μέσῳ Ἀλφειῷ νυκτὸς ὑπαίθριος. | οἰκεῖος δὲ καὶ ὁ καιρὸς πρὸς θείαν ἐπίκλησιν. b. ηὔχετο οὖν, φησιν, αἰτῶν καὶ παρακαλῶν νυκτὸς ὑπαίθριος· ἀρχαιότατος δὲ ὁ τρόπος τῆς εὐχῆς.

A 105 a. *ἀρτιεπής*: σαφὴς καὶ μηδὲν ἔχουσα ἀποκεκρυμμένον ὥσπερ οἱ χρησμοί.

BCDEQ 105 b. *ἀρτιεπὴς πατρία ὄσσα*: ἡ ἀληθὴς καὶ ἀψευ-
BCEQ δής. c. ἡ δὲ ἀρτιεπὴς καὶ ἀληθὴς φωνὴ τοῦ πατρὸς αὐ-
BCDEQ τοῦ πρὸς τὰς εὐχὰς ἀντεφθέγξατο. d. ὄσσα δὲ ἡ φωνή.

A 106 a. *μετάλλασεν*: ἰδίως κέχρηται τῇ λέξει· μεταλλῆσαι γὰρ λέγουσι τὸ ζητῆσαι, ἀπὸ τῶν μετάλλων· ἐπὶ δὲ τοῦ τοιούτου οὐ τέταχεν, ἀλλ᾽ ἀντὶ τοῦ ἐφθέγξατο καὶ προσεῖπεν αὐτόν. b. ἔνιοι οὕτως· ἐπεὶ ἀφανὴς ἦν ὁ Ἀπόλλων, ἐπεφάνη μὲν οὔ, προσέπιπτε δὲ αὐτῷ ἡ βοή.

B(C)DEQ 106 c. *μετάλλασέν τέ νιν*: ἐὰν μὲν ἐπὶ τοῦ Ἀπόλλωνος, νοεῖσθαι δεῖ οὕτως· ἐπεζήτησέ τε αὐτὸν καὶ ἐν φροντίδι ἔσχεν ὅπως ἂν τὰ μέλλοντα προλέγειν παράσχῃ

---

16 sch. α 231. EM 580, 53. Zon. 1348

---

1 ὁμολογῶν $G^{cp}$**hb**: ὁμολογεῖ **Q** λόγῳ **BCE** λέγων **v** om. **D** || τοὺς $C^{pc}$**DQ**: πρὸς τοὺς **Bv** τοῖς $C^{ac}$ om. **E** || ὀνομάζων **Q** 2 αἰτῶν] αἰτεῖ **hb** (nescio unde) || τιμήν τινα **DQ**: τίμιά τινα **E** τινα τιμὴν **Bv** τιμὴν **C** 4 ὑπὸ **b** 6 l. et **B** 7 μέσῳ τῷ Ἀλφ. **Qb** 8 καὶ om. **E** καὶ ὁ om. **C** 9 καὶ om. **Q** 12 χρησμοί Wilamowitz Isyll. p. 184 n. 42: σεισμοί 13 ἀψευδής] ἡ ψευδής **E** 16 μετάλλασσεν $A^{ac}$? 17 ἐπὶ δὲ ego: ἐπεὶ 18 οὐ τέταχεν **V**: οὔτ᾽ ἴαχεν 19 ἐπεὶ ἀφανὴς **V**: ἐπιφανής. Q. s. vix sana; cfr. 106 f 21 μετάλλασεν **D**: μετάλλασσε **BE** μετάλλασε **Q** μεταλάσσε **C** || νιν **B**: μιν || post μιν lac. septem fere versuum **C**; dein sch. 107 (p. 177, 18) || ἐπὶ τοῦ] ὑπὸ **E** 22 νοεῖσθαι δεῖ οὕτως **B**: νοῆται δεῖ οὕτως **E** νοεῖται οὕτως **D** κεῖται οὕτως δεῖ **Q** || ἐζήτησε **Q** 23 ἂν om. **Bv** || παράσχοι $Q^{s}$**b**

αὐτῷ· ἐὰν δὲ ἐπὶ τοῦ Ἰάμου, ὅτι τῆς φωνῆς ἀκούσας τοῦ Ἀπόλλωνος ἐπεζήτησεν αὐτὸν, ὥστε καὶ κατ' ὄψιν αὐτὸν εὐτυχῆσαι τῆς θέας τοῦ θεοῦ. d. τὸ δὲ μετάλλασεν, ἐὰν λάβωμεν ἀντὶ τοῦ ἀνηρώτησεν, ἀκύρως κεῖται· μεταλλῆσαι γάρ ἐστι τὸ ζητεῖν, ὡς ἐπὶ τῶν μετάλλων.

106 e. *ἄλλως· μετάλλασέ τέ νιν*: ἰδίως κέχρηται τῇ BEQ λέξει· μεταλλῆσαι γάρ ἐστι τὸ ζητῆσαι, ἀπὸ τῶν μετάλλων. νῦν δὲ ἐπ' οὐδενὸς τοιούτου τέταχεν, ἀλλὰ ἀντὶ τοῦ ἐφθέγξατο καὶ προσεῖπε καὶ οἱονεὶ ἐφιλοφρονήσατο. f. ἔνιοι δὲ οὕτως· ἐπεὶ ἀφανὴς ἦν ὁ Ἀπόλλων τῷ Ἰάμῳ, μόνῃ δὲ φωνῇ προσεῖπεν αὐτὸν, ἐφθέγξατο μὲν ὁ Ἀπόλλων, ὁ δὲ Ἴαμος ἐζήτησε τὸν φθεγξάμενον τίς ἦν. g. τὸ δὲ ἑξῆς λεγόμενον· ἐφθέγξατο ὄρσο τέκος.

107 a. *ὄρσο τέκνον*: ὅρμα, τέκνον, τῆς ἐμῆς φωνῆς A ὀπίσω· καθηγήσομαι μὲν ἐγὼ, σὺ δὲ ἀκολούθει εἰς τὴν ἐσομένην πάγκοινον χώραν, τὴν Ὀλυμπίαν.

107 b. *ὄρσο τέκνον δεῦρο*: ταῦτα παρὰ Ἀπόλλωνος BDEQ πρὸς Ἴαμον· ἄγε δὴ ἀνίστασο, παῖ, ἀπέλθωμεν | εἰς τὴν BCDEQ ἐσομένην ὕστερον πολύκοινον καὶ πολυπληθῆ χώραν· λέγει δὲ τὴν Ὀλυμπίαν. ὡς δὲ θεὸς, καὶ μάντις ἀκριβής ἐστιν εἰς τὰ μέλλοντα.

107 c. *πάγκοινον ἐς χώραν*: κοινὴν χώραν τὴν Ἤλιδα, A ὅτι πολλοὶ ξένοι ἐκεῖσε ἤρχοντο ἀγωνισόμενοι. d. φήμας δὲ ὄπισθεν, οἷον τῇ φωνῇ ἀκολουθῶν· ὡς Ὅμηρος (Υ 131) χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς. 111

108. *φάμας ὄπισθεν*: τῇ ἐμῇ φωνῇ ἐπικατακολούθει. BCDEQ Ὁμηρικῶς δέ (l. l.) χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς.

109 a. *πέτραν*: τὸν ἐν τῇ Ὀλυμπίᾳ λόφον φησίν. 116 A

---

1 Ἰάμου] γάμου E Ἰάμου αὐτοῦ D 3 μετάλλασσεν E 4 ἀντὶ B: ἐπὶ ‖ τοῦ] τϊν E ‖ ἀνηρώτη(σεν) B ἀνηρώτηκεν r ‖ ἀκαίρως DQ 5 ἀπὸ Qb (cfr. A p. 176, 17) 7 ζητεῖν Q 11 προσεῖπεν αὐτὸν φωνῇ E 13 ὄρσο τέκος om. v ‖ τέκνον Q

17 δεῦρο B: om. D δεῦρο πάγκοινον ἐς χώραν EQ 18 ἀνίστασο] ἀνάστη ὦ D ‖ πάγκοινον pro l. praem. C 19 ἐσομένην] lac. D ‖ πάγκοινον Q ‖ χώραν om. CDEQ 20 καὶ om. Bv 25 φαίνεσθ' 26 ὄπισθε B ‖ ἀκολούθει CD 27 Ὁμηρικῶς δέ BQ: καὶ Ὅμηρος CD Ὁμηρικῶς E ‖ φαίνεσθαι θεοὶ E ‖ ἐναργ[γεῖς?] (exes.) B ἐναργῶς D

BCDEQ 109 b. *πέτραν ἀλίβατον*: τὴν ὑψηλήν. c. καὶ ἤτοι ἐφ' ἧς βαίνοντά ἐστιν ἀλιτεῖν διὰ τὸ ὕψος, ἢ ἐφ' ἧς ἀνα- BDEQ τέλλων πρῶτον ὁ ἥλιος βαίνει. d. ὁ δὲ νοῦς· ὅρμησον, ὦ τέκνον, καὶ ἐλθὲ εἰς τὴν πολύκοινον ἐσομένην χώραν BEQ κατακολουθῶν τῇ ἡμετέρᾳ φωνῇ. | παρεγένοντο δὲ εἰς τὴν ὑψηλὴν πέτραν τοῦ Κρονίου, ἐν ᾧ Κρονίῳ παρέσχεν αὐτῷ διπλοῦν θησαυρὸν μαντείας. 116 B

A 111 a. *θησαυρὸν δίδυμον*: δίδυμον θησαυρὸν μαντείας αὐτῷ φησι δοθῆναι, ἕνα μὲν τὸ κατὰ τὸ παρὸν εὐθέως τότε φωνὴν ἀκούειν ψευδέων ἀνεπίγνωστον, οἷον ἀληθῆ· μετὰ δὲ ταῦτα τοῦ κατ' Ὀλυμπίαν ἀγῶνος ὑπὸ τοῦ Ἡρακλέους τεθέντος τὸ μαντεῖον ἱδρύσασθαι.

BDEQ 111 b. *θησαυρὸν δίδυμον*: ἕνα μέν, τὸ κατὰ τὸ παρὸν εὐθέως φωνὴν ἀκούειν ψευδῶν ἀνεπίγνωστον· ὕστερον δὲ καὶ παρὰ τῷ βωμῷ τοῦ Διὸς μαντεύεσθαι ἐκ τῆς τοῦ πυρὸς ἀναδόσεως.

BEQ 111 c. ἄλλως· *ἔνθα οἱ ὤπασε θησαυρὸν δίδυμον* BCEQ *ἕως τὸ βωμῷ*: ὁ δὲ νοῦς· | ἐδίδου δὲ ὁ Ἀπόλλων τῷ Ἰάμῳ δίδυμον θησαυρὸν τῆς μαντείας, τότε μὲν φωνῆς κατακούειν ἀληθοῦς, ὅτε δὲ ὁ ἰσχυρὸς Ἡρακλῆς, τὸ τῶν Ἀλκαϊδῶν βλάστημα, τύχῃ ἐλθὼν εἰς Ὀλυμπίαν καὶ κτίσῃ τῷ αὐτοῦ πατρὶ περίβλεπτον καὶ πολυάνθρωπον πανήγυριν BC(D)EQ | καὶ τὸν νόμον καὶ θεσμὸν τῶν μεγίστων Ὀλυμπιακῶν

---

1—3 Hes. s. v. ἀλίβατον. EG 240, 29. epim. Hom. p. 194. EM 427, 39. Apoll. soph. 83, 25. lex. Bachm. 250, 4. Orion 67, 10. Zonaras p. 986. (Sch. Eur. Hipp. 732 Schw.)

---

1 ἤτοι BDGQv: εἴτι E om. C ἢ τὴν h 2 ἐφ' ἣν epim. Hom. ἀφ' οὗ Et. Gud. ἧς Hes. ‖ βαίνοντα CDEQ Hes., epim. H., Et. Gud.: τὸν βαίνοντα Bv βαίνοντά τινα G ‖ ἐφ' ἣν lex. Bachm., Orion ἐφ' ᾗ Apoll. 2. 3 ἀνατέλλει D, om. βαίνει 3 πρῶτον] om. G πρώτην Orion 5 παρεγένετο EQv 6 Κρόνῳ E 9 τὸ (pr.) V: τὸν ‖ τὸ παρὸν V: τὸ ἱερὸν 11 Ὀλυμπίαν ego: Ὀλυμπίων 14 ψευδέων v 15 περὶ DE 17 θησαυρὸν δίδ. om. Q 18 ἕως τὸ BQ: ἐν τῷ E ‖ ὁ νοῦς v 19 τότε BC: ποτὲ EQ 20 κατακούειν ἀληθοῦς] lac. C ‖ ἀκούειν E ‖ τὸ — 21 βλάστημα om. C 21 ἐλθεῖν B ‖ Ὀλύμπια B ‖ κτίσῃ C: κτίσει 22 πατρὶ — p. 179, 1 βωμῷ] ἑορτὴν C 23 — p. 179, 3 scholio 111[d] inser. D; vid. ad 179,4 23 μεγίστων om. D ‖ Ὀλυμπικῶν B

ἄθλων ἐπὶ τῷ τοῦ Διὸς ὑψηλοτάτῳ βωμῷ, τότε Ἴαμον ἐκέλευσεν ὁ Ἀπόλλων χρηστήριον θέσθαι καὶ μαντεῖον τὸ διὰ τῶν θυμάτων. d. ἄλλως· μαντεῖον ἦν ἐν Ὀλυμπίᾳ, BDEQ οὗ ἀρχηγὸς γέγονεν Ἴαμος τῇ διὰ τῶν ἐμπύρων μαντείᾳ· ᾗ καὶ μέχρι τοῦ νῦν οἱ Ἰαμίδαι χρῶνται. ἀναλαμβάνοντες γὰρ τὰ τῶν ἱερείων δέρματα ἐπιτιθέασιν εἰς τὸ πῦρ καὶ οὕτω μαντεύονται. e. ἔνιοι δὲ οὕτω φασί, τεμνομένοις δέρμασι μαντεύεσθαι αὐτούς· λαμβάνοντες γὰρ τὰς βύρσας τῶν ἱερείων ἔσχιζον, καὶ κατὰ τὰ σχίσματα ἐμαντεύοντο, ἀφορῶντες εἰς τὴν τομήν, πότερον εὐθεῖά ἐστιν ἢ οὔ.

113 a. ψευδέων ἄγνωστον: ἀληθῆ. b. ἄγνωστος HQ δὲ ψευδέων ἡ τῶν θεῶν φωνή. ἄλλοι δέ φασιν ὀρνέων.

115 a. σεμνὸν θάλος: Δίδυμός φησι μὴ σώζεσθαι A τὸν λόγον· τὸν γὰρ Ἡρακλέα θάλος εἶπεν Ἀλκαΐδᾶν ἀπὸ Ἀμφιτρύωνος, ὃς ἦν Ἀλκαίου παῖς. ἔθος δὲ τῷ Πινδάρῳ κατὰ τοῦ ἑνὸς τάσσειν τὸ πληθυντικόν. b. ὅτι Ἀμφιτρύων Ἀλκαίου παῖς ἐστι, δῆλον· ἀφ' οὗ καὶ Ἀλκείδης ὁ Ἡρακλῆς τὸ πρότερον ἐκαλεῖτο. 109

115 c. σεμνὸν θάλος: τὸ βλάστημα τῶν Ἀλκαΐδῶν· BDEQ φησὶ δὲ τὸν τοῦ Ἀμφιτρύωνος· ἐκεῖνος γὰρ Ἀλκαίου παῖς. d. ἔνιοι μέντοι αὐτὸν τὸν Ἡρακλέα Ἀλκαῖον καλεῖσθαι βούλονται, μετωνομάσθαι δὲ Ἡρακλῆ, Ἀπόλλωνος τοῦτο χρησμοδοτήσαντος. 120 B

116 a. πλειστόμβροτον: παρ' ἣν οἱ πολλοὶ τῶν ἀν- A θρώπων συνάγονται.

116 b. πλειστόμβροτον: παρ' ἣν πλεῖστοι τῶν ἀν- BDEHQ θρώπων ἀθροίζονται. 111 B

---

1 τῷ om. E ‖ Ἴαμος E[ac] Ἰάμῳ E[pc] 3 sqq.] lac. 7 fere versuum C 4 οὗ — 5 χρῶνται] τῷ κτισθέντι βωμῷ παρὰ Ἡρακλέους τῷ αὐτοῦ πατρὶ D, add. p. 178, 23 — 179, 3 4 ἀρχηγὸς] ἡ ἀρχὴ E 5 οἱ γαμίδαι E 7 οὕτω om. D 9 τὰ σχίσματα BQ: τὸ σχῆμα E τὰ μαντεύματα D 10 πότερα EQ 13 μὴ delend. putabat b 17 Ἀλκείδης ὁ b: Ἀλκιβιάδ(ης) ὃς 20 τὸν τοῦ B: τὸ τοῦ Qv om. DE ‖ γὰρ] δὲ E ‖ οὗτος γὰρ Ἀλφεοῦ π. Q (οὗτος et b) 22 Ἡρακλέα EQb 23 χρησμωδοτ. E χρησμῳδήσαντος Gh, Wilamowitz Isyll. p. 184, n. 42 24 παρ' ἣν V: περὶ ὧν 26 πλειστόβροτον Bv

HQ 118. ⟨βωμῷ:⟩ τῷ κατὰ τὴν Ὀλυμπίαν μαντικῷ βωμῷ τοῦ Διός.

A 119. τότ' αὖ χρηστήριον θέσθαι: τὸ διὰ τῶν ἐμπύρων μαντεύεσθαι. οὕτως δὲ μέχρι νῦν οἱ Ἰαμίδαι μαντεύονται, ἔμπυρα θύματα τιθέντες ἐν τῷ βωμῷ. Ἡρακλείδης δὲ ἐν τῷ περὶ χρηστηρίων (FHG II, p. 197 n. 2) τοῖς δέρμασί φησιν αὐτοὺς μαντεύεσθαι ἀφορῶντας ⟨εἰς τὰς⟩ σχισμὰς τῶν δερμάτων, πότερον εὐθεῖαί εἰσιν ἢ οὔ.

BCDEQ 120. ἐξ οὗ ὄλβος Ἰαμιδᾶν ἕσπετο: ἰδίως τῇ φράσει ἐχρήσατο· ἀφ' οὗ δὴ χρόνου τὸ ἐνδοξότατον γένος τῶν Ἰαμιδῶν εὐδαιμονία ἠκολούθησεν· ἀντὶ δοτικῆς τὴν ἀκολου-
BDEQ θίαν ἐχούσης πρὸς τὸν λόγον· | ἀφ' οὗ τῷ τῶν Ἰαμιδῶν γένει ὁ ὄλβος ἠκολούθησε καθ' Ἕλληνας.

A 121. Ἰαμιδᾶν: ἐκτεταμένον τὸ Ἰαμιδᾶν διὰ τὸ ἀντίστροφον.

A 122 a. ὄλβος δ' ἅμ' ἕσπετο: ὁμοίως τῷ σχήματι τῆς ἑρμηνείας κέχρηται· ἐξ οὗ τῶν Ἰαμιδῶν τὸ γένος ὄλβος ἅμ' ἕσπετο· ἀντὶ τοῦ τῷ τῶν Ἰαμιδῶν γένει ὄλβος ἠκολούθησεν.

b. ἄλλως· ὁμοίως τῷ (O 305)·

ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο,

τὸ, γένος τιμῶντες.

BCDEQ 122 c. τιμῶντες δ' ἀρετάς: ἤτοι καθόλου γνωμικὸς ὁ λόγος, ἢ ἐπὶ τῶν Ἰαμιδῶν· οἱ δὲ Ἰαμίδαι τὰς ἀρετὰς τιμῶντες ἀεὶ εἰς ἐπίδοξον ὁδὸν βίου πορεύονται.

A 123 a. [ἐς φανερὰν ὁδόν:] ἀμφίβολον πότερον ἀρσενικόν ἐστι τὸ ἕκαστον ἢ οὐδέτερον. ἐὰν μὲν οὐδετέρως δεξώμεθα, οὕτως· σαφὲς δὲ ποιεῖ καὶ τεκμηριοῖ ἕκαστον ἔργον ..... ⟨ἐὰν δὲ ἀρσενικῶς, οὕτως·⟩ τὸ ἴδιον πρᾶγμα

---

1 l.] Ζηνὸς ἐπ' ἀκροτάτῳ βωμῷ b 3 αὖ] ἂν A 3. 4 ἐμπόρων: b 6 χρηστηρίων Müller (FHG l. l.): χρησμῶν 7 ἀφορῶν τὰς A: suppl. b (ex V) 9 l.] ἐξ οὗ πολύκλειτον C id. praem. Q ‖ Ἰαμιδῶν B ‖ ἕσπετο B: om. D ἅμ' ἕσπετο EQ ‖ φράσει CDQv: φύσει BE 10 χρόνος E 11 εὐδαιμονίᾳ h b (sed ab ipso corr. expll. p. 689) ‖ δοτικῶς E δοτικὴν C 16 ὁμοίως A prave: ἰδίως V Ὁμηρικῷ b 22 δ' om. E 23 ἢ — Ἰαμιδῶν om. E ‖ οἱ δὲ οἱ Ἰαμ. E 24 βίου ὁδὸν E ‖ πορεύονται] ἔρχονται Bv 28 lac. indicavi ‖ suppl. b, sed ante ἔκδηλον (p. 181, 1)

ἔκδηλον καὶ φανερὸν καθίστησι τῶν ἀνθρώπων ⟨ἕκαστον. b. ἄλλως· ἕκαστον γὰρ τῶν ἀνθρώπων⟩ τὸ ἴδιον πρᾶγμα φανερὸν ποιεῖ, ὡς Ὅμηρον ἡ ποίησις, ἡ ῥητορικὴ Δημοσθένην.

123 c. τεκμαίρει χρῆμ' ἕκαστον: ἕκαστον γὰρ τῶν BCDEQ ἀνθρώπων τεκμαίρει καὶ μηνύει τὸ οἰκεῖον πρᾶγμα, ὡς Ὅμηρον ἡ ποίησις, Δημοσθένην ἡ ῥητορική. d. λείπει· ἐγὼ τοίνυν διὰ τοῦτο ἐπαινῶ. e. ὁ δὲ λόγος γνωμικός. BDEQ

124 a. μῶμος δ' ἐξ ἄλλων: φθόνος δὲ καὶ ψόγος B(C)DEQ ἐξ ἄλλων τινῶν, ἐκ τῶν φθονερῶν, ἐπικρέμαται τούτοις οἷς ἄν ποτε κατὰ τὴν Ὀλυμπίαν περὶ τὸν δωδεκάκυκλον δρόμον ἀγωνισαμένοις καὶ νικήσασιν [καὶ οἷς ἂν] ἡ ἐκ τῆς νίκης χάρις ἔνδοξον τὴν ὄψιν παράσχῃ. b. ἄλλως· ὁ νοῦς· AB(C)EQ ἐκ τῶν ἄλλων φθονούντων μῶμος ἐπικρέμαται τοῖς τετυχηκόσι τῶν τιμῶν τούτων· οἷον οἱ μὴ τετυχηκότες τοὺς τυχόντας διαμωμῶνται ὡς μηδενὸς ἀξιολόγου τετυχηκότας.

126 a. οἷς ποτε πρώτοις: τὸ ἑξῆς τοῦ λόγου· οἷς A ἄν ποτε πρῶτον ἁρματηλατήσασιν ἡ αἰδοία Χάρις ἐπιστάξῃ ⟨εὐκλεᾶ⟩ . . . . b. εὐκλεᾶ μορφὰν δὲ εἶπε διὰ τὸ περιβλέπτους εἶναι τοὺς νικῶντας καὶ ἐπιχάριτας καὶ λαμπρούς.

127 a. αἰδοία ποτιστάξῃ: ἐπεὶ οἱ νικῶντες δοκοῦσιν BCDEQ εὐειδεῖς εἶναι. b. ποτιστάξῃ δέ, ἐπιχαρίτους ποιήσῃ τοὺς νικῶντας.

129 a. εἰ δ' ἐτύμως ὑπὸ Κυλλάνας ὄροις: Κυλ- B(C)DEQ λήνη ὄρος Ἀρκαδίας ἱερὸν Ἑρμοῦ. b. φησὶ δὲ ὅτι εἰ δὴ ἀληθῶς οἱ τοῦ Ἀγησίου πρόγονοι τὴν Κυλλήνην κατοι-

---

1. 2 ἕκαστον suppl. b, cetera ego ex V 3 Ὅμηρος: b (ex V) 3. 4 Δημοσθένους: b (ex V) 5 ἑκάστῳ (alt.) v (corr. Beck) 7 καὶ Δημ. Bv ‖ λείπει] λείπει τὸ v 9 sqq. sch. a et b conflavit C 9 δ in Q eras. (' serv.) 10 ἐκ τῶν om. E ‖ τοῦ φθονεροῦ Qr 12 καὶ οἷς ἂν del. h 13 ἄλλως· ὁ νοῦς EQ: ἄλλως B φθονεόντων A 14 ἄλλων om. A 15. 16 τυχόντες A 16 διαμωμοῦνται A διαμωκῶνται B ‖ ὡς — τετυχηκότας om. A 18 ἐπιστάζει: ego 19 εὐκλεᾶ addidi μορφάν add. b 21 l. σὺν αἰδ. π. χάρις E ‖ ποτιστάξῃ D: -ξει BEv -ξει CQ 22 ποτιστάξῃ δὲ om. Bv ‖ ποτιστάξῃ D: -ξει CQ -ζῃ E ‖ δὲ om. E ‖ ποιήσῃ E: ποιήσει CDQ ποιεῖ Bv 24 ὄροις B: ὄροις E ὄρος Dv om. CQ 25 ὄρος om. E

κοῦντες τὸ Ἀρκάδιον ὄρος ἐτίμησαν διὰ δώρων καὶ θυσιῶν πολλῶν πολλάκις τὸν κήρυκα τῶν θεῶν τὸν Ἑρμῆν τὸν τῶν ἀγώνων δεσπόζοντα καὶ τὰς μερίδας τῶν ἄθλων κεκληρωμένον, τὸν τὴν Ἀρκαδίαν τιμῶντα, τοῦτον ἂν εἴποιμεν καὶ νῦν, ὦ Σωστράτου παῖ, σὺν τῷ ἑαυτοῦ πατρὶ τελειοῦν σοι τὴν ἐπὶ τῇ νίκῃ εὐδαιμονίαν. 130 BCEQ

A 129 c. ἐτύμως: εἰ δὲ ἀληθῶς, φησι, οἱ τοῦ Ἀγησία κατὰ μητέρα πρόγονοι τὴν Ἀρκαδίαν οἰκοῦντες ἐδωρήσαντο θυσίας τῷ Ἑρμῇ.

A 129 d. ὄροις· τῆς Ἀρκαδίας· τὸ δὲ Στύμφηλον ταύτῃ ὑπόκειται.

BCDEQ 129 e. Στύμφηλος ὑπόκειται τῇ Κυλλήνῃ· ἔστι δὲ τῆς Ἀρκαδίας. οἱ δὲ κατὰ τὴν μητέρα πρόγονοι τοῦ Ἀγησίου
BDEQ Στυμφήλιοί εἰσιν. | Φιλοστέφανος δὲ ἐν τῷ περὶ Κυλλήνης (FHG III, 30) φησὶ Κυλλήνην καὶ Ἑλίκην θρέψαι ...... ἐναγωνίου δὲ ὄντος τοῦ θεοῦ φησιν ὅτι οἱ περὶ τὸν Ἀγησίαν διὰ τὴν συγγένειαν, ἐπειδὴ καὶ ὁ Ἑρμῆς ἐν Ἀρκαδίᾳ, εἰκότως νικῶσιν. 144[1] B 140 C 144 E 145[b] Q

BCEQ 130 a. Ἀγησία: σημείωσαι ὅτι κατὰ μητέρα Ἀρκὰς ἦν Ἀγησίας. 129[e] C

A 130 b. μάτρωες: οἱ μητρὸς ἀδελφοί.

BEQ 131. δώρησαν θεῶν κάρυκα: ἀντὶ τοῦ ἐδωρήσαντο τῷ κήρυκι τῶν θεῶν, ἢ χοροῖς ἐτίμησαν αὐτόν.

A 134 a. ὃς ἀγῶνας ἔχει: ἐναγώνιος γὰρ ὁ θεός.
b. δι' ὃν νικῶσιν οἱ περὶ Ἀγησίαν.

---

15 Serv. ad Aen. IV 252  21 sch. B Π 717.
sch. 130 c. Eust. Il. 316, 15: Πίνδαρος δὲ οὐκ ἀδελφοὺς ἀλλὰ γονέας μητρὸς μάτρωας ἔφη.

---

1 Ἀρκάδιον CEQ: Ἀρκαδίας BD τῆς Ἀρκαδίας v  4 τὸν B: τὸν καὶ κατὰ D τὸν κατὰ EQ || τιμῶντα BQ: τιμῶντι D τιμῶντες E || εἴποιμι D  5 καὶ om. E  5. 6 τελειοῦν σοι CD: τελειοῦν σου (om. τὴν ἐπὶ) Q τελειοῦντά σου Bv τελειῶντά σου E  10 ὄροις] debuit Κυλλήνης || Στύμφηλον b: σύμφυλον vel -φιλον || ταύτῃ] Κυλλήνῃ b  12 ἄλλως praem. Q  13 τὴν om. DE  15 Κυλλήνῃ καὶ Ἑλικὼν Q (ἑλίκων et v) || lac. indicavi  17 ἐπειδὴ B: ἐπεὶ δὲ  19 Ἀγησία B: Ἀγ. μάτρωες C Ἀγ. μ. ἄνδρες EQ  20 ὁ Ἀγησ. Bv

134 c. ὃ ς ἀ γ ῶ ν α ς ἔ χ ε ι: ἐναγώνιος ὁ θεός. $B^{gl}$HQ d. ἢ ὅτι κῆρυξ· κῆρυξ δὲ καὶ ἐν ἀγῶσιν. e. ἢ ὅτι τῆς πάλης εὑρετής.

137. ὦ π α ῖ Σ ω σ τ ρ ά τ ο υ: τῇ σῇ εὐτυχίᾳ, ὦ τοῦ A Σωστράτου παῖ, τὴν εὐδοξίαν ἐπιστεφανοῖ. τὸ γὰρ κραίνειν καὶ ἐπ' ἄλλων οὕτως τίθησιν. Ὅμηρος (δ 616)· χρυσὸς δ' ἐπὶ χείλεσι κεκράανται. ἐπιτετερμάτισται. τινὲς δέχονται ὡς ἁπλῶς αὐτοῦ λέγοντος ἐστεφάνωται.

140 a. δ ό ξ α ν ἔ χ ω τ ι ν': [δόξαν ἔχω τινά.] δόκησιν ἔχω A ἐπὶ τῆς γλώττης, ἥ με παραθήγει ὡς ἀκόνη ὑμνεῖν ὑμᾶς καίπερ διαπροαιρούμενον. b. ἀκόνην δὲ λιγυρὰν εἶπε τὴν τοῦ ὕμνου ᾠδήν, ὡς ..... ⟨ὃ δοκῶ⟩ περὶ ⟨τῶν⟩ ἀνδρῶν, τοῦτό μοι ἡ ἀκόνη ἡ παροξύνουσα καὶ παρορμῶσα.

140 c. δ ό ξ α ν ἔ χ ω ἕ ω ς ἔ τ ι κ τ ε ν: ὁ νοῦς· ἔχω τινὰ BCDEQ καὶ ἑτέραν δόκησιν οὕτω με προτρεπομένην λέγειν περὶ σοῦ, ὡσανεὶ τῆς ἀκόνης τῆς ὀξύνειν δυναμένης τὸ παραθηγόμενον· ἥτις δόκησις θελοντί μοι καὶ βουλομένῳ προσέρπει καὶ προσπίπτει ὑπὸ ταῖς τῶν αὐλῶν πνοαῖς καὶ τῶν ἤχων· διὰ πνοῆς γὰρ ὁ ἦχος ἐκφέρεται· ἥτις δόκησίς ἐστι τοῦ ὑμνεῖν σε ἐκ τῆς ἐμῆς προγόνου Μετώπης ἀπὸ Στυμφήλου πόλεως Ἀρκαδικῆς. d. ματρομάτορα δὲ τὴν Μετώπην λέγει ὁ Πίνδαρος οὕτω. Μετώπη θυγάτηρ μὲν ἦν Λάδωνος τοῦ ποταμοῦ τῆς Ἀρκαδίας, | γυνὴ δὲ Ἀσωποῦ τοῦ ἐν BDEQ Θήβαις ποταμοῦ. ἐκ ταύτης γέγονε νύμφη τις Θήβη, ἀφ' ἧς ἡ πόλις· Θηβαῖος δὲ ὁ Πίνδαρος. διὰ τοῦτο ματρομάτορα ἰδίαν λέγει τὴν Μετώπην.

---

1 ἐναγώνιος γὰρ ὁ θ. v 3 πάλης B: πάλης ἐστὶν HQ 5 ἐπιστεφανοῖς: b 6 post τίθησιν non dist. b. Ft. τιθεῖσιν 6. 7 χρυσῷ δ' ἐπὶ χείλεα codd. Hom. 7 κεκράαται: b 9 ἔχων $A^{ac}$ ‖ τίν' ‖ secl. Schroeder ‖ ἔχων 10 ὑμᾶς $A^{ac}$ ἡμᾶς $A^{pc}$ 11 καίπερ ego: καὶ περὶ (sive παρὰ) 12 lac. indicavi, supplevi ex V (141 c) ‖ περὶ an παρὰ incert. 13 μοι V: μου $A^{pc}$ (μος $A^{ac}$?) ‖ ἀκόνη ἐστὶν V 14 ἔχω B: ἔχω τιν' (τίν') DE ἔχω τιν' ἐπὶ Q ‖ ἕως ἔτικτεν om. CD ‖ ἕως BE: ἕως τοῦ Qv ‖ ἔχων Q 17 θάλλοντι E 18 τοῖς ἤχοις C 19 τοῦ CDEQ: τὸ Bv 20 σε om. E ‖ Στυμφίλου r (in B η obsc.) 21. 22 λέγει τὴν Μετ. E ‖ θυγ. μὲν γὰρ ἦν Μετώπη Bv ‖ Λάκωνος D 23 τοῦ τῆς Ἀρκ. ποτ. B(C) ‖ ποταμοῦ] ποτὲ E 23 sqq.] lac. decem fere vv. C 23 τοῦ (alt.) om. E 26 ἰδία Br

BDEQ 141 a. *ἀκόνας λιγυρᾶς*: ἀκόνην ὀξεῖάν φησι τὴν μουσικήν· λιγὺς γὰρ νῦν ὁ ὀξύς. καὶ Ὅμηρος (B 246)·

Θερσῖτ' ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητής,
ἴσχεο.

BEQ | οὐ γὰρ ἐγχωρεῖ τὸν ἄκριτα λέγοντα ἡδὺν εἶναι. b. ἄλλως· ἀκόνης τινὸς δόκησιν ἔχω ἐπὶ γλώσσης· ὅ ἐστι, παρακονῶμαι. $141^{d}$ Q c. ἢ οὕτως· ἡ δόκησις ἀκόνη μοι· ὃ δοκῶ περὶ τῶν ἀνδρῶν, τοῦτό μοι ἀκόνη ἐστὶν ἡ παροξύνουσά με καὶ παρορμῶσα. $143^{b}$ Q d. ἢ οὕτω· τῆς λιγυρᾶς ἀκόνης ἔχω δόκησιν ἐπὶ τῆς γλώσσης, ἥτις κραίνει τῆς εὐτυχίας
BDEQ τὴν δόκησιν. e. ὁ δὲ νοῦς· ὀξὺς ὢν ὀξύτερος γίνομαι
HQ παρ' ἀκόνης τῆς δοκήσεως θηγόμενος. $141^{c}$ Q f. λιγυρᾶς νῦν τῆς ὀξείας.

A 142 a. *προσέρπει*: προσάγει. b. παροξύνει καὶ αὐτόν με θέλοντα ταῖς καλλιρρόοις ῥοαῖς. c. καλλίρροοι δὲ ῥοαὶ αἱ ἀπὸ τῶν ὀργάνων ἐκπεμπόμεναι.

E$^{gl}$ 142 d. (*προσέρπει*:) γράφεται προσέλκοι.

HQ 143 a. *καλλιρόοισι ῥοαῖς*: ταῖς ἀπὸ τῶν ὀργάνων ἀναφερομέναις τῶν μετ' αὐλῶν ὕμνων. 144

BEQ 143 b. *ματρομάτωρ*: ἡ τῆς μητρὸς τῆς ἐμῆς μήτηρ· πῶς δέ, ἐπιόντες δείξομεν. $129^{c}$ E $141^{f}$ Q

A 144 a. *Στυμφαλίς*: ἀπὸ πατρίδος Ἀρκαδικῆς (B 608)·

Στύμφηλόν τ' εἶχον καὶ Παρρασίην ἐνέμοντο.

b. ἡ Μετώπη δὲ Ἀσωποῦ μὲν ἦν γυνή, θυγάτηρ δὲ Λάδωνος τοῦ ἐν Ἀρκαδίᾳ ποταμοῦ, μήτηρ δὲ Θήβης, ἀφ' ἧς ἡ Πινδάρου πατρίς. c. προσέλκεταί με ἡ Μετώπη ὑμνεῖν

---

2 Eust. Il. 213, 35. Hes. EM 564, 55. EG 369, 54

---

1 ἀκόνα (η) λιγυρᾶ DE 2 καὶ om. DE 3 Θερσίτα D ‖ ἀγορητὸς E 5 ἐγχωρεῖ τὸν b: ἔνι χωρητὸν 6 τινὰ Q 7 ἀκόνη μοι E ἀκόνη μου Qb: ἀκόνημα Bv 8 περὶ E: παρὰ BQv 10 κραίνει BQ: κρίνει E 11 ὀξύτατος B 13 τῆς om. Hv 15 καλλιρόοις A$^{pc}$ ‖ ῥοαῖς et 16 ῥοαὶ] πνοαῖς et πνοαὶ cj. b 18 ῥοαῖς H: πνοαῖς Q 19 αὐλῶν H: αὐλοῦ Qv 21 ἐπιόντες om. B 23 Στύμφηλόν Hom: Στυμφηλίτην ‖ Παρρησίην 26 με ego (V): μὲν

*σε διὰ τὴν οἰκειότητα· Ἀρκὰς γάρ, ἐγὼ δὲ Θηβαῖος ....... ἦν, Θήβη δὲ Ἀσωποῦ καὶ Μετώπης τῆς Λάδωνος τοῦ ποταμοῦ Ἀρκάδος θυγάτηρ· ἀφ' οὗ καὶ θηλυκῶς οὕτω ποταμὸς ἐν Ἀρκαδίᾳ Μετώπη.*

144 d. *Στυμφαλὶς εὐανθὴς Μετώπα: Μετώπη Ἀσωποῦ μὲν ἦν γυνή, μήτηρ δὲ Θήβης, ἀφ' ἧς ἡ πόλις Θήβη προσηγορεύθη. διὰ τὴν οἰκειότητα οὖν, φησὶν ὁ Πίνδαρος, τὴν πρὸς ἐμὲ τῆς Μετώπης, ὅτι Θήβης μήτηρ τῆς ἐμῆς πατρίδος, ἕλκεταί με ἡ Μετώπη Ἀρκὰς οὖσα.* e. *τὴν δὲ Μετώπην φασὶ γήμαντα Ἀσωπὸν τὸν Ὠκεανοῦ, Λάδωνος οὖσαν θυγατέρα, τεκνῶσαι Κέρκυραν, Αἴγιναν, Σαλαμῖνα, Θήβην, Ἅρπινναν, Νεμέαν, Κλεώνην.* 129ᵉ B **BDEQ**

f. *εὐανθὴς δὲ Μετώπα ἡ ἀκμαία καὶ ἀνθηρά, ἵν' ὁ λόγος ἐπὶ τῆς νύμφης ἀκούηται.* 145ᵇ E 129ᵉ Q **DEHQ**

144 g. *ἡ Μετώπη ἡ Ἀρκαδικὴ πόλις (τοῦτο γὰρ σημαίνει διὰ τὸ Στυμφαλίς· Στύμφηλος γὰρ Ἀρκαδίας μητρόπολις) προσέλκει με ἑκόντα ἐν καλλιρόοις πνοαῖς, ἤγουν πρὸς τὸ αὐλεῖν καὶ ὑμνεῖν τὴν Ἀρκαδίαν τὴν τῆς μητρός σου χώραν.* **E**

144 h. *ἄλλως· Στυμφαλὶς εὐανθὴς Μετώπα: Ἀρκαδική. Στύμφηλος γὰρ πόλις Ἀρκαδίας. Ὅμηρος* (B 608)· **EHQ**

*Στύμφηλόν τ' εἶχον καὶ Παρρασίην ἐνέμοντο.*

i. *ματρομάτορα δὲ λέγει τὴν Μετώπην ὁ Πίνδαρος οὕτω·* | *Μετώπη θυγάτηρ μὲν Λάδωνος τοῦ ποταμοῦ τῆς Ἀρκαδίας, γυνὴ δὲ Ἀσωποῦ τοῦ ἐν Θήβαις ποταμοῦ.* **BE(H)Q**

---

5 EM 450, 41: *Θήβα ... ἀπὸ Θήβης θυγατρὸς Μετώπης, γυναικὸς Ἀσωποῦ, ἀφ' ὧν καὶ ὠνομάσθησαν ἐκεῖ πολῖται καὶ πόλις, ὡς εὗρον εἰς τὸ σχόλιον τοῦ Πινδάρου ἐπινικίῳ ὕμνῳ Ἀγησίᾳ Συρακουσίῳ.* 9 Paus. 5, 22, 6. Tzetzes exeg. Il. p. 132
144 k. *φασὶ δὲ τὴν Μετώπην οἱ μὲν λίμνην, οἱ δὲ ποταμόν.* Thom. 232, 5

---

1 lac. indicavi 3 *ἀρκάδης*: ego 3—4 corrupta; ⟨*ἐπὶ τοῦ*⟩ *ποταμοῦ*? Schroeder 5 *εὐανθὴς* om. DE 8 *τῆς Μετώπης*] in mg. add. E; *τοῦ μετώπου* D || *ὅτι*] *ἥτις* Qv 9 *με* BDQ: *μὲν* E (cfr. A) 10 *φασι* v: *φησι* 11 *Κέρκυρος* E 12 *Κλεώναν* Q om. v 13 *Μετώπη* DE 16 *Στυμφελὶς* 18 *μου*? 19 *Στυμφα(η)λὶς* HQ: *Σταμφυλὶς* EF || *Μετώπη* EF: om. HQ 21 *Παρρασίαν* E 22—24 cfr. Thom. 232, 1 23 *Μετώπα* pro l. praem. B || *τοῦ π. τῆς Ἀρκ.* EF: *τοῦ τῆς Ἀ. π.* Q *τοῦ ἐν Ἀρκαδίᾳ π.* Bv

BEQ 145 a. ἥτις Μετώπη ἐγέννησε τὴν ἱππικὴν Θήβην, κατὰ ἀναφορὰν τῶν ἐνοικούντων ἐν ταῖς Θήβαις. 147 EQ

BDEQ 145 b. πλάξιππον ἃ Θήβαν ἔτικτε· τᾶς ἐρατεινὸν ὕδωρ: ταύτης οὖν, τῆς Μετώπης· λέγει δὲ νῦν τοῦ ὁμωνύμου ποταμοῦ τῇ ἡρωίδι. c. ὅτι δὲ ἡ Μετώπη τῆς Ἀρκαδίας ποταμός, Καλλίμαχος ἱστορεῖ ἐν ὕμνοις (in Jov. 26)· πολύστιόν τε Μετώπην. 144$^{g}$ E 144$^{h}$ Q

A 147 a. πίομαι: οὐ λέγει κυρίως ὅτι πίομαι τὸ ἀπὸ τῆς Μετώπης ὕδωρ, ἀλλὰ οἷον γεύσομαι αὐτῆς διὰ τὸν ὕμνον καὶ ταύτην εἰς τὸν ὕμνον συλλήψομαι.

BDEQ 147 b. πίομαι ἀνδράσιν αἰχματαῖσιν ἕως τοῦ ὕμνον: ἀνδράσι νῦν τῷ τε Ἀγησίᾳ καὶ τοῖς τούτου προγόνοις.
c. τὸ δὲ πλέκων, ἤτοι πρὸς τὸ ποικίλον καὶ διάφορον τῆς φθογγῆς· λέγουσι γὰρ καὶ στροφὰς ὧδε· ἢ ὡς ἐπὶ στεφάνου μουσικοῦ. d. ὁ δὲ λόγος· ὦ τῆς ἐμῆς πατρίδος Ἀρκαδικῆς Μετώπη· λέγει δὲ τοῦ ποταμοῦ· γεύσομαι τῷ ὕμνῳ καὶ εἰς τὸ ἐγκώμιον ἀναλήψομαι, αὐτῷ τε τῷ Ἀγησίᾳ καὶ τοῖς τούτου ἀνδρείοις καὶ πολεμικωτάτοις προγόνοις τὸν ποικίλον καὶ πολύφθογγον ὕμνον διαπλέκων καὶ συντιθείς.

BCDEQ 148 a. ὄτρυνον νῦν ἑταίρους, Αἰνέα: ἀποστρέφει τὸν λόγον πρὸς Αἰνέαν τὸν χοροδιδάσκαλον. Αἰνέας γὰρ οὗτος χοροδιδάσκαλος, ᾧ ἐχρήσατο διὰ τὸ αὐτὸν ἰσχνόφωνον εἶναι καὶ μὴ δύνασθαι ἐν τῷ δημοσίῳ δι' ἑαυτοῦ καταλέγειν τοῖς χοροῖς, ὅπερ οἱ πλείους καὶ μεγαλόφωνοι

---

1 sq. cum iis quae praecedunt conj. BE  2 ταῖς om. Beck, h  3 πλάξιπτον B  3. 4 τᾶς ἐρ. ὕδωρ om. BDQ  4. 5 τοῦ ὁμωνύμου ποταμοῦ ego: τῷ ὁμωνύμῳ (ὁμωτίμῳ BE) ποταμῷ V τὸν ὁ—ον ποταμὸν Beck  5 ἡρωίνῃ E  7 πολίστιον D  8 λέγεται: ego  9. 10 ft. αὐτοῦ διὰ τῶν ὕμνων  11 αἰχματαῖσιν] αἰχμ. πλέκων E  12 τε om. DQ  14 γὰρ BQ: δὲ DE  14. 15 στεφάνῳ Q  15 μουσικῆς Qv  15 sq. ft. ὦ τῆς ἐμῆς πατρίδος ⟨μῆτερ⟩ Ἀρκαδικὴ Μετώπη, ⟨ἧς⟩ (λέγει δὲ τοῦ ποταμοῦ) γεύσομαι  16 δὲ] δὲ καὶ B$^{ac}$ ‖ τῷ ποταμῷ D  16. 17 τῷ ὕμνῳ EQ: τῶν ὕμνων B τοῦ ὕμνου D  17 τὰ ἐγκώμια Q ‖ αὐτοῦ τε τοῦ E  21 πρὸς DEQ: πρὸς τὸν BC ‖ Αἰνέαν] Αἰνέα E ‖ Αἰνέας — 22 ἐχρήσατο] lac. C  22 ὁ χοροδ. D  23 δημοσίῳ δι' ἑαυτοῦ] αὐτ(ῷ) ποιήματι D ‖ δημοσίῳ CQ: δησίῳ B δήμῳ E  24 τοὺς χοροὺς B$^{i}$ ‖ πλεῖστοι Qb

τῶν ποιητῶν ἀγωνιζόμενοι ἐποίουν, δι' ἑαυτῶν διδάσκοντες τοὺς χορούς. ἀπέστρεψεν οὖν τὸν λόγον ὁ Πίνδαρος πρὸς τὸν Αἰνέαν λέγων· παρόρμησον νῦν, ὦ Αἰνέα, τοὺς ἑταίρους τοὺς ἐν τῷ χορῷ, ὥστε ὑμνῆσαι πρῶτον μὲν τὴν Ἥραν· ἔπειτα δὲ γνωρίσαι τοῖς λόγοις ποίησον αὐτούς, εἰ κατὰ τὸν ἀληθῆ λόγον ἐκφεύγομεν τὸ ὄνειδος τῶν Βοιωτῶν | καὶ τὴν **BCEQ** παροιμίαν τὴν λεγομένην Βοιωτία ὗς. b. ἡ δὲ παροιμία ἐντεῦθεν· Ὕαντες, ἔθνος βάρβαρον ἀρχαῖον, κατῴκησαν τὴν Βοιωτίαν· οὕστινας ἐκ παραφθορᾶς τοῦ ὀνόματος, ἀντὶ τοῦ Ὕαντας λέγειν, Ὑς ἐκάλουν· ὥστε καὶ τοῖς ὕστερον διαδοθῆναι τὴν λέξιν ἐπὶ τῶν Βοιωτῶν καὶ λοιπὸν νομισθῆναι, | διὰ πολλὴν ἀλογίαν καὶ ἀγροικίαν οὕτως ἐξ ἀρχαίου αὐ- **BCDEQ** τοὺς κεκλῆσθαι, τούς τε βουλομένους εἰς ἀπαιδευσίαν ἐπισκώπτειν τινάς, τοῦτο λέγειν· Βοιωτία ὗς. c. ὁ δὲ νοῦς· **BDEQ** παρόξυνον ἐπὶ τοῦ παρόντος τοὺς χορευτάς, ὦ Αἰνέα, πρῶτον μὲν τὴν Ἥραν τὴν ἐν τῷ Παρθενίῳ ὄρει Παρθενίαν ἀνυμνῆσαι, καὶ γνῶναι ἀληθέσι λόγοις διὰ τοῦ ὕμνου ποί-

---

8 sch. Ap. Rh. 3, 1242. — Apost. 5, 11. Tzetzes ad Lyc. 433: ἄλλος δέ τις ἱστορικός φησιν· Ὕαντες ἔθνος βάρβαρον τὰς Θήβας παρῴκησαν. οἱ δὲ ἰδιῶται κατὰ ἰδιωτισμὸν παραφθορὰν τοῦ ὀνόματος ἐποίησαν, ἀντὶ τοῦ εἰπεῖν Ὕας Βοιώτιος Ὑς Βοιώτιος λέγοντες. μέμνηται δὲ τοῦ ἔθνους τούτου καὶ Φρύνιχος ὁ τραγικὸς ἐν δράματι Πλευρωνίαις λέγων (fr. 5 p. 721 N.)·

στρατός ποτ' εἰς γῆν τήνδ' ἐπεστρώφα ποδί
Ὕαντες, ὃς γῆν ναῖεν ἀρχαῖος λεώς·
πεδία δὲ πάντα καὶ παράκτιον πλάκα
ὠκεῖα μάργοις φλὸξ ἐδαίνυτο γνάθοις.

---

1 τῶν — 2 χορούς] lac. **C** 3 Αἰνέα **DE** || νῦν **BQ**: οὖν **D** om. **CE** 4 ὥστε] ὅτε **E** || πρῶτον μὲν **BE**: μὲν **CD** μὲν πρῶτον **Q** 5 τοῖς λοιποῖς **C** 6 ἐκφεύξομεν **D** || τὸ om. **E** 8 ἐνταῦθα **E** || ἱστορία ante Ὕαντες add. **Q** 8—14 cfr. Thom. 233, 19 9 οὕστινας **BEQ**: οὓς **C** οὕς τινες **hb** om. Apost. || παραφθορᾶς **BC**: παραωρᾶς $E^{ac}$ -φορᾶς $E^{pc}$ περιφορᾶς **Q** μεταφορᾶς Apost. 10 Ὕιαντας **E** || ἐκάλεσαν Apost. 10. 11 διαδοθῆναι] δήμον δοθῆναι **E** 12 πολλὴν] πολλὴν γοῦν **D** τὴν πολλὴν Apost. || οὕτως om. **D** 12. 13 αὐτοὺς om. **D** 14 τοῦτο λέγειν] ἐξ οὗ καὶ **D** 14 sqq. pro sch. $148^c$ σκυτάλα ὑποφήτης καὶ τρόπον τινὰ σκῆπτρον τῶ[ν Μουσῶν] **C**

ησον τοὺς ἀκούοντας, εἰ ἀποφεύγομεν ἐκεῖνο τὸ ὄνειδος, ὃ ἀμουσίας ἕνεκεν ἡμῖν τοῖς Βοιωτοῖς προστρίβεται. ὑπάρχεις γὰρ τῶν Μουσῶν ἄγγελος ὀρθὸς καὶ ὑποφήτης, καὶ τρόπον τινὰ σκυτάλη καὶ σκῆπτρον τούτων τυγχάνεις καὶ κρατὴρ ἡδὺς τῶν ὕμνων· ἀντὶ τοῦ, μουσικώτατος γὰρ εἶ.

A 149 a. *Αἰνέα*: Αἰνέας ὁ τοῦ χοροῦ διδάσκαλος, ᾧτινι ὁ Πίνδαρος ἐχρῆτο διὰ τὸ ἰσχνόφωνον καὶ μὴ δι' ἑαυτοῦ δύνασθαι τοῖς χοροῖς καταλέγειν· ὅπερ οἱ πλεῖστοι ἐποίουν, δι' ἑαυτῶν ἀγωνιζόμενοι.

A 149 b. *πρῶτον μὲν Ἥραν*: τὴν Σαμίαν Ἥραν. c. τινὲς δὲ τὸν Ἀγησίαν φασὶν ἱδρύσασθαι ἄγαλμα Ἥρας. d. οἱ δὲ ὅτι γαμήλιος καὶ αἰτία γενέσεων. e. καὶ ἐν Εὐβοίᾳ Παρθένος ἐκαλεῖτο. f. καὶ ποταμὸς Παρθένιος, ὃς Ἴμβρασος ἐκλήθη. Καλλίμαχος (fr. 213)· ἀντὶ γὰρ ἐκλήθης, Ἴμβρασε, Παρθενίου.

CEHQ 149 g. *Ἥραν Παρθενίαν*: τὴν ἐν τῷ Παρθενίῳ ὄρει τῆς Ἀρκαδίας τιμωμένην [ὑμνῆσαι]· ἵν' ᾖ, τὴν ἐν Ἀρκαδίᾳ. οὕτως δὲ καὶ ἐν Ἄργει τιμᾶται Ἥρα.

BCEQ 152. *εἰ φεύγομεν, Βοιωτίαν ὗν*: ὅτι διὰ τὴν ἀγροικίαν καὶ τὴν ἀναγωγίαν τὸ παλαιὸν οἱ Βοιωτοὶ ὗες ἐκα-
BEQ λοῦντο· | καθάπερ καὶ αὐτὸς ἐν τοῖς διθυράμβοις (fr. 83)·
BCEQ ἦν ὅτε σύας τὸ Βοιώτιον ἔθνος ἔλεγον. | καὶ Κρατῖνος (fr. 310 K.)· οὗτοι δ' εἰσὶν Συοβοιωτοί, κρουπεζοφόρον γένος ἀνδρῶν. 154[g] Q

A 153 a. *ὗν*: Ἀρίσταρχος· παρὰ τὸ λεγόμενον [ἐν] Βοιωτίᾳ ὗς.

---

10 sch. Ap. Rh. 1, 187; 2, 867   12 sq. St. Byz. *Παρθένιον*   13 sq. Strab. 10, 457

---

1 *εἰ — 2 προστρίβεται* om. D   2 *ἕνεκα* v   2. 3 *ὑπάρχει* E   3 *καὶ* (pr.) om. B   4 *καὶ* (alt.) Q: om. BDE   6 l. *Αἰνέας* A   8 *τοὺς χοροὺς* A; cfr. supra 186, 24   10 *σαμίαν* A *σαλαμίαν* Red., *θαλαμίαν* b   16 l. *πρῶτον μὲν* praem. HQ || *παρθένον* E || *ὄρει*] *τῷ ὄρει* Qb   17 *ὑμνῆσαι* om. CQv   19 *φύγομεν* E || *Βοιωτίαν ὗν* om. Q || *ὗν*] *νῦν* E || *ὅτι* EQ: om. BCv   20 *ἀναγωγίαν* BCQ: *ἀναγανίαν* E *ἀλογίαν* G || *υἷες* E   23 *οὐ τόδ'* E || *εἰσὶ* BCE || *συοβοιωτικὸν πεζοφόρον* (-ων Q) B(C)EQ: Gataker op. crit. p. 552[d] Porson praef. Hec. LVII   25 post *Ἀρίσταρχος* lac. stat. Horn || *ἐν* seclusi

πεποιθὼς δὲ ὁ Πίνδαρος τοῖς ἑαυτοῦ ποιήμασι κελεύει ἐπιγνῶναι τὸν Αἰνέαν καὶ γνῶναι τὴν τέχνην, εἰ φεύγουσιν οἱ Θηβαῖοι τὸ παλαιὸν ὄνειδος παιδείᾳ διαφέροντες καὶ μουσικῇ. τότε γὰρ ὡς ἀμαθεῖς ἐσκώπτοντο. b. Ὕαντες δὲ ᾤκησαν τὴν Θήβην, καὶ ἀπὸ τοῦ ὀνόματος μετετράπη τὸ καὶ Συοβοιωτοὺς αὐτοὺς λέγεσθαι

153 c. ὗν: Ὕαντες ἔθνος Βοιωτίας, οὕστινας ἐκ παραφθορᾶς τοῦ ὀνόματος ἀντὶ τοῦ Ὕαντας λέγειν ἐκάλουν Ὗς· ὥστε τοῖς ὕστερον διαδοθῆναι τὴν λέξιν ἐπὶ τῶν Βοιωτῶν καὶ λοιπὸν νομισθῆναι διὰ πολλὴν ἀγροικίαν καὶ ἀλογίαν οὕτως ἐξ ἀρχαίου αὐτοὺς κεκλῆσθαι, τούς τε βουλομένους τινὰς σκῶψαι ἐκάλουν Βοιωτίαν ὗν. A

153 d. ἐσσὶ γὰρ ἄγγελος: τυγχάνεις γάρ, ὦ Αἰνέα, ἄγγελος ἀληθὴς καὶ τῶν καλλικόμων Μουσῶν κῆρυξ τῶν τε ἐπισήμων καὶ ἄγαν εὐφήμων ὕμνων κρατὴρ γλυκύτατος. A

154 a. ἠυκόμων: καὶ νῦν τοῦτο σημαίνει· οἷον Μουσῶν εἶ κῆρυξ, διὰ τὸ σκυταλοφορεῖν τοὺς κήρυκας. περὶ δὲ τῆς σκυτάλης καὶ ἐν τοῖς Ἀρχιλόχου ὑπομνήμασιν εἴρηται (fr. 86)· ἀχνυμένη σκυτάλη. b. . . . . παρὰ τοῖς Λακεδαιμονίοις. τινὲς δὲ δύο ἰσοπήχεις καὶ ἰσομήκεις· καὶ τούτων τὴν μίαν διδόασι τῷ ἁρμοστῇ, ⟨ὃν⟩ ἂν ἐκπέμπωσι πολιτικὴν χρείαν ἔχοντα, τὴν δὲ ἄλλην κατέχουσι· καὶ ὅταν δέῃ ἐπιστέλλειν ἀναγκαῖά τινα, ὑπὲρ τοῦ ἄγνωστα εἶναι τὰ ἐπιστελλόμενα τοῖς διακομίζουσιν ἑλίσσουσι παρ' ἑαυτοῖς τὴν σκυτάλην δέρματι λευκῷ καὶ γράφουσι· ἔπειτα λύουσι καὶ διδόασι, μὴ φυλάττοντα τὴν λέξιν τῶν γεγραμμένων παρ' A

---

20—p. 190, 3 sch. Ar. av. 1283. Phot. et Suid. s. v. σκυτάλη (= lex. Bachm. 367, 1. sch. Thuc. 1, 131). Plut. Lys. 19, 5—7. Gell. N. A. 17, 9, 6—17

---

3 παιδιᾷ: b 4 τότε γὰρ ego: τὸ τέτταρον A τὸ δὲ πρότερον b 5 ⟨τούτου⟩ τοῦ ὀν. cj. b 6 τὸ καὶ] καὶ τὸ cj. b || συοβότας: b 7. 8 παραφόρου: V (p. 187, 9) || λέγει: V 11 post ἀρχαίου ras. 5 litt. 12 ἐκάλουν corruptum 13 τυγχάνεις γὰρ ὦ ego: τυγχάνει γὰρ ὡς 14 καλλιοκόμων: ego 16 καὶ — σημαίνει vix integra 17 σκυτοφορεῖν: ego 18 Ἀρχελόχου A[ac] 19 lac. indicavi 20 ἰσοπήχεις et sch. Ar. 21 ὃν addidi 26 ft. μὴ φυλαττόντων τὴν τάξιν

ἑτέρῳ τινὶ ἢ παρ' ἐκείνῳ, ὃς λαβὼν ἑλίσσει τὴν παρ' ἑαυτῷ ῥάβδον καὶ οὕτως φανερῶν τῇ τάξει γενομένων μὴ νοεῖν τὰ γεγραμμένα.

BCDEQ 154 c. *ἠυκόμων σκυτάλα Μοισᾶν*: τῶν εὐκόμων Μουσῶν ἀξιόλογε [ἄγγελε καὶ] κῆρυξ. σκυτάλην γὰρ ἐκ τοῦ συμβεβηκότος λέγουσιν, ὡς καὶ Ἀρχίλοχος (fr. 86)· ἀχνυμένη σκυτάλη. d. ἡ δὲ σκυτάλη τοιοῦτόν ἐστι. Λάκωνες κήρυκας διαπεμπόμενοι ξύλον μελαίνοντες περιείλισσον λευκῷ ἱμάντι καὶ περιέγραφον τῷ τε ἱμάντι καὶ τῷ ξύλῳ· εἶτα ὑπέλυον, ὥστε τὴν ἀκολουθίαν τῆς γραφῆς μὴ σώζεσθαι, εἰ μὴ προστεθείη πάλιν ὁ ἱμάς· καὶ οὕτω διὰ μὲν ἑτέρου τὸν ἱμάντα, διὰ δὲ ἑτέρου τὸ ξύλον ἀπέστελλον.
BEQ e. οἱ δὲ ὅτι ξύλον διαπρίοντες ἔνδον ἐπέγραφον καὶ οὕ-
BCDEQ τως ἀπέστελλον. f. οἱ δὲ ὅτι ξύλον τι στρογγύλον, ὅπερ εἰς δύο ποιοῦντες τὸ μὲν ἥμισυ κατεῖχον αὐτοί, τὸ δὲ ἕτερον ἐδίδουν τῷ ἁρμοστῇ [τῷ στρατηγῷ] τῷ ἐκπεμπομένῳ εἴς τινα πόλιν· εἶτα εἰ ἐβούλοντο δηλῶσαι αὐτῷ περὶ ἀπορρήτων, ἱμάντι περιειλίσσοντες ὃ εἶχον αὐτοὶ ξύλον ἐπέγραφον· ὅντινα δεχόμενος ὁ ἁρμοστὴς περιείλει ᾧ εἶχεν ἐκείνου ἀποκόμματι καὶ οὕτως ἀνεγίνωσκεν. ἦσαν δὲ ἁρμοσταὶ Λακεδαιμονίων εἴκοσιν. 156 Q

BCEQ 154 g. ἄλλως· *Μοισᾶν*: ἀντὶ τοῦ Μουσῶν ἄγγελε καὶ κῆρυξ. h. ἐχρῶντο δὲ πλατείαις σκυτάλαις οἱ Λάκωνες,

---

7—12 Tzetzes Chil. IX 135—55? 14—21 cfr. ad 154[b]

---

2 γενομένην: ego 2. 3 μὴ νοεῖν corrupta; ἀνεγίνωσκε V sch. Ar. Phot. 4 εὐκόμων Q: ἠυκόμων BDE (om. C) 5 ἀξιόλογος CEQ || ἄγγελε καὶ om. CDEQ; seclusi cl. 22 7 δὲ] γὰρ D 9 καὶ — ἱμάντι om. B 10 ἐπέλυον Qv 11 καὶ] ἢ E 13—20 cfr. Thom. 234, 11 13 διαπρίζοντες EQ || ἀπέγραφον EQ 14 ἐπέστελλον B || τι om. D || ὅπερ BCE: ὑπὲρ Q πρίζοντες καὶ D διαπρίζοντες b, om. 15 εἰς — ποιοῦντες 15 εἰς om. Q || αὐτοῦ Q[cp] b 16 ἐδίδον E || τῷ ἁρμοστῇ om. Bv || τῷ στρατηγῷ om. b (στρατηγόν, non ἁρμοστήν habent sch. Ar., Plut., Phot., Gell.) 17 εἰ om. DE 19 δεχόμενος BQ (Phot.): δεξάμενος CDE (Plut.) || περιεῖλεν CDQ || ᾧ] ὃ E || ἐκεῖνος Qv 21 Λακεδαιμόνων E 22 ἄλλως — 23 κῆρυξ (C)EQ: ἄλλοι δὲ ὅτι B, om. δὲ post ἐχρῶντο

ἐγγράφοντες αὐταῖς τὰς ἐπιστολὰς καὶ ἐγκλείοντες εἰς σκύτινα ἀγγεῖα καὶ οὕτω σφραγίζοντες. 154c Q

156 a. Συρακοσσᾶν τε καὶ Ὀρτυγίας: Ὀρτυγία νῆσος BEQ ταῖς Συρακούσαις παρακειμένη τὸ πρότερον· νῦν δὲ συνήφθη τῇ πόλει ταῖς Συρακούσαις. b. ἄλλως· νῆσος BCDEQ πρὸ τῶν Συρακουσῶν, ἧς ἄρχει ὁ Ἱέρων. c. ὅτι ἡ τῶν Συρακουσίων νῆσος Ὀρτυγία ἐκαλεῖτο, καὶ ὅτι Ἁγησίας ἐπολιτεύετο ἐν Συρακούσαις· ἦν δὲ τὸ ἀνέκαθεν Στυμφήλιος ἐξ Ἀρκαδίας. d. ἥντινά, φησι, τὴν τῶν Συρακουσῶν πόλιν Ἱέρων καθαρῷ σκήπτρῳ διοικῶν, ἴσα καὶ δίκαια βουλευόμενος τιμᾷ καὶ θεραπεύει τὴν Δήμητραν τὴν ἀνθηρὸν [καὶ ἐρυθρὸν] ἔχουσαν πόδα. e. ἢ φοινικόπεζαν, τὴν ἐρυθρόπουν HQ, ἀπὸ μέρους καλήν· πέζα γὰρ ὁ πούς.

158 a. τὰν Ἱέρων: ἱερωσύνην ⟨εἶχεν⟩ ὁ Ἱέρων Δήμητρος A καὶ Κόρης καὶ Διὸς Αἰτναίου ἐν Σικελίᾳ ἐκ διαδοχῆς Τηλίνου τοῦ προγόνου αὐτῶν.

158 b. σκάπτῳ: Ἀρίσταρχος· τοῖς κατὰ τὸν χορὸν εἰπεῖν A ἐπικελεύει τῶν τε Συρακουσῶν μεμνῆσθαι καὶ τῆς Ὀρτυγίας· αὕτη δέ ἐστι προσεχὴς ταῖς Συρακούσαις νῆσος καὶ ἀχώματος. c. ὁ δὲ Δίδυμος· διὰ τὸν Ἱέρωνα, ἐπεὶ ἄνωθεν ἐκ προγόνων ἱεροφάντης τῶν θεῶν ἀποδέδεικται, τὰ προκείμενά φησιν ὁ Πίνδαρος· καὶ παρατίθεται τὰ Φιλίστου (FHG IV, 640) καὶ τὰ Τιμαίου (FHG I, 214).

---

4 sq. sch. N. 1, 2 (p. 18, 10 Ab.). sch. P. 2, 10 12 sch. Did. Α 538. Hes. s. v. ἀργυρόπεζα. EM 137, 22

---

1 αὐταῖς C: αὐτοῖς BEv αὐτῶν GQb 3 l. B: om. E καὶ Ὀρτυγίας Q ‖ Συρακοσᾶν B Συρακουσᾶν v 5 ἄλλως BEQ: Ὀρτυγία C Ὀρτυγίας D 8 ἐν om. E ‖ Στυμφύλιος E 9 τὴν om. CE 10 καθ. σκ. Ἱέρων E ‖ ἴσα — βουλευόμενος om. D ‖ δίκα E 11 τιμῶν καὶ θεραπεύων D τιμᾶν καὶ θεραπεύειν Q ‖ Δήμητρα B ‖ post Δημ. add. θυγατέρα C, om. ceteris 12 καὶ ἐρυθρὸν B: om. 14 suppl. b 16 Τηλίνου b: λίνου 17 σκάπτων ‖ χορὸν Wilamowitz, Horn: χρόνον 17. 18 εἰπεῖν ἐπικελεύει Horn: εἰπεῖν ἐπικελεύων A εἰπεῖν ἐπικελεύω Mommsen suppl. p. 65 εἶπον ἐπικελεύων Wilamowitz 18 Συρακουσίων: b 19 Συρρακούσαις 20 καὶ ἀχώματος A prave: διὰ χώματος Horn non recte ‖ Δίδυμος b: Πίνδαρος 21 ταῖν θεοῖν b ‖ ft. ἀπεδέδεικτο 22 Πίνδαρος] Δίδυμος cj. b

A 159. *φοινικόπεζαν*: ἐπειδὴ οἱ λικμῶντες τὰ ἄχυρα ξανθοὶ γίνονται τὴν κεφαλήν. πᾶν δὲ ἄκρον πέζα καλεῖται.

A 160 a. *λευκίππου τε*: ὅτι ἡ Δημήτηρ τὴν Κόρην εὗρε μετὰ τὴν ἁρπαγὴν καὶ λευκοὺς ἵππους ὑποζεύξασα ἀνήγαγεν αὐτήν.

B²DEHQ 160 b. *λευκίππου τε θυγατρός*: ἀπὸ κοινοῦ τὸ ἀμφέπει καὶ τῆς λευκοὺς ἵππους ἐχούσης θυγατρὸς αὐτῆς· λέγει δὲ τῆς Κόρης. c. λεύκιππον δὲ εἶπεν,
B²CDEHQ | ἐπειδὴ λέγεται μετὰ τὴν ἁρπαγὴν ἡ Κόρη, ἣν ὑπέστη ὑπὸ τοῦ Πλούτωνος, εὑρεθεῖσα λοιπὸν ὑπὸ τῆς μητρὸς αὐτῆς Δήμητρος, λευκοπώλῳ ἅρματι ἀνῆχθαι εἰς τὸν Ὄλυμπον πρὸς
B²CEHQ τὸν πατέρα τὸν Δία. d. λέγεται δὲ ὁ Ἱέρων τῆς Δήμητρος καὶ τῆς Κόρης ἱεροφάντης.

A 162 a. *Ζηνὸς Αἰτναίου*: ἐν τῇ Αἴτνῃ Διὸς Αἰτναίου ἄγαλμα ἵδρυται, καὶ ἑορτὴ Αἰτναῖα καλεῖται.

BCEQ 162 b. *καὶ Ζηνὸς Αἰτναίου*: ἀπὸ κοινοῦ τὸ ἀμφέπει. c. περιέπει δὲ καὶ θεραπεύει ὁ Ἱέρων καὶ τὸ κράτος τοῦ Διὸς τοῦ κατὰ τὴν Αἴτνην τιμωμένου.

BCDEQ 162 d. *ἁδύλογοι δέ μιν λύραι*: αἱ ἀπὸ τῶν ὀργάνων πνοαί. e. ὁ δὲ λόγος· αἱ δὲ ἡδύλογοι αὐτὸν πνοαὶ τῶν ὀργάνων καὶ ᾠδαὶ γνωρίζουσιν· ἤτοι ὡς πολυύμνητον διὰ τὰ κατορθώματα, ἢ ὡς καὶ αὐτὸν μουσικῆς ἔμπειρον· φησὶ γάρ που ἔμπροσθεν (O. I 14) ἀγλαΐζεται δὲ καὶ μουσικᾶς ἐν ἀώτῳ.

---

2 sq. sch. B Ω 272

---

5 ὑποζεύξασαν: ego 7 sqq. sch. 160 B² mg. 7 l. om. BD ‖ ἀπὸ — 8 τῆς om. B 7 τὸ om. Oxon. 8. 9 αὐτοῦ Qv (corr. iam Beck) 10 ἡ Κόρη om. Cb ‖ ἣν om. E 11 Πλάτωνος D ‖ λοιπὸν hic om. b ‖ αὐτῆς Δήμητρος om. B ‖ Δημήτρας Beck, h 12 ἀνῆχθαι BCh: ἀνήχθη Dv ἀνήχθη λοιπὸν Q ἀνῆχθαι λοιπὸν EHb 13 τὸν (ante Δία) om. BC 16 Αἰτναία A^ac 17 l. κράτος add. EQ 19 Αἴτναν E 20 δέ μιν λύραι B: λύραι CDE λέγονται Q 21 ὁ — 22 ὀργάνων om. C 21 αὐτῶν DQ^ac 22 πολύμνητον E 24 δὲ om. E ‖ μουσικῆς DQv

163 a. *μὴ θραύσοι:* ὁ ἐπιγινόμενος χρόνος τὸν ὄλβον **A**
αὐτῶν μὴ θραύοι, τοὐναντίον δὲ αὐτοὶ . . . · τοῦτο γάρ
τινες συνεκδέχονται. b. μὴ ταράσσοι.

163 c. *μὴ θραύσοι χρόνος ὄλβον:* ὁ λόγος εὐκτικός· **BDEQ**
μὴ δὴ οὖν, ὦ θεοί, θραύσοι καὶ ἀφανίσοι αὐτοῦ τὴν εὐδαιμονίαν ὁ μακρὸς χρόνος, ἀλλὰ φιλοφροσύναις καὶ εὐθυμίαις ἐπεράστοις εἴη τὸν Ἱέρωνα τὸ τοῦ Ἀγησίου ἐγκώμιον δέξασθαι.

165. *σὺν δὲ φιλοφροσύναις:* ὅτι φίλος Ἀγησίας **A**
Ἱέρωνος καὶ μάντις· ὃς ἀνῃρέθη Ἱέρωνος καταλυθέντος.

166. *δέξαιτο κῶμον:* τὸ τοῦ Ἀγησίου ἐγκώμιον δέ- **C**
ξαιτο ὁ Ἱέρων.

167 a. *οἴκοθεν οἴκαδε:* ὅτι Ἀρκὰς καὶ Συρακούσιος **BCEQ**
ὁ Ἀγησίας. b. ὁ δὲ νοῦς· | οἰκεῖον ὄντα καὶ οὐκ ἀλλό- **BCDEQ**
τριον. c. ἴδιον ἐξ ἰδίων. εἰ γὰρ καὶ ἐν Σικελίᾳ οἰκεῖν **BEQ**
δοκεῖ ὁ Ἀγησίας, ὅμως ἐκ μητρὸς Ἀρκάς ἐστιν, ὥσπερ ἐδείχθη ἀνωτέρω (129 e).

167 d. *ἀπὸ Στυμφαλίων:* ἐκ τοῦ Στυμφήλου εἰς **A**
Συρακούσας πέμπει τὸν ὕμνον. μητρόπολις δὲ Ἀρκαδίας ἡ Στύμφηλος.

168 a. *ποτινισόμενον:* παραγινόμενον. b. ὁ δὲ **BCDEQ**
νοῦς τοιοῦτος· δέξαιτο ὁ Ἱέρων ἀπὸ τῆς Ἀρκαδίας ἐρχόμενον τὸν ὕμνον καὶ καταλιπόντα τὴν Στύμφηλον πόλιν, ἥ ἐστι μητρόπολις τῆς εὐμήλου Ἀρκαδίας, καὶ εἰς Σικελίαν παραγινόμενον.

170 a. *ἀγαθαὶ δὲ πέλονται:* ἀγαθαὶ δέ, φησι, καὶ **A**

---

19 et 24 cfr. sch. **V** 144 g

---

1. 2 τῶν ὄλβων αὐτὸν **A**[ac] 2 αὐτοὶ] ἄλλοι cj. Mommsen suppl. p. 66. Conieceris αὔξοι; sed plura excidisse videntur 4 μὴ — λόγος om. **D** 5 ὦ om. **E** 14 ὁ Ἀγ.] ἦν ὁ Ἀγ. **E** 15 ἄλλως (ante ἴδιον) add. **EQ** ἢ add. **v** ‖ εἰ] ἐν **E** 15. 16 δοκεῖ οἰκεῖν **Bv** 16 δοκεῖν **E** 19 πέμπει vix sanum; ft. παραγινόμενον ‖ ὕμνον] κῶμον mallet **b** 21 l. et παραγιν. om. **D** ‖ παραγενόμενον **B**[ac]**v** ‖ παραγ. — 22 τοιοῦτος om. **C** 22 δέξαιτο om. **E** 23 Στύμφυλον **E** 24 ἣ] ἥτις **Bv** ‖ Σικελίαν **b**: Ἀρκαδίαν **BDEQ** om. **C** 25 παραγενόμενον **D**

χρήσιμοι κατὰ χειμερίαν νύκτα δύο ἄγκυραι ἠρεισμέναι ἐκ μιᾶς νεώς. τοῦτο δέ φησι διὰ τὸ καὶ τὸν Ἁγησίαν δύο περιέχεσθαι πατρίσι, τῇ τε Ἀρκαδίᾳ καὶ ταῖς Συρακούσαις. b. ἄλλως· ἐν νυκτὶ δ' ἄνεμοι χαλεποί: — δῆλον νηῶν: πρὸς οὓς χρηστέον δύο ἀγκύραις ..... c. ... ⟨δύο ἄγκυραι⟩ χρήσιμοι, οὕτω καὶ πρὸς τὰς γινομένας ταραχὰς αἱ δύο πόλεις.

BCDEQ 170d. ἀγαθαὶ δὲ πέλονται: ἀστείως ἀπολογεῖται τοῦ εἶναι τὸν νικηφόρον δύο πατρίδων, καί φησιν· ὥσπερ ἐστὶ λυσιτελὲς καὶ συμφέρον ἐν χειμῶνι καὶ νυκτὶ [τὴν νῆα] δύο ἀγκύραις ἐπερείδεσθαι, οὕτως ἐπικερδὲς καὶ δύο πατρίδας ἔχειν [τὸν νικηφόρον]. e. ἡ δὲ ἔμφασις ὅτι ἐκπίπτοντες τῆς ἑτέρας πόλεως ἐπὶ τὴν ἑτέραν δύνανται σώζεσθαι παραγινόμενοι.

BDEQ 174. τῶνδ' ἐκείνων τε: ὁ νοῦς· θεὸς οὖν τῶν Ἀρκάδων τὴν μοῖραν καὶ τῶν Συρακουσίων παρέχοι τῷ Ἁγησίᾳ καλλίστην.

DEQ 175. φιλέων δὲ, θεὸς τὸν Ἁγησίαν.

BDEQ 176. δέσποτα ποντόμεδον: σὺ δὲ, ὦ δέσποτα Πόσειδον, ἄνερ τῆς Ἀμφιτρίτης, πάρεχε αὐτῷ εὐθὺν πλοῦν καὶ ἄκμητον. ἐν εὐθυμίᾳ καὶ εὐδαιμονίᾳ ὄντα παράσχες διανήξασθαι τὸν βίον· καὶ τὸν ἐμὸν δὲ ὕμνον εἰς ἄνθος καὶ τὸν καρπὸν εἰς δόξαν ἔπαιρε.

---

1 κατέχει μερίαν: b 3 Συρρ. 4—5 desperavi. δῆλον νηῶν del. b; δηλονότι χειμῶνες? Schroeder 5 lac. indicavi, supplevi 6 χρησίμοις: ego 8 πέλοντι DQv 8. 9 τοῦ εἶναι ego: τῷ εἶναι U τουτέστι BDEQ 9 τὸν] τὴν E ‖ πατρίδων CDEQ: π. εἶναι Bv. τουτέστι — εἶναι pro interpretamento verbi ἀπολογεῖται hab. Beck 10 τὴν νῆα om. CDEQ; seclusi 12 τὸν νικ. om. CDEQ; seclusi ‖ ὅτι om. Q 13. 14 παραγενόμενοι CDQb 15 l.] τε om. EQ, κλυτὰν αἶσαν add. E ‖ ὁ δὲ νοῦς E ‖ θεὸς] θεὶς E 16 τῶν] τὴν Beck, h τὴν τῶν b ‖ παρέχει E? Q[1] 19 l. φιλέων praem. B 19. 20 Πόσειδον] ποντόμεδον Q 20 Ἀμφιτρίτας E ‖ αὐτῷ DEQ: τῷ Ἁγησίᾳ Bv ‖ εὐθὺν] εὔθυνον E 21 ἐν scripsi: ὃν DEQ ὃν ἔν τε Bv ἔν τε b (paragrapho praefixa). Ft. ⟨οἷον⟩ ἐν ‖ ὄντα] om. B ὄντων D ‖ παράσχες b: παρέσχες BDGQv πάρεχε E 22. 23 corrupta 22 καὶ τῶν ἐμῶν ὕμνων τὸ ἄνθος U Mommsen καὶ τὸν ἐμὸν ὕμνον ἐς ἄνθος Q; ft. καὶ τῶν ἐμῶν δὲ ὕμνων ἄνθος (cfr. p. 223, 15) 23 καρπὸν] κ. δὲ D ‖ ἔπαρε E

177 a. εὔθυνε πλόον: μέλλει γὰρ ὁ Ἀγησίας εἰς Συρακούσας πέμπειν τὸν ὕμνον πλοΐ. b. τινὲς δὲ τὴν διαγωγὴν τοῦ βίου πλοῦν φασι ποιεῖσθαι. A

179 a. πόσις: τὸ πόσις ἐπὶ κλητικῆς κεῖται εὐθείας ὄν, ὡς τὸ Ἠέλιος ὃς πάντ' ἐφορᾷς (Γ 277), καὶ Διὶ φίλος. b. δίδου οὖν, φησιν, ὦ Πόσειδον, ὦ πόσις Ἀμφιτρίτης, εὐπλοῆσαι καμάτων ἐκτὸς ἐόντα. A

τέλος ἀπήνης Ἀγησίᾳ Συρακουσίῳ. D

## Scholia in Olympionicarum carmen VII.

Διαγόρᾳ Ῥοδίῳ πύκτῃ υἱῷ Δαμαγήτου. A

Διαγόρᾳ Ῥοδίῳ πύκτῃ. CE

Διαγόρᾳ Ῥοδίῳ πύκτῃ νικήσαντι ἑβδομηκοστὴν ἐννάτην Ὀλυμπιάδα. BDQ inscr. C metr. Q

Ταύτην τὴν ᾠδὴν ἀνακεῖσθαί φησι Γόργων (FHG IV, 410) ἐν τῷ τῆς Λινδίας Ἀθηναίας ἱερῷ χρυσοῖς γράμμασιν. BCQ | ἐνίκησε δὲ καὶ Πύθια καὶ Ἴσθμια. BQ 5 C inscr. Q

Τοῦ ζ' εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστὶν ια'. ADEQ τὸ α' ἰωνικὸν δίμετρον καταληκτικόν. τὸ β' προσοδιακὸν δίμετρον ἀκατάληκτον. τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ δ' Εὐριπίδειον. τὸ ε' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ϛ' δακτυλικὸν πενθημιμερές. τὸ ζ' ὅμοιον

---

4 sch. A Γ 277

---

2 τινὲς δὲ] κατά τινας b, om. ποιεῖσθαι 3 φασι ego: φησι || ποιεῖσθαι corruptum 5 ἐφορᾷ || δὸς φίλος (ρ 415) ex sch. Γ 277 scrib. vid. 8 ἀπήνης — συρακουσίῳ rubr. add. D συρακουσῶν ὄρπηκος ἀγησία τέρμα ἀπήνης subscr. Q 11 ἑβδ. ἐνν. B: τὴν οθ' Q οζ' D 14 Λινδίας Meursius Rhod. 1, 6: ληναίας BC σεληναίας Qr || Ἀθηνᾶς Qb 15 δὲ om. Q 16 ἐστὶν om. V 17 etc. προσοδικὸν fere E 19. 20 ἴαμβος δίμετρος ὑπερκατάληκτος DE ἴαμβος δίμετρον ὑπερκ.-ον Q

τῷ β'. τὸ η' ἐγκωμιολογικόν. τὸ ϑ' δακτυλικὸν πενϑημιμερές. τὸ ι' ἰωνικὸν δίμετρον ἀκατάληκτον. τὸ ια' δακτυλικὸν τρίμετρον καταληκτικόν.

ἡ δὲ ἐπῳδὸς κώλων ιγ'. τὸ α' δακτυλικὸν πενϑημιμερές. τὸ β' ἰωνικὸν τρίμετρον καταληκτικὸν ἀπὸ τροχαϊκῆς εἰς τροχαϊκήν. τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ δ' δακτυλικὸν τρίμετρον καταληκτικὸν ἢ προσοδιακὸν δίμετρον ἀκατάληκτον. τὸ ε' ἀναπαιστικὸν μονόμετρον. τὸ ϛ' περίυδος, διπλοῦς τροχαῖος. τὸ ζ' προσοδιακὸν δίμετρον ἀκατάληκτον τὸ η' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ϑ' δακτυλικὸν πενϑημιμερές. τὸ ι' ἰαμβέλεγος τοῦ πρώτου ἰάμβου λελυμένου. τὸ ια' ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικόν. τὸ ιβ' προσοδιακὸν δίμετρον καταληκτικόν. τὸ ιγ' Στησιχόρειον. p. 195, 13—15 Q

A Inscr. a. Διαγόρᾳ νικήσαντι τὴν οϑ' Ὀλυμπιάδα. τοῦτον δὲ τὸν Διαγόραν οἱ Ῥόδιοι Ἑρμοῦ παῖδά φασιν. πορευομένῃ γὰρ τῇ μητρὶ αὐτοῦ εἰς ἀγρὸν καὶ ἀναπαυομένῃ πρὸς Ἑρμαίῳ τινὶ μιγῆναι τὸν ϑεόν, καὶ ἐκ τούτου γενέσϑαι τὸν Διαγόραν. b. περὶ τοῦ Διαγόρου εἶπε μὲν καὶ Ἀριστοτέλης . . . καὶ Ἀπόλλας μαρτυροῦσιν ὅτι δ' πηχῶν καὶ ε' δακτύλων ἦν. ἔσχε δὲ καὶ Δαμάγητον υἱὸν πρεσβύτατον τῶν παίδων τετράπηχυν τὸ μέγεϑος, τοῦ πατρὸς ἐλάττονα ε' δακτύλων. ἔσχε δὲ καὶ ἄλλον ἀδελφὸν Ἀκουσίλαον, ϑυγα-

---

2 ἀκατάληκτον om. D 3 τρίμετρον V: δίμετρον A || καταληκτικόν EPU καταληκτικὸν πενϑημιμερές A: ἀκατάληκτον DQ 4 καὶ ἡ ἐπῳδὴ κ. ιγ' D || κώλων A: κ. ἐστὶ EQ 5 ἰωνικὸν ADE: προσοδιακὸν Q || δίμετρον E || καταλ. — 6 τροχαϊκήν om. Q || καταληκτικὸν AE: ἀκατάληκτον D || ἀπὸ τροχαϊκῆς om. A || ἀπὸ — τροχαϊκήν hic om. D || τροχαϊκήν E: τροχαϊκόν AD (vid. infra) 6 post ἀκατάληκτον add. ἀπὸ τροχαικοῦ εἰς τροχαικὸν ἀναπαιστικὸν μονόμετρον D 7 τρίμετρον V: δίμετρον A || ἀκατάληκτον Q || προσοδιακὸν] ἀνακλώμενον πρ. D || δίμετρον DQ: τρίμετρον AE 9 περίοδος A: περιοδικὸν V 10 τροχ. δίμ. καταληκτικόν A τροχαῖος δίμετρος ἀκατάληκτος DE τροχαῖος δίμετρον ἀκατ.-ον Q 11 ἴαμβος ἔλεγος A ἰαμέλεγος E 13 (col. ια') ἀκατάληκτον EQ 15 sqq. cfr. Paus. VI 7; V 6, 8. 20 lac. indicavi || ε' ego: γ' ἦσαν 21 δακτυλ(ικῶν) || ἦν. ἔσχε ego: ἠνέωχε || δαμάχη τὸν: V 23 υἱὸν scrib. pro ἀδελφὸν?

τέρων δὲ υἱοὺς Εὐκλέα Καλλιάνακτος καὶ Πεισίρροδον. οὗτοι δὲ πολλὰς νίκας ἐκ τῶν Ὀλυμπίων ἔσχον, ⟨ἔσχον⟩ δὲ καὶ ἐκ Πυθίων . . . δὲ ἔφη ὅτι παῖδες τούτου διαφόρους ἀγῶνας νικήσαντες καὶ περιβαλόντες τὸν Διαγόραν ἐξῆλθον μακαριζόμενοι, ἀφ' οὗ Ἡρακλῆς συνέθηκε τὸν ἀγῶνα, μηδενί πω τοιαῦτα συμβῆναι ὥστε καὶ τὸν πατέρα καὶ τοὺς υἱοὺς Ὀλυμπιονίκας γενέσθαι. ἡ θυγάτηρ δὲ τούτου ἦλθεν εἰς τὰ Ὀλύμπια· ᾗ ὄνομα Καλλιπάτειρα. ἐκωλύετο δὲ ὑπὸ τῶν Ἑλλανοδικῶν γυνὴ οὖσα θεωρῆσαι τὰ Ὀλύμπια. ἡ δὲ οὐχ ὁμοία ἔφη εἶναι ταῖς ἄλλαις γυναιξίν· ἔχειν γὰρ καὶ τὸν πατέρα Διαγόραν καὶ τοὺς τρεῖς ἀδελφοὺς Ὀλυμπιονίκας, Δαμάγητον, Δωριέα, Ἀκουσίλαον, καὶ πέμπτον ἀδελφῆς παῖδα Εὐκλέα καὶ αὐτῆς υἱὸν Πεισίρροδον, καὶ τούτων εἰκόνας εἶναι ἐν Ὀλυμπίᾳ. οἱ Ἑλλανοδίκαι δὲ ἡσθέντες συνεχώρησαν αὐτῇ θεωρεῖν.

c. προοίμιον. ὁ Διαγόρας υἱὸς μὲν ἦν Δαμαγήτου BCDEQ τοῦ Ῥοδίου· περὶ δὲ τούτου τοῦ Διαγόρου ἱστόρηται τοιαῦτα. κατὰ γὰρ τὴν Ὀλυμπίαν ἕστηκεν ὁ Διαγόρας μετὰ τὴν Λυσάνδρου εἰκόνα, πηχῶν τεσσάρων δακτύλων πέντε, τὴν δεξιὰν ἀνατείνων χεῖρα, τὴν δὲ ἀριστερὰν εἰς ἑαυτὸν ἐπικλίνων. μετὰ δὲ τοῦτον ἵσταται καὶ ὁ Δαμάγητος ὁ πρεσβύτερος τῶν παίδων αὐτοῦ, ὃς ἦν καὶ ὁμώνυμος τῷ πάππῳ, παγκράτιον προβεβλημένος, καὶ αὐτὸς πηχῶν τεσσάρων, ἐλάττων δὲ τοῦ πατρὸς δακτύλων τεσσάρων.

---

7—15 Paus. 5, 6, 7 sq. 17—p. 199, 1 Tzetzes Chil. I 594—618

---

1 Εὐκλέα Καλλιάνακτος ego (V, Paus.): εὐκλεέστατον καλλιάνακτα || Πεισίρροδον b (Paus.): Πεισίρροθον 2. 3 ⟨ἔσχον⟩ δὲ καὶ ego: δέκα 3 lac. indicavi, δὲ ἔφη scripsi cum Red.: δὲ ὅ φησιν A || τούτου διαφόρους] τοῦ Διαγόρου? 4 περιλαβόντες Schroeder || Διαγόραν ego: ἀδελφὸν 5 ἀφ' οὗ ⟨δ'⟩ Ἡρ.? 7 δὲ ego: καὶ 8 Καλλιπάτρει: V 10 ὁμοίως? A || ἔχειν ego: ἔσχε 12 Δαμάτητον || Δωρέα: V || πέμπτον ego: ε' 13 παῖδα ego: παῖδας || Εὐκλεᾶ || Πεισίρροθον: cfr. 1 14 Ἑλλανοδίκαι ego: ἑλλανο$^{δ}$ αἱ || ἡττηθέντες Schroeder ft. recte 16 προοίμιον $B^{mg}$: φιάλαν ὡς εἴ τις CDEQ || ὁ Διαγ. οὗτος V || Δαμαγέτου E 17 Διαγόρα Q 18 Ὀλυμπιάδα: Beck 22 ἦν om. E 23 αὐτὸν E 24 ἐλάττω DE || τοῦ πατρὸς om. D || δακτ. πέντε b (ex A)

*ἐχόμενος δὲ τούτων ἕστηκε Δωριεὺς ἀδελφὸς πύκτης καὶ αὐτὸς προβεβλημένος. τρίτος δὲ μετ' ἐκεῖνον Ἀκουσίλαος, τῇ μὲν ἀριστερᾷ ἱμάντα ἔχων πυκτικόν, τὴν δὲ δεξιὰν ὥσπερ πρὸς εὐχὴν ἀνατείνων. καὶ οὗτοι μὲν οἱ τοῦ νικηφόρου*
BDEQ *παῖδες ἐν στήλαις ἵστανται σὺν τῷ πατρί· | μετ' ἐκείνους δὲ καὶ θυγατέρων αὐτοῦ νικηφόροι υἱοὶ δύο, Εὔκλων πυγμῇ νικήσας ἄνδρας καὶ μετ' ἐκεῖνον Πεισίρροδος. καὶ λέγεται κατὰ τὴν Ὀλυμπίαν νικήσαντας τοὺς παῖδας κατὰ τὴν αὐ-*
BCDEQ *τὴν ἡμέραν τῷ πατρί, | περιβαλόντας [οὖν] τὸν Διαγόραν περιιέναι τὸ στάδιον μακαριζομένους ὑπὸ τῶν Ἑλλήνων. χρόνῳ δὲ ὕστερόν φασι καὶ τὴν τούτου θυγατέρα Ἀριστοπάτειραν ἐλθεῖν εἰς τὴν Ὀλυμπίαν καὶ αἰτεῖν παρὰ τῶν Ἑλλανοδικῶν ἐπιτρέψαι τὴν θέαν αὐτῇ· τοὺς δὲ κωλύειν φάσκοντας κατὰ νόμον γυναῖκα μὴ θεωρεῖν τὸν γυμνικὸν ἀγῶνα. τὴν δὲ φῆσαι πρὸς αὐτοὺς οὐκ ἴσην εἶναι ταῖς ἄλλαις γυναιξίν, ἀλλὰ φέρειν πλέον τι, ταῖς προγονικαῖς ἀρεταῖς ἐπερειδομένην, καὶ δεῖξαι τάς τε τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν στήλας· καὶ οὕτω νικηθέντας τοὺς Ἑλλανοδίκας ἐπιχωρῆσαι καὶ συνήθειαν νόμου διαλῦσαι καὶ τῇ*

---

11 — p. 199, 2 Aesch. epist. 4, 5. Ael. v. h. 10, 1. Val. Max. 8, 15 ext. 4. Gell. N. A. 3, 15

---

1 *ἐρχόμενος* E ‖ *τούτον* h ‖ *Δωριεὺς* Beck ex Paus.: *Διώρευς* BCDQ (Tzetzes) *Διορεὺς* E ‖ *πύκτην* C$^s$; ante *πύκτης* dist. h; cfr. Paus. 6, 7, 1  2 *Ἀγησίλαος* EO  3 *πυκνὸν* DQ (*πυκτικὸν* Q$^{mg}$) ‖ *τῇ* et *δεξιᾷ* E  3. 4 *ὡς πρὸς προσευχὴν* Bv ‖ *οὗτοι*] *ὅτι* E  5 *ἐκεῖνον* D  6 *δὲ* om. B ‖ *νικηφόρων* L$^{pc}$ ‖ *Εὐκλῆς* b (ex A et Paus.)  7 *ἄνδρας* ego (*ἐν ἀνδράσιν* Paus.): *ἄνδρωνα* BDQ *ἄνδρωνον* E ‖ *Πεισιρρόθιος* V Tzetzes: cfr. 197, 1 ‖ *λέγεται* b: *λελεγέτης* BDQ Tzetzes *λελελέτ(ης)* et *-γέτ(ης)* E *λελεγέτιος* O; ignorat Paus. *ἐν τῇ Ἄλτει* Beck  8 *Ὀλυμπίαν* h: *Ὀλυμπιάδα* V (*τὴν . . . Ὀλυμπιάδα*? Beck) ‖ *νικήσαντες*: b ‖ *τοὺς παῖδας* om. B  9 *περιβαλόντας* scripsi cum A: *περιλαβόντας* BCDQ *περιλαβόντες* E *παραλαβόντας* Beck ‖ *οὖν* seclusi (defendebat b)  10 *μακαριζόμενοι* D  11 *φησι* E ‖ post *καὶ* lac. E  11. 12 *Καλλιπάτειραν* b (ex A et Paus. 5, 6, 7)  17 *ἐπερειδομένην* om. D ‖ *τὰς*] *τὴν* EQ$^i$  19 *ἐπιχειρῆσαι*: b (*συγχωρῆσαι* A *ἐνδοὺς* Tzetzes) ‖ *συνήθειαν νόμου* BOQ *συνήθους νόμου* E: *συνήθη νόμον* CD

Ἀριστοπατείρᾳ τὴν θέαν ἐπιτρέψαι. καὶ τὰ μὲν περὶ αὐτῶν
τοσαῦτα. ἱστόρηται δὲ ὁ Διαγόρας Ἑρμοῦ παῖς γεγενῆσθαι.
φασὶ γὰρ αὐτοῦ τὴν μητέρα εἰς ἀγρόν που πορευομένην,
εἶτα καύματος σφοδροῦ ἐπισχόντος ἐπικλιθῆναί τινι Ἑρμαίῳ
τεμένει, καὶ οὕτω τὸν θεὸν αὐτῇ συνελθεῖν, | τὸν δὲ Δια- **BCEQ**
γόραν οὕτω τεκεῖν αὐτήν· ὃς πρῶτος ἀφ' Ἡρακλέος λέγεται
τοιοῦτος γενέσθαι. p. 195, 13—14 **C** 5 **DE** 3 **Q**

1 a. φιάλαν ὡς εἴ τις: ὡς εἴ τις φιάλην πάγχρυσον **ABDEQ**
ἀπὸ πλουσίας χειρὸς λαβὼν πεπληρωμένην οἴνου δωρήσεται
ἀκμαίῳ νυμφίῳ, ἅμα τὸν οἶνον προπίνων καὶ αὐτὴν τὴν
φιάλην δωρούμενος, οὖσαν κεφάλαιον τῶν τοῦ πλούτου κτη-
μάτων διὰ τὸ αὐτὴν χρυσῆν εἶναι· | ἀπὸ τῶν οἴκων δὲ τοῦ **ABEQ**
πενθεροῦ δεξάμενος εἰς τὰ ἑαυτοῦ φέρει οἰκήματα· ἐχαρί-
σατο δὲ τοῦ τε συμποσίου διὰ τοῦ δώρου τὴν ὀφειλομένην
χάριν ἀποσώσας καὶ τὴν ἑαυτοῦ συγγένειαν τὴν πρὸς τὸν
νεανίαν τιμήσας· | ἔθηκε δὲ αὐτὸν ζηλωτὸν ἕνεκεν τῆς ὁμο- **ABDEQ**
φροσύνης πρὸς τὴν τοῦ δωρησαμένου θυγατέρα. 5 **B** 8[a] **DQ** 12 **E**

b. ὥσπερ οὖν ὁ πενθερὸς δωρεῖται τῷ νεανίᾳ τὴν φιά- **AB(C)DEQ**
λην οἴνου πεπληρωμένην, κἀγὼ τὸ ἄκρατον τὸ ἐκ Μουσῶν
ὑπάρχον μοι νέκταρ, ὃ ἐκ τῆς ἐμαυτοῦ διανοίας ἐκαρπω-
σάμην, | παρέχων τοῖς νικηταῖς ἀνδράσιν, ἱλαροὺς αὐτοὺς **AB(C)EQ**
καὶ εὐχαρίστους ἀποτελῶ. 4 **A** 12[b] **B(C)DE** 12[d] **Q**

---

1 αὐτῆς **D** 2 δὲ] δὲ καὶ **(C)E** || γενέσθαι **B** 3 φησὶ **E** 4 κάματος **B** || ἐπικληθῆναι **DE** 6 ἐφ' **B** 8 l.] om. **D** ἄλλως **EQ** || post l. τὸ (δὲ) σαφὲς οὕτως ἔχει add. **V** || ὡς **A**: ὥσπερ **V** 9 οἴνου **AQ**: οἴνῳ 11 οὖσαν κεφάλαιον **A**: τίμιον καὶ ἄκρον οὖσαν **V** 12 διὰ — εἶναι om. **V** || δὲ om. **V** 13 δεξάμενος om. **V** || φέρει **A**: φέρειν **V** 14 δὲ τοῦ τε **A**: εἶπε δὲ **V** || συμποσί///// **A** ras. 15 χάριν om. **A** || τὴν πρὸς ego: τί πρὸς **A** πρὸς **V** 16 post τιμήσας add. τὴν δὲ φιάλην (τῶν δὲ φίλων **B**[pc]) κατὰ τὸ συμπόσιον παρόντων **V** || δὲ **ADEQ**: om. **B** || ζηλωτὴν **A** ζηλωτὸν καὶ ἐπίδοξον (-σημον **Q**) **V** || ἕνεκεν **ADQ**: ἕνεκε **B** ἕνεκα **E** 16. 17 ὁμόφρον(ος) **A** || πρὸς **A**: ἣν (ἧς **BO**) ἔχει ὁ νεανίας πρὸς **V** 18 τὸ δὲ σαφὲς praem. **V**, om. οὖν 19 οἴνου] supra ου ινο **B** || κἀγὼ **A**: οὕτω καὶ ἐγὼ **V** || ἄκρατον **A**: αὐτόματον καὶ ἄκρατον **V** || Μουσῶν **AB**: τῶν Μ. 20 μοι om. **E** || ἑαυτοῦ **AQ** 21 παρέχων **CEO**: παρέχω **ABQ** || post ἀνδράσιν add. νικητὰς δὲ τοὺς ἐν Ὀλυμπίᾳ (λέγει add. **Qv**) καὶ ἐν Πυθοῖ **V** 22 ἀποτελῶν **A**

A 3 a. *καγχλάζοισαν*: ἀντὶ τοῦ πληθύνουσαν. b. *ἔνδον* δὲ ὅτι ἔσω τῆς φιάλης ἔχεται ὁ οἶνος. c. *ἀμπέλου δρόσῳ*: ἤγουν τῷ οἴνῳ. 6

B$^{g1}$Q 3 d. *καχλάζοισαν*: ἀντὶ τοῦ πεπληρωμένην· πρὸς ὃ τὸ σημεῖον.

A 4. *δωρήσεται*: οὐ μόνον προπίνων, ἀλλὰ καὶ τὴν φιάλην χαρίσεται χρυσῆν οὖσαν. δηλοῖ γὰρ τὸ δωρεῖσθαι, ὡς καὶ Ἀνακρέων (fr. 66?)· ὡς καὶ προπίνων χρηστὰς φιάλου. καὶ Δημοσθένης (18, 296) τοὺς προδιδόντας τὴν πατρίδα . . . 8

BCDEQ 5 a. *προπίνων*: προπίνειν ἐστὶ κυρίως τὸ ἅμα τῷ κράματι τὸ ἀγγεῖον χαρίζεσθαι. Ἀνακρέων (fr. 66)· ἀλλὰ πρόπινε ῥαδινοὺς ὦ φίλε μηρούς· ἀντὶ τοῦ χαρίζου. καὶ Δημοσθένης (18, 296) τοὺς προδιδόντας τὰς πατρίδας τοῖς Q ἐχθροῖς προπίνειν ἔφη τοῖς ἐχθροῖς. 8 E b. ἄλλως· τινὲς προπέμπων λέγουσι, τὸ δὲ προπίνων παλαιὸν σφάλμα φασὶ Q τῶν γραψάντων. c. *νεανίᾳ* δὲ *γαμβρῷ*, τῷ ἀκμαίῳ νυμφίῳ· γαμβρὸν γὰρ κυρίως τὸν νυμφίον λέγουσι δηλονότι.

A 6 a. *οἴκοθεν*: διὰ γὰρ τὴν οἰκειότητα αἱ οἰκίαι κοιναί εἰσι τοῦ πενθεροῦ καὶ τοῦ γαμβροῦ. 10

BCDEQ 6 b. *πάγχρυσον κορυφάν*: τὸ μὲν πάγχρυσον ὡς πρὸς τὴν φιάλην, ἵν' ᾖ ἡ φιάλη ὅλη χρυσῆ. c. τὸ δὲ *κορυφὰν κτεάνων*, ὅτι ἀξιοπρεπέστερος τῶν τοῦ πλούτου χρημάτων ὁ χρυσός. κορυφὰν οὖν τὸ κεφάλαιον καὶ ἄκρον C ἀκουστέον. 1$^{a}$ DEQ d. ἐξ Ὁμήρου τοῦτο παρέξεται φάσκοντος· τῷ κτέρας οὐδὲν ὅμοιον (*Κ* 216 cl. *Ω* 235).

---

11 Eust. Od. 1732, 38: ἦν, φασι, κυρίως προπίνειν τὸ πρὸ ἑαυτοῦ διδόναι τινὶ πίνειν· ἔστι δὲ ὅτε καὶ τὸ ποτήριον ἀποχαρίζεσθαι. (Suid. προπίνειν?) 14 Suid. Phot. προπίνει. 18 EM 220, 39

---

4 ἀντὶ τοῦ et πρὸς — 5 σημεῖον om. B 9. 10 πατρίαν: V. Lac indicavi 11 l. om. D ‖ κυρίως ἐστὶ CDQ 13 πρότεινε B τρόπινε (-ε ex corr. C$^{2}$; -εν? C$^{1}$) CO ‖ μηρούς] μακρούς C μοιρούς O 15 τοῖς ἐχθροῖς (alt.) om. v (hab. Suid. Phot.) 16 προπίνων Q$^{pc}$: προπίνειν O προτείνων Q$^{ac}$ 18 δηλονότι OQU: δηλοῦν b 19 οἴκοθ(εν) 21 l. B: om. CD πάγχρυσον EQ 23 κορυφὴν CE ‖ τοῦ om. E 24 κορυφὴν CD 25 παρείληπται?

8 a. *συμποσίου τε χάριν*: ἀντὶ τοῦ τῶν ἐν τῷ συμ- BCDEQ
ποσίῳ. b. ὅπως καὶ δόξῃ χαριστικός τις εἶναι παρὰ τοῖς B,CE,Q
πίνουσιν.

8 c. *κᾶδός τε*· τὴν κατ' ἐπιγαμίαν οἰκειότητα τιμῶν A
τῷ δώρῳ τῆς χρυσῆς φιάλης. ἔνθεν καὶ κηδεστής. 27

8 d. *κᾶδός τε τιμάσας ἑόν*: τὸ κῆδος. τὴν συγγέ- BCDEQ
νειαν· ἔοικε γὰρ ὁ δωρούμενος πατὴρ εἶναι τῆς γαμηθείσης
τῷ νεανίᾳ νύμφης. 6 E

10 a. *ζαλωτόν*: ζηλωτὸν ἐκεῖνον αὐτοῖς ἐποίησεν ἕνεκεν A
τῆς ὁμοφροσύνης αὐτοῦ πρὸς τὴν σύνευνον. διὰ γὰρ αὐτὸ
τοῦτο δηλονότι παρὰ τοῦ πατρὸς αὐτῆς ἐτιμᾶτο. b. προσ-
ληπτέον δὲ εἰς τὸν πλήρη λόγον τὴν ἕνεκα, ἵν' ᾖ· φίλων
δὲ παρόντων ἐποίησεν αὐτὸν ζηλωτὸν ἕνεκα τῆς ὁμόφρονος
εὐνῆς. 15

12 a. *καὶ ἐγὼ νέκταρ χυτόν*: αὐτόχυτον καὶ ἄκρα- BCDEQ
τον. $1^b$ BCDEQ b. νέκταρ τὸ ποίημα εἶπε· Μοισᾶν δὲ δό- BCDE
σιν, τὴν μουσικὴν καὶ τοὺς ὕμνους. c. *ἱλάσκομαι*,
ἱλαροὺς ποιῶ. d. *καρπὸν φρενός*: τὴν ποίησιν καὶ τὴν BDEQ
ἐπίνοιαν τῶν ποιημάτων καρπὸν εἶπε φρενός.

12 e. *νέκταρ χυτόν*: καὶ ἐγὼ τὴν τῶν Μουσῶν δόσιν, A
ἥτις ἐστὶ νέκταρ χυτὸν καὶ αὐτὸ ἄκρατον· οὐ γὰρ ἐπιδέεται
τοῦτο συγκράσεως, ὥσπερ οἶνος χωρὶς ὕδατος· . . . . 8

15. *ἱλάσκομαι*: ἱλαροὺς ποιῶ τοὺς τὸν ὕμνον λαμ- A
βάνοντας νικηφόρους, ὡς ὁ προπίνων πενθερὸς τῷ γαμ-
βρῷ τὴν φιάλην καὶ δωρούμενος λαμπρὸν κατασκευάζει τὸν
λαμβάνοντα καὶ γεγηθότα. 19

17 a. *ὁ δ' ὄλβιος*: οὗτος δέ ἐστιν εὐδαίμων, ὃν ἀγα- BCDEQ

---

4 EM 509, 51

---

1 τε χάριν B: om. ‖ τῶν om. BD ‖ τῷ om. BCDEv (hab. GOQU) 1. 2 ποσίῳ E 2 καὶ δόξῃ CEQ: δόξῃ καὶ Bv 6 l. B: κᾶδος δὲ D κᾶδος EQ om. C, add. καὶ τιμήσῃ ‖ τὴν B: καὶ τὴν 8 νύμφης] τῆς ν. EQ 10 αὐτ(οῦ) ‖ τὴν ego: τὸν 11 δῆλον ὅτι 13 ἕνεκα ego: εἶναι 14 εὐνᾶς 15 αὐτόφυτον Fähse syll. p. 403 16 νέκταρ — εἶπε om. D 17 ἱλάσκομαι] ἱλ. (δὲ) ἀντὶ τοῦ CD 19 νοημάτων E ‖ καρπὸν εἶπε φρενός DEQ: εἶπεν BO om. v 27 δέ om. CD

θὴ δόξα καὶ φήμη κατέχει. b. ἤτοι γνωμικῶς· ἢ ἰδίως, ὃν ἂν εὐφημήσω.

A 17 c. ὄλβιος: καθόλου πᾶς ὁ καλῶς ἀκούων ὄλβιός ἐστιν ....... φῆμαι ἀγαθαὶ κατέχουσιν ἐκ τῶν ἐμῶν ποιημάτων, οἷον τὸν ὑπ' ἐμοῦ μνησθέντα. 12

A 19 a. ἄλλοτε δ' ἄλλον: τὸ ἑξῆς· ἄλλοτ' ἄλλον ἡ Χάρις ἐποπτεύει. [τὸν] κομίζονται τῶν κακοπαθειῶν τὴν χάριν οἱ ὑμνηθέντες. b. δύναται δὲ καὶ ἡ χάρις ἐποπτεύειν ἅμα μὲν ἁδυμελεῖ φόρμιγγι παμφώνων τε ἐν ἔντεσιν αὐλῶν ὅπερ νικῶσι τοῖς νικηφόροις συμβαίνει ποιεῖν. c. περιφραστικῶς εἶπε τοὺς αὐλοὺς ἔντεα παρὰ τὸ ἔσω τὴν φωνὴν ἔχειν.

B(C)DEQ 19 d. ἄλλοτε δ' ἄλλον ἐποπτεύει χάρις: Ἀρίσταρχος χάριν ἀκούει τὴν τῆς εὐδαιμονίας· βέλτιον δὲ τὴν τῶν ποιημάτων. e. ζωθάλμιος δέ, ἡ θάλλειν αὐτοὺς ποιοῦσα καὶ οἱονεὶ ζῆν διαπαντὸς μνημονευομένους.

BCDEQ 19 f. ἄλλως· ἐποπτεύει χάρις: ἡ τῶν ποιημάτων ἡδονή. g. ὁ δὲ νοῦς· [ἄλλοτε δ' ἄλλον ἡ ζωθάλμιος χάρις, ἡ τῆς νίκης,] καταλαμβάνει δὲ καὶ ἐποπτεύει ἡ χάρις τοὺς νικηφόρους σύν τε κιθάρᾳ καὶ αὐλοῖς ποικίλως φθεγγομένοις. h. ζωθάλμιος ἀντὶ τοῦ ζῶσα καὶ θάλλουσα.

---

15 Hes. ζωθάλμιον. — Eust. de vita Pind. p. 12, 10 Ab.: ζωθάλμιον χάριν, καθ' ἣν ζῶν τις θάλλει

---

3 ft. ⟨ἢ⟩ καθόλου 4 ⟨ἢ⟩ in lac. suppl. **b** ‖ φημαὶ 5 τὸν et μνησθέντα ego: τῶν et μνησθέντων 7 ἐποπτεύοι: ego ‖ τὸν seclusi ‖ κομίζοντα: ego ‖ κακοπαθῶν: ego 8 καὶ ⟨οὕτως·⟩? et ἐποπτεύει? 13—16 χάρις ζωοφθάλμιος: ἡ τῆς νίκης· ἡ θάλλειν — μνημονευομένη. Ἀρ. δὲ χάριν τὴν τῆς εὐδαιμονίας ἀκούει **C**; cfr. ad. 18 13 ἐποπτεύει χάρις om. **BD** 14 τὴν τῆς εὐδαιμονίας **C** τῆς εὐδαιμονίας **DEQb**: τὴν εὐδαιμονίαν **Bv** ‖ τὴν (alt.) om. **DE** 15 αὐτὸν an αὐτοὺς **B** incert. 16 μνημονευομένη **CD** 17 ἄλλως om. **B** ‖ l. **BEQ**: χάρις **CD** ‖ ἡ] χάρις ἡ **EQ** 18 ἄλλοτε — 19 νίκης seclusi **C** secutus (cfr. ad 13—16) 18 ἄλλον] ἄλλων **D** ἄλλω **E** ‖ ἡ τῆς νίκης χάρις (om. ἡ ζωθ.) **C** ἡ ζωθ. ἡ τῆς νίκης χάρις **v** 19 δὲ om. **BCv** ‖ καὶ om. **Q** ‖ ἡ χάρις om. **Ch** 20 αὐλοῖς] αὐλοῖς καὶ σὺν αὐλοῖς **E** ‖ ποικίλοις **E**

22. *ἔντεσιν αὐλῶν*: περιφραστικῶς τοῖς αὐλοῖς, οὓς **BCDEQ** ἔντεα εἶπε παρὰ τὸ ἐντὸς ἔχειν τὴν φωνήν.

23 a. *καὶ νῦν ὑπ' ἀμφοτέρων*: μετὰ αὐλῶν καὶ **BCDEQ** λύρας. b. ἡ δὲ ὑπό ἀντὶ τῆς μετά· καὶ Ὅμηρος (Σ 492)· δαΐδων ὑπὸ λαμπομενάων. c. κατῆλθον οὖν ἀπὸ Θήβης **BCDQ** εἰς τὴν Ῥόδον, εἰς τὴν τοῦ νικηφόρου πατρίδα.

24 a. *τὰν ποντίαν*: διὰ τὸ εἶναι αὐτὴν νῆσον, διὰ **A** τοῦτο ποντίαν εἶπε. b. *κατέβαν δέ*, κατῆλθον ἀπὸ Θήβης ἐπὶ τὴν Ῥόδον, ὑμνῶν αὐτὴν μετὰ αὐλῶν καὶ κιθάρας.

24 c. *τὰν ποντίαν ὑμνέων παῖδ' Ἀφροδίτας*: σύν- **BCDEQ** ηθες τῷ Πινδάρῳ τὰ τῶν Νηρηίδων ὀνόματα κατὰ τῶν πόλεων τῶν ὁμωνύμως λεγομένων τάττειν, καὶ τοὔμπαλιν· ἔστι δὲ ὅτε καὶ συμπλέκειν, ὥσπερ καὶ νῦν. ⟨παῖδα⟩ Ἀφροδίτης μὲν γὰρ λέγει τὴν ἡρωίδα· ὅτι δὲ ποντίαν ὀνομάζει, τὴν νῆσον βούλεται δηλοῦν. ἐὰν δὲ γράφηται *παῖδα Ἀμφιτρίτης*, ὡς Ἀμφιτρίτης αὐτῆς καὶ Ποσειδῶνος οὔσης τῆς Ῥόδου θυγατρός. κατὰ δὲ ταύτην τὴν γραφὴν τὸ ποντία οὐκέτι ἐπὶ τῆς νήσου θετέον, | ἀλλ' ἐπὶ τῆς Ἀμφι- **BCEQ** τρίτης· καὶ γὰρ αὕτη ἐνάλιος δαίμων. d. Ἀσκληπιάδης δέ φησι γενεαλογεῖσθαι τὴν Ῥόδον Ἀφροδίτης καὶ Ἡλίου· τὸν γὰρ Ἥλιον αὐτῆς ἐρασθῆναι καὶ ἐν αὐτῇ τῇ νήσῳ μιγῆναι.

24 e. ἄλλως· *ποντίαν παῖδ' Ἀφροδίτας*: τὴν Ῥόδον. **BCDEQ** διὰ τὸ εἶναι δὲ νῆσον ποντίαν εἶπεν. c. οὐχ ὥς τινες

---

1 cfr. EM 345, 17 4 sch. A Σ 492

---

1 *τῶν αὐλῶν* **Cv** *τοῦ αὐλοῦ* **Q** 4 *δὲ* om. **D** || *καὶ* om. **DEQ** 5 *δαίδ'* **DE** || sch. 23c *κατέβαν* praem. **C** (cfr. 8) 6 *εἰς* om. **CQb** 7 *ποτίαν* 8 *ποτίαν* **A**[ac] 9 *ὑμνεῖν* 10 l. **BE**: *ὑμν. π. Ἀ.* **C** *τὰν π. ὑ.* **D** *τὰν π.* **Q** 12 *πόλεων*] *π. καὶ* **E** || *ὁμωνύμων* **CDE** 13 *συμπλέκειν* **B**: *συμπλέκουσιν* || *παῖδα* addidi 13. 14 *Ἀφροδίτην* **BCQ** 14 *μὲν γὰρ* **BEQ**: *δὲ* **CD** 15 *δὲ* om. **B** || *γράφηται* **BCDE**: *γράφῃ τὴν* **DQv** 15. 16 *Ἀμφιτρίτης* (pr.)] *Ἀφροδίτης* **DQ**[ac] 16 *καὶ* om. **E** 18. 19 *Ἀφροδίτης* **E** 20 *Ἀμφιτρίτης* **Qv** 21 *ἐν* om. **CE** 22 *συμμιγῆναι* **Bv** 23 *παῖδ' Ἀφρ.* om. **CDQv** 24 *δὲ* om. **B(C)v** || *ποντίαν εἶπεν* om. **Cv**

ἠβουλήθησαν, ἐξ Ἡλίου καὶ Ἀφροδίτης τὴν νύμφην γεγενῆσθαι· ἐναντίον γὰρ τὸ ἐπαγόμενον Ἀελίοιό τε νύμφαν· ἀλλ' ἀκουστέον τὴν Ῥόδον Ἀφροδίτης παῖδα διὰ τὸ ἀνθηρὸν καὶ χαριέστατον, νύμφην δὲ Ἡλίου. λέγεται γὰρ θεασάμενος τὴν νύμφην καὶ ἐρασθεὶς, εἶτα ἁρπάσας ἐν τῇ ὁμωνύμῳ νήσῳ συγγενέσθαι· ἵνα τὸ μὲν ποντίαν παῖδ' Ἀφροδίτας ἐπ' αὐτῆς τῆς νήσου λάβωμεν, τὸ δὲ Ἀελίοιό τε νύμφαν ἐπ' αὐτῆς τῆς ἡρωίδος ἀκούσωμεν.

BCEQ 24 f. παῖδ' Ἀφροδίτης εἶπε τὴν Ῥόδον διὰ τὸ κάλλος τῆς νήσου. Ἡρόφιλος δὲ Ποσειδῶνος καὶ Ἀφροδίτης τὴν Ῥόδον εἶναί φησι, Ἐπιμένιδης (FHG IV, 404) δὲ αὐτὴν Ὠκεανοῦ γενεαλογεῖ· ἀφ' ἧς τὴν πόλιν ὠνομάσθαι. τινὲς δὲ αὐτήν φασι κληθῆναι οὕτω διὰ τὸ σπουδαῖα ἔχειν ῥόδα· οἱ δὲ διὰ τὸ ῥοώδη εἶναι τὰ περὶ αὐτήν.

BEQ 24 g. ἄλλως· ὅτι Ἀφροδίτης φησὶ γενέσθαι Ῥόδον θυγατέρα, ἀφ' ἧς κληθῆναι τὴν νῆσον, Ἡλίου δὲ νύμφην.
h. Ἡλίου καὶ Ῥόδης ἐγένοντο παῖδες ἑπτὰ καὶ θυγάτηρ Ἠλεκτρυώνη. 28ᵃ Q

A 25. *Ἀφροδίτας*: Ποσειδῶνος καὶ Ἀφροδίτης Ἡρόδωρος γενεαλογεῖ παρ' Ἡροφίλῳ, οἱ δὲ Ποσειδῶνος καὶ Ἀμφιτρίτης. οἱ δὲ ὅτι εὐπρεπὴς ἡ Ῥόδος διὰ τὸ κάλλος.

A 26. *Ἀελίοιό τε*: Ἥλιος ἰδὼν αὐτὴν ἥρπασε καὶ ἐμίγη αὐτῇ ἐν τῇ ἀπ' αὐτῆς κληθείσῃ Ῥόδῳ. 17

A 27 a. *εὐθυμάχαν*: ἤτοι μὴ ἐπιστρεφόμενον ἐν τῷ

---

14 EM 705, 5    20 Apollod. 1, 4, 6

---

1 ἐβουλ. D[ac]EQ ‖ ἐξ om. Bv ‖ τὴν om. BE ‖ νύμφην] νῆσον E παῖδα Beck   1. 2 γεγεννῆσθαι E[s]v   4 νύμφη E   6 συγγενέσθαι BCQ: συγγεγονέναι DE   8 ἀκούσωμεν — 10 νήσου om. v   9 ἄλλως praem. GQb παῖδ' Ἀφροδίτας Ῥόδον praem. E ‖ εἶπε BCDE(G): τῆς περὶ Qb   10 Ἡρόφιλος — 11 εἶναι om. C   10. 11 (τὴν) Ῥόδον εἶναί φησι EQ: εἶπε τὴν Ῥ. εἶναι Bv   11 αὐτὴν om. v   13 αὐτήν om. Bv   14 ῥοώδη B: ῥοδώδη   15 ἄλλως· ὅτι EOQ: om. B ἄλλως v ‖ φησὶ ego: φασὶ   17 Ῥόδης B[s]EOQ: Ῥόδον B[i]v. Cfr. Apollod. 1, 4, 6. Diod. 5, 55, 5. Tz. ad Lyc. 923. Wilamowitz Herm. 14, 457 sqq.
18 Ἠλεκτρυώνη (E)OQ: Ἠλεκτρυών Bv Ἀλεκτρώνα inscr. Dittenb. syll.[1] 357   20 Ἡροφίλου: ego   24 εὐάμαχον

πυκτεύειν, ἢ ἐπ' εὐθείας ἐρχόμενον ἐν μάχῃ. b. τὸ δὲ πελώριον οὐκ ἀργῶς, ἀλλ' ἐπεὶ τετράπηχυς ἦν καὶ ε' δακτύλων.

27 c. εὐθυμάχαν δὲ τὸν ἐξ εὐθείας ἀγωνιζόμενον. $28^c$ Q B$^{g1}$Q

28 a. πελώριον ἄνδρα: οὐ παρὰ τὸ παρατυγχάνον BCDEQ ἐνεγκωμίασε τὸν ἄνδρα Διαγόραν, ἀλλὰ συμφώνως τοῖς προτέροις οἷς ἐξηγησάμεθα περὶ αὐτοῦ, ὅτι τεσσάρων πηχῶν καὶ πέντε δακτύλων ὁ Διαγόρας. $32^c$ BE 27 Q

28 b. (πελώριον:) τεσσάρων γὰρ ἦν πηχῶν. B$^{g1}$

28 c. παρ' Ἀλφειῷ: ἤγουν ἐν Ὀλυμπίᾳ. B$^{g1}$Q

30. (ἄποινα:) ἀντίδωρα. B$^{g1}$

31 a. ⟨καὶ παρὰ Κασταλίᾳ:⟩ οὐ μόνον γὰρ Ὀλύμπια A ἐνίκησεν, ἀλλὰ καὶ Πύθια· Κασταλία γὰρ κρήνη ἐν Πυθοῖ.

b. παρὰ Κασταλίᾳ: ὡς καὶ Πύθια νικήσαντος τοῦ Διαγόρου.

31 c. παρὰ Κασταλίᾳ: ἐνίκησε γὰρ καὶ Πύθια· ἡ δὲ BCDEQ Κασταλία κρήνη ἐν Πυθῶνι. πρὸς δὲ τοῦτο κοινῶς συναπτέον τὸ στεφανωσάμενον, παρά τε Ἀλφειῷ καὶ Κασταλίᾳ. 36 B $32^e$ CDQ 34 E

32 a. ⟨Δαμάγητον:⟩ τὸν τοῦ Διαγόρου πατέρα. A

b. ⟨ἀδόντα⟩ δίκᾳ: ἀντὶ τοῦ δίκαιον ὄντα.

32 c. πατέρα τε Δαμάγητον ἀδόντα δίκᾳ: ἀρέ- BCDEQ σαντα τῇ δικαιοσύνῃ, ἀντὶ τοῦ δίκαιον. 34 C d. ὁ δὲ νοῦς BDEQ ὅλος οὕτως ἔχει· κἀγὼ τοίνυν ἐπὶ τοῦ παρόντος σὺν ἀμφοτέροις ἦλθον, τῇ τε λύρᾳ καὶ τοῖς αὐλοῖς, ὥστε ἅμα τῷ νικητῇ Διαγόρᾳ τὴν τοῦ Ἡλίου μὲν νύμφην, Ἀφροδίτης δὲ παῖδα Ῥόδον ὑμνῆσαι, ὅπως τοῦτον τὸν εὐθύμαχον ἄνδρα τὸν Διαγόραν τὸν πελώριον καὶ μέγιστον, τὸν παρὰ τῷ

---

6 ἐνεγκωμίασε BDĜQ: ἐγκ. (C)E ἐνεκ. b   6. 7 τοῖς προτέροις om. v   10 ἐν Ἀλφ. OQ   12 l. addidi   13 κρήνη ego ex V: ἐκρίθη   20 sq. sic A: δίκα: ἀντὶ τοῦ δίκαιον τὸν τοῦ Δ. πατέρα ὄντα. In duas glossas dispescui, lemmata supplevi   22 πατέρα τε Δ. om. CDv ‖ τε om. E ‖ ἀδόντα v: ἄδοντα (ἀδόντα C) ‖ δίκῃ CD   22. 23 ἀρέσκοντα Q   23 ἀντὶ τοῦ om. v ‖ δίκαιον καὶ εὐσεβῆ C   24 ὅλος — ἔχει om. v   24. 25 ἀμφοτέρῳ Q[1]   25 τῷ αὐλῷ Q   αὐλοῖς v (om. τοῖς)   27 (εὐθύμαχον et G)   28 καὶ μέγιστον om. v ‖ παρὰ τῷ Ἀ. om. D

Ἀλφειῷ ἐν τῇ Ὀλυμπίᾳ στεφθέντα, διὰ τὴν πυγμὴν τοῖς ὕμνοις ὡς ἀποίνοις καὶ δώροις ὑμνήσω, στεφθέντα δὲ καὶ παρὰ τῇ Κασταλίᾳ τῇ ἐν Πυθοῖ· αἰνέσω δὲ καὶ τὸν πατέρα αὐτοῦ [Διαγόρα] τὸν Δαμάγητον, τὸν ἀρέσκοντα τῇ δίκῃ, τὸν ὅσιον καὶ εὐσεβῆ. 35$^{a}$ DQ

BCDEQ 32 e. πατέρα τε Δαμάγητον: τὸν τοῦ Διαγόρου.
BDEQ πάλιν δὲ τούτῳ κοινῶς συναπτέον τὸ αἰνέσω, | πατέρα τε Δαμάγητον πελώριόν τε ἄνδρα. 35$^{a}$BC 32$^{c}$DQ 35$^{d}$E

B$^{gl}$ 32 f. (ἁδόντα:) ἀρέσαντα.

A 33 a. Ἀσίας εὐρυχώρου: τινὲς τὴν Ῥόδον φασὶ κεῖσθαι καταντικρὺ τῶν Χελιδονίων νήσων, αἵ εἰσιν ἐπὶ τῆς Λυκίας. οἱ δὲ τὸν Κάρμηλον. Θεότιμος (FHG IV, 517) δὲ ἐν . . . τῶν περὶ τοῦ Νείλου ὅρου ἱστοριῶν διὰ τοῦ ῡ γράφει εὔβολον, καὶ οὕτως προσαγορεύεσθαι διὰ τὸ ἐν καλῷ τόπῳ κεῖσθαι τὴν νῆσον· καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ φαμὲν εὐβόλως διακεῖσθαι τὰ πράγματα ὅταν ᾖ καλῶς διακείμενα· ὥστε τὴν μεταφορὰν ἀπὸ τῶν ἁλιέων εἶναι. b. ἢ ὅτι ἐν ἐξέχοντι τόπῳ κεῖται. c. ἢ ὥσπερ τριήρει οὖσα ὁμοία καὶ Ἀσίας εὐρυχώρου πέλας οὖσα.

A 34 a. τρίπολιν νᾶσον: τὴν Ῥόδον κατὰ τρεῖς πόλεις ᾤκουν, ὥς φησιν ὁ ποιητής (B 655)·

οἳ Ῥόδον ἀμφενέμοντο διάτριχα κοσμηθέντες,
Λίνδον Ἰηλυσόν τε καὶ ἀργιόεντα Κάμιρον.

Δίδυμος δέ φησι καὶ τετάρτην εἶναι πόλιν τὴν νῦν Ἀχαΐαν καλουμένην.

---

1 στεφανωθέντα D 2 ὡς om. DE ‖ στεφανωθέντα Dv 3 ἐν] εὐ E 4 αὐτοῦ G (om. Διαγόρα): αὐτοῦ (τὸν) Διαγόραν BEQ τοῦ αὐτοῦ Διαγόρου D αὐτοῦ τοῦ Διαγόρα cj. Beck 5 ὅσον E 6 Διαγόρα Q$^{pc}$b 7 τούτῳ G$^{pc}$Q$^{pc}$b: τοῦτο (οὕτω C) ‖ τὸ CDEGQ: τῷ B 7. 8 πατέρα τε Δ. om. D ‖ πελ. τε ἄνδρα π. τε Δαμ. E 10 φησι: b 11 κατ' ἄντικρυ 12 τοῦ Καρμήλου? 13 ἐν τ(ῶν?) A: lac. ind. Schroeder (ἐν τῷ . . . ⟨τῶν⟩) ἐν τῷ b ἐν τῷ περὶ τοῦ Ν. παριστορῶν Müller FHG l. l. — Ft. τῶν Νείλου ὅρων ‖ ῡ b: μ̄ A ν̄ Mommsen suppl. p. 70, servato mox ἔμβολον 14 ἔμβολον: b 16 εὐβόλως ego (εὔβολον b): ἐμβόλ(ως) A ἔμβολα Mommsen ibid. ‖ τὸ πρᾶγμα b ‖ ᾖ b: ἢ ‖ διακείμενα Mommsen ibid. (διακείμενον b): διακειμένοις 22 ἀμφενέμοντα 24 ἀχαιῶν: Wilamowitz Herm. 14, 457 n. 3

34 b. *τρίπολιν νᾶσον*: τὴν Ῥόδον· ὡς Ὅμηρος (l. c.)· BCDEQ
οἳ Ῥόδον ἀμφενέμοντο διάτριχα κοσμηθέντες,
Λίνδον Ἰηλυσόν τε καὶ ἀργινόεντα Κάμειρον.
ἔκγονοι δὲ Ἡλίου ἀφ' ὧν αἱ πόλεις ὠνομάσθησαν· Λίνδος, Ἰηλυσός, Κάμειρος, παῖδες Κερκάφου τοῦ Ἡλίου καὶ Κυδίππης τῆς Ὀχίμου θυγατρός. $35^{d}$BC 36D $35^{b}$E e. ἄλλως· HQ τρίπολιν εἶπε τὴν Ῥόδον διὰ τὸ ἔχειν τρεῖς πόλεις, Λίνδον, Ἰηλυσὸν καὶ Κάμειρον. $35^{d}$

35 a. *Ἀσίας ἐμβόλῳ*: τούτους δὲ ὑμνήσω τοὺς τὴν BCDEQ τρίπολιν νῆσον οἰκοῦντας Ῥόδον, τὴν οὖσαν πλησίον τοῦ ἐμβόλου τῆς εὐρυχώρου Ἀσίας. ἔμβολος δὲ Ἀσίας ἡ Λυκία, διὰ τὸ οὕτω παρατετάσθαι τὴν γῆν ὡσεὶ πόλεως ἔμβολον ἢ τριήρους. ἔμβολα γὰρ τὰ τῶν πλοίων ὀξέα, ἃ δὴ καὶ σιμώματα καλοῦσιν. $35^{c}$CDQ 36E

35 b. [*Ἀσίας ἐμβόλῳ*:] δύναται καὶ ἑτέρως ἑρμηνεύεσθαι τὸ πέλας ἐμβόλῳ ναίοντας. ἡ γὰρ Ῥόδος ἀντικρὺ μὲν κεῖται τῆς Λυκίας καὶ πλησίον· ἐν Λυκίᾳ δέ ἐστι πόλις Ἀρύκανδα λεγομένη, ἧς πλησίον ἱερόν τι χωρίον, ὃ πρότερον μὲν Ἔμβολος ἐκαλεῖτο | διὰ τὴν θέσιν τοῦ χωρίου· BCEQ ἐκ γὰρ πολλῶν καὶ πλατέων τῶν παρακειμένων πετρῶν εἰς ὀξὺ λήγει μέρος ἡ χώρα· | νῦν δὲ προσονομάζεται Τριήρης BCDEQ ἀπὸ τῆς αὐτῆς αἰτίας, ἐπεὶ ὥσπερ πλοίῳ προσέοικεν ἡ θέσις

---

4 Strab. 14, 654. Diod. 5, 57. St. Byz. *Λίνδος. Κάμιρος.* Eust. Il. 315, 28. Tzetzes ad Lyc. 923. 11 Eust. Od. 1405, 20. 48 sq.

---

1 *νῆσον* CE ‖ *ὡς* — 3 *Κάμειρον* om. D 3 *Ἰηλισόν* $CQ^{pc}$ ‖ *Κάβειρον* B 4 *ἔκγονοι* BQ Tzetzes: ///////*νοι* D (ras.) *ἔγγονοι* C *ἔκτον* E 5 *Ἰηλισὸς* CQ ‖ *Κάβειρος* B ‖ *Κεκάρφου* E 5. 6 *Λυσίππης* Eust. 6 *Ἐχίμου* E 8 *Ἰηλισὸν* Q 9 *ἐμβόλῳ* DE: *εὐρυχώρου* BC *εὐρυχόροιο* Q 11 *εὐρυχόρου* Q om. C 11—14 cfr. Thom. 251, 7 11 *ἔμβολος* BE: *ἐμβολὴ* CD *ἔμβολον* Qb 12 *πόλεως* corruptum? 13 *ἔμβολα*] *ἔμβολοι* $B^{a}$ 14 *σιμώματα* BQ: *σιμώτατα* CD *σινώματα* E 15 l. om. CD et (add. *ἄλλως*) Q: *Ἀσίας ἐμβόλῳ* E *Ἀσίας εὐρυχώρου* (ft. -*χόρου* a. c.) B ‖ *δύνανται* E 16 *πέλας*] *πέλαγος* B ‖ *ἐμβόλου* DQv ‖ *ἡ*] *καὶ* Bv 18 *Ἀρυκάνδα* DE ‖ *λεγομένη*] *καλουμένη* Bv ‖ *ὃ*] *ὅπερ* E 19 *μὲν* om. CE 20 *πέτρων* b 22 *ἀπὸ* — *αἰτίας* om. D ‖ *ὥσπερ* om. v

BCEQ τοῦ τόπου. | ἐπεὶ οὖν μάλιστα ἐν τούτῳ τῷ τόπῳ θρησκευ-




τήριόν ἐστιν Ἡλίου, Ῥόδιοι δὲ ἐξ Ἡλίου, διὰ τοῦτο ὡς οἰκειοτέρου καὶ προσφόρου μέμνηται τοῦ τόπου. δύναται δὲ καὶ ἀπὸ τῆς ἐκ μέρους περιφράσεως νοεῖσθαι τῇ τῆς Λυκίας CDEQ[ab] πλησίον ὑπαρχούσῃ. 34 BD 32[c] C 35[a] E c. σημείωσαι ὅτι εἰς Ῥόδον τόπος ἐστὶν ἀποτείνων εἰς ὀξὺ κατὰ Λυκίαν ἐμβόλῳ παραπλήσιος. 35[b] CDQ[a] 31 E 34 Q[b]

BCEQ 35 d. Ἀργείᾳ σὺν αἰχμᾷ: σὺν πλήθει Ἀργείων ναίοντας· διὰ τοὺς κατελθόντας σὺν Τληπολέμῳ. 31 B 35[c] E

ABCDEQ 36 a. ἐθελήσω τοῖσιν ἐξ ἀρχᾶς: ἐθελήσω, φησὶ, τοῖς Ἡρακλείδαις, τοῖς ἀπὸ Τληπολέμου Ῥοδίοις, κοινὸν ἐξ ἀρχῆς διορθῶσαι λόγον, τουτέστιν ἀκριβῶσαι καὶ διασημῆναι. BCDEQ b. τρεῖς ἀμφιβολίας ἔχει· ἤτοι γὰρ καθόλου πάντων ἀνθρώπων κοινὸν λόγον, ἢ αὐτῶν τῶν Ῥοδίων, ἢ ἔξωθεν ληπτέον τὸ ὥς, ἵνα ᾖ· ὥστε ξυνῶσαι καὶ πᾶσιν ἀνθρώποις εἰς μέσον ἀγαγεῖν.

BCEQ 36 c. ἐθελήσω τοῖσιν ἐξ ἀρχᾶς ἀπὸ Τλαπολέμου: βούλομαι οὖν τοῖς ἐξ ἀρχῆς οὖσιν ἀπὸ Τληπολέμου Ῥοδίοις κοινόν τινα καὶ προσήκοντα λόγον εἰπεῖν καὶ διακριβῶσαι· οἵτινές εἰσι Τληπολεμίδαι οἱ Ῥόδιοι ἐκ τῆς τοῦ Ηρακλέος γέννης. βούλεται δὲ τῆς τοῦ Τληπολέμου φυγῆς ὑπεραπο-BCDEQ λογήσασθαι. ὁ γὰρ | Τληπόλεμος Λικύμνιον τὸν Ἠλεκτρύ-

1 τόπου] πόθου E || figuram adpictam hab. BEG
3 προσφόρου CE(Q): προσφορωτέρου Bv 4 ἐκ τῆς ἀπὸ μέρους?
5—7 cfr. Thom. 251, 10 5 σημείωσαι] τὸ δὲ σημεῖον Q[b]
8 Ἀργείᾳ] Ἀργείων E 10 τοῖσιν] τοίνυν D || ἐξ ἀρχᾶς BE: om.
12 ἀρχᾶς E || λόγον διορθῶσαι V || τουτέστιν A: ὅ ἐστιν V
14 λόγον κοινὸν Bv 15 τὸ om. E || ὥστε om. E 17 l.] ἄλλως C ἄλλως· ἐθ. τ. ἐξ ἀρχῆς Q || Τληπ. E 18 Ῥοδίου E[ex corr.]
20 οἱ Ῥόδιοι ἐκ om. C 20. 21 Ἡρακλέους γένους Q
22—p. 209, 7 cfr. Thom. 254, 14 22 Τριπόλ. E || Ἠλεκτρύονος D Ἠλεκτρύωνα (corr. ex -ος) E

ωνος παῖδα νόθον, ὃς ἐγένετο ἐκ Μιδέας Φρυγίας τινὸς
γυναικός, ἀφ' ἧς καὶ ἡ πόλις κέκληται, ἐλαΐνῳ σκυτάλῳ
πλήξας ἄκων ἀναιρεῖ· | ἐπὶ γὰρ βοῦν βουλόμενος ἀκοντίσαι **BCEQ**
τὸ σκύταλον ἔρριψε κατὰ τοῦ Λικυμνίου. | ἀποφεύγοντι **BCDEQ**
οὖν τὸ μύσος τοῦ φόνου καὶ χρηστηριαζομένῳ τῷ Τληπο-
λέμῳ ἀνεῖλε τὸ λόγιον ἀποικίσαι τὸ Ἄργος καὶ εἰς τὴν
Ῥόδον ἐλθεῖν. τούτοις καὶ Ὅμηρος μαρτυρεῖ (Β 661)·

> Τληπόλεμος δ' ἐπεὶ οὖν τράφη ἐν μεγάρῳ ἐυπήκτῳ,
> αὐτίκα πατρὸς ἑοῖο φίλον μήτρωα κατέκτα.

λέγεται δὲ κατὰ τὴν βασιλείαν Τληπολέμου μάλιστα εὐδαι-
μονῆσαι Ῥοδίους, ὡς καὶ Ὅμηρος μαρτυρεῖ (Β 670)·

> καί σφιν θεσπέσιον πλοῦτον κατέχευε Κρονίων.

ἔστι δὲ αὐτοῦ ἱερὸν καὶ τάφος ἐν Ῥόδῳ· | οἱ γὰρ συστρα- **BDEQ**
τευσάμενοι αὐτῷ διήγαγον τὰ ὀστᾶ ἀπὸ τῆς Ἰλίου εἰς τὴν
Ῥόδον, οὐκ εὖ ἔχειν κρίναντες τὸ ἄνευ τοῦ βασιλέως ἐπι-
νοστῆσαι τῇ πατρίδι. τελεῖται δὲ καὶ ἀγὼν ἐπιτάφιος ἐν
τῇ πόλει Τληπολέμου, κατὰ δὲ ἑτέρους ἱερὸς Ἡλίῳ· ἀγωνί-
ζονται δὲ παίδων ἡλικίαι καὶ στέφονται ἐκ λεύκης.

37. ἀπὸ Τλαπολέμου: ἐπεὶ ὁ Τληπόλεμος φυγὼν ἐξ **A**
Ἄργους διὰ τὸν Λικυμνίου τοῦ μήτρωος φόνον ἀπῄει μετὰ
νεῶν καὶ κατὰ χρησμὸν ᾤκισε Ῥόδον. Ὅμηρος (l. c.)·

---

13—18 Tzetzes ad Lyc. 911: ἐν δὲ ταῖς Πινδάρου ἱστορίαις εὗρον ὅτι οἱ τοῦ Τληπολέμου ἀπεσώθησαν εἰς Ῥόδον τὴν αὐτῶν πατρίδα· καὶ ἡ γυνὴ Τληπολέμου Φιλοζώη (Πολυξὼ cj. Stiehle Philol. VIII 59 n. 49) μεγάλα δακρύσασα ἀγῶνας ἐπὶ τῷ τάφῳ τοῦ ἀνδρὸς ἔθετο, καὶ παῖδες ἠγωνίζοντο, καὶ οἱ νικῶντες λεύκης φύλλοις ἐστέφοντο. Cfr. sch. 147 c.

---

1 Μηδείας **DQ**ac Μιδείας **C** 4 σκυτάλιον **v** ‖ τοῦ] τὸν **E** 5 τὸ μύσος τοῦ φ. om. **CD** ‖ μῦσος **BEQv**: **h** 8 δ' om. **BDEQ** ‖ δὲ οὖν ἐπεὶ **C** 9 μητρῷα **D**: πατέρα **BCEGQ** 12 σφι **BQ** 13—18 cfr. Thom. 272, 17 14 τὰ] αὐτ(οῦ) τὰ **D** 15 οὐκ — 16 πατρίδι om. **D** 15. 16 ἐπινοστῆσαι τῇ πατρίδι **EGQ**: παλινοστῆσαι (παλιννοστ. Beck) εἰς τὴν πατρίδα **Bv** 16 ἐν — 17 Ἡλίῳ om. **D** 16 ἐν om. **B** 17 Τληπολέμῳ **Bv** ‖ ἱερὸν **E** 20 μήτρωα: ego 21 ᾤκισε ego, Schroeder: ᾤκησε ‖ Ὅμηρος ego: ὁ μέγας

*Τληπόλεμος δ' ἐπεὶ οὖν τράφεν ἐν μεγάρῳ ἐυπήκτῳ,*
*αὐτίκα πατρὸς ἑοῖο φίλον μήτρωα κατέκτα*
*ἤδη γηράσκοντα Λικύμνιον, ὄζον Ἄρηος.*

διὸ καὶ ἔφυγεν.

A 38 a. ξυνόν: κοινῶς πᾶσι διηγήσασθαι. b. ὥστε ποιῆσαι κοινὸν πᾶσι καὶ εἰς πάντας ἀγαγεῖν.

A 39. Ἡρακλέος: τοῖς Ῥοδίοις, ἀπὸ Τληπολέμου Ἡρακλείδαις οὖσιν.

BCDEQ 40. εὐρυσθενεῖ γέννᾳ: παρόσον ἐκ μὲν Ἡρακλέος Τληπόλεμος, ἐκ δὲ Τληπολέμου Ῥόδιοι εἰσιν. 43 E

B^gl 41 a. (ἐκ Διός:) Διὸς Ἡρακλῆς· οὗ Τληπόλεμος.

A 41 b. εὔχονται: Ἡρακλῆς γὰρ Διός, τοῦ δὲ Τληπόλεμος, ὃς Ῥόδον ᾤκησεν. c. εὔχονται δὲ ἀντὶ τοῦ καυχῶνται.

BCDEQ 42 a. τὸ δ' Ἀμυντορίδαι ματρόθεν: ἐναντίως τῷ ποιητῇ τὰ περὶ τῆς μητρὸς Τληπολέμου ἱστορεῖ ὁ Πίνδαρος. Ὅμηρος μὲν γὰρ αὐτὴν Ἀστυόχην ἀποκαλεῖ καὶ Ἄκτορος εἶναι θυγατέρα βούλεται ἐν οἷς φησιν (B 658)· ὃν τέκεν
BCEQ Ἀστυόχεια. | ἔοικε δὲ ὁ Πίνδαρος ἐντετυχηκέναι τῷ Ἀχαιῷ ἱστοριογράφῳ (FHG IV, 286)· ἐκεῖνος γὰρ οὕτως γενεαλογεῖ· Ὑπερόχης Εὐρύπυλος· οὗ Ὄρμενος· οὗ Φέρης· οὗ Ἀμύντωρ· οὗ Ἀστυδάμεια ἡ Τληπολέμου μήτηρ. καὶ αὐτὸς δὲ Ἀμύντωρ εἰς Δία τὸ γένος ἀνάγει· ἔνιοι δὲ καὶ υἱὸν Ἀμύντορα τοῦ Διὸς εἶναι λέγουσιν. 46e E

A 42 b. Ἀστυδαμείας: Ὅμηρος ταύτην Ἀστυόχην φησίν, οὐκ Ἀστυδάμειαν. εἰκὸς δὲ τὸν Πίνδαρον ἀπαντῆσαι ταύτῃ τῇ γραφῇ (B 658)·

ὃν τέκεν Ἀστυδάμεια βίῃ Ἡρακληείῃ.

καὶ Ἡσίοδος δὲ (fr. 134 Rz.) Ἀστυδάμειαν αὐτήν φησι, Φερεκύδης δὲ (FHG I, 82) Ἀστυγένειαν. ἦν δὲ Φύλαντος

---

1 δ']: A ‖ ἐν] ἐνὶ 6 ποιήσειν: ego ‖ κοινὸν ego: κοινῶς 9 παρόσον om. D 13 ᾤκισεν? 16 μὲν om. E ‖ ἀποκαλεῖ CE: ἀποκαλῶν 17 ὤλεται E 18 τῷ Ἀχαιῷ BEQ: τῷ παλαιῷ C ⟨Ἀκουσιλάῳ⟩ τῷ ἀρχαίῳ cj. b τῷ Ἀργείῳ ἱστ. cj. Müller FHG l. l. Αὐτεσίωνι τῷ ἀρχ. ἱστ. Bergk N. Jahrbb. 117 (1878), 39 19 οὕτως CEQ: οὗτος B 20 Ὑπερόχου Ev Ὑπερόχη C 22. 23 Ἀμύντορα υἱὸν E 23 λέγουσιν εἶναι EQ 24 Ἀστυδάμ(εια) 27 Ἀστυόχεια: b ‖ Ἡρακλείη

θυγάτηρ· τινὲς δὲ ἐξ Ἀντιγόνης αὐτῷ Τληπόλεμόν φασιν· ἐνταῦθα δὲ Ἀμύντορος αὐτήν φησιν ὁ Πίνδαρος, Ἡσίοδος δὲ (l. l.) καὶ Σιμωνίδης Ὀρμένου. εἰκὸς δὲ ὅτι ὁ Πίνδαρος παρὰ τῶν κατὰ τὴν πόλιν λογίων ἤκουσεν Ἀμυντορίδας εἶναι Ῥοδίους μητρόθεν.

43. ἀμφὶ δ' ἀνθρώπων φρασίν: ὑπεραπολογεῖται BCDEQ τοῦ φόνου ὃν δέδρακεν ὁ Τληπόλεμος, καί φησι· περὶ τὰς τῶν ἀνθρώπων φρένας μυρίαι καὶ ἀναρίθμητοι ἁμαρτίαι ἀπήρτηνται.

46 a. τοῦτο δ' ἀμήχανον: ἀμήχανον δέ ἐστι τοῦτο A εὑρεῖν καὶ προγνῶναι, ὅπερ νῦν τε καὶ κατὰ τὸ παρὸν δυστύχημα φερόμενον πρὸς τὸ τέλος λυσιτελήσει. καὶ τοὐναντίον βούλεται λέγειν, ὅτι τῷ Τληπολέμῳ τὸ κατὰ φύσιν δυστύχημα εἰς ἀγαθὸν ἀπέβη, Ῥόδον οἰκήσαντι καὶ βασιλείας καὶ τιμῆς ἀξιωθέντι. b. ἄλλως· ἀδύνατόν ἐστι τοῦτο εὑρεῖν τὸ περιτυχεῖν ἀνδρὶ καὶ γνῶναι τὸ φέρτατον. c. ἀντὶ τοῦ τὸ ἀποβησόμενον ἀφ' οὗ τις γεννηθῇ μέχρι τέλους.

46 d. τοῦτο δ' ἀμήχανον: καὶ τὸ τοιοῦτον γνῶναι B(C)DEQ ἀδύνατόν ἐστι· τὸ ποῖον; ὁποῖόν τε νῦν καὶ ἐπὶ τοῦ παρόντος βέλτιστόν ἐστι καὶ ἐν ὑστέρῳ· οἷον εἰ καὶ ἐν τῇ τελευτῇ ἕξει τις καλόν. ἡ δὲ ἀπότασις πρὸς τὸν Τληπόλεμον. 42E

46 e. τοῦτο δ' ἀμάχανον εὑρεῖν: τὴν παροῦσαν καὶ B(C)EQ τὴν μέλλουσαν εὐδαιμονίαν ἀμήχανόν ἐστιν εὑρεῖν. ὁ γὰρ Τληπόλεμος | ἐν ἀρχῇ ἀτυχήσας ὕστερον ἐβασίλευσε τῆς B(C)DEQ Ῥόδου.

48. (τυχεῖν:) συμβῆναι. B^gl

49 a. καὶ γὰρ Ἀλκμήνας: Ἀλκμήνης ἀδελφὸν νόθον A

---

27—p. 212, 5 Apollod. 2, 4, 4. Tzetzes ad Lyc. 932

---

3 Ὀρμένου Bergk PL⁴ III 529 Ὀρμενοῦ Mommsen suppl. p. 72: Ὁρμενοῦ A || εἰκὸς δὲ] Ἀριστόνικος δὲ Bergk N. Jhbb. 117 (1878), 39 5 ματρόθεν: b 6 φρασίν B: φρεσίν DE om. CQv 7 περὶ CQ: παρὰ BEGv om. D 8 καὶ ἀναρ. om. C 12 λυσιτελῆσαι: b 15 sq. corrupta 18 sqq. sch. 46 d et e in unum contraxit C 18 l.] om. D τοῦτο δ' ἀμάχανον εὑρεῖν Q || τοιοῦτο B 22 ἄλλως praem. Q || ἀμήχανον B 27 Ἀλκμ(ήνας) in l. A

*Λικύμνιον ἐκ Φρυγίας Μιδέας †γενομένης γενόμενον Ἠλεκτρύωνι· ἀφ' ἧς καὶ πόλις Μιδέα ἐν Ἄργει· ὃν ἀνεῖλεν ὁ Τληπόλεμος. οἱ γὰρ γνήσιοι παῖδες Ἠλεκτρύωνος ἀπὸ Λυσιδίκης ἐγένοντο ἕξ· Γοργοφόνος, Στρατοβάτης, Φυλονόμος, Κελαινεύς, Ἀμφίμαχος, Δηίμαχος. αἰτία δὲ τῆς ἀναιρέσεως ἐγένετο περί τινων τιμῶν· οἱ δὲ περὶ Ἀγίαν καὶ Δερκύλον* (FHG IV, 386) *φασὶν ἀκούσιον τὸν φόνον γενέσθαι.*

BCDEQ 49 b. *καὶ γὰρ Ἀλκμήνας νόθον: καὶ γὰρ τὸν Ἀλκμήνης νόθον ἀδελφὸν Λικύμνιον ῥοπάλῳ ἐλαίας τύπτων ἀπέκτεινεν ἐν τῇ Τίρυνθι παραγενόμενον ἐκ τῆς οἰκίας τῆς ἑαυτοῦ μητρὸς Μιδέας ὁ Τληπόλεμος ὁ παλαιὸς οἰκιστὴρ τῆς χώρας. πῶς δὲ νόθος ἀδελφὸς Λικύμνιος Ἀλκμήνης; Ἀλκμήνη μὲν ἐξ Ἠλεκτρύωνος καὶ Λυσιδίκης τῆς Πέλοπος θυγατρὸς γνησίας γυναικός· Λικύμνιος δὲ ἐξ Ἠλεκτρύωνος καὶ Μιδέας γυναικὸς Φρυγίας τὸ γένος.*

A 50. *νόθον: ἀκουσίως αὐτόν φασιν ἀνῃρηκέναι. νόθον δὲ εἶπεν ὅτι ἐκ Μιδέας τῆς παλλακίδος ἦν, Ἀλκμήνη δὲ καὶ οἱ αὐτῆς ἀδελφοὶ ἐκ Λυσιδίκης.*

B[gl]Q 51. *σκληρᾶς ἐλαίας: ἀπεσκληκότι ξύλῳ καὶ ῥοπάλῳ ἐλαΐνῳ.*

BCDEQ 52 a. *ἐλθόντ' ἐκ θαλάμων: παραγενόμενον εἰς Ἄργος ἐκ τῶν οἴκων τῆς Μιδέας· ἤτοι τῶν τῆς μητρός, ἢ καὶ τῆς ὁμωνύμου πόλεως· ἔστι δὲ αὕτη τοῦ Ἄργους ἡ πόλις.*

B[gl] 52 b. (*Μιδέας:*) *τῆς μητρός.*

---

4 sch. T *T* 116

---

1 *Φρυγίου* ‖ ft. *γυναικὸς Μιδέας* 3 *Ἠρεκτρύωνος*: **b** 4 *ἐγένετο*: **b** ‖ *Στρατοβάτης* Tzetzes, **b**: *στρατοτώτης* ‖ *Φυλονόμος* Apollod.: *Οὐλονόμος* **A** *Φιλονόμος* **b** (ex Apollod.) 5 *Κελενεύς*: **b** ex Apollod. 6 *Ἀγίαν* scripsi cl. sch. Eur. Tro. 16. Ath. 3, 86 f. Clem. Al. strom. 1, 21: *δερα* (γ supra) **A** *Δεινίαν* **b** ‖ *Δέρκυλλον* **b** 8 *Ἀλκμήνης* **BD** ‖ *νόθον* om. **Qv** 9 *Λικ. ἀδ.* **CD** 10 *παραγενόμενον* **D**(E[cp]?): -*ος* **BCQv** 11 *Μιδέας*] *μ* add. **E²** *Μιδείας* **C** ubique ‖ *οἰκιστὴς* **v** 13 *Ἠλεκτρύωνος* **CD**: *Ἠλ.* **E** *Ἠλεκτρυῶνος* **B**. Item infra 14 ‖ *Λυσινδίκης* **v** ante Beckium 19 *ἀπεσκληκότ(ι) ξύλῳ* **B**: -*τος ξύλου* **Qv** 21 l.] *ἐλθόντα* **CD** ‖ *παραγενόμενος* **v**; om. **C** 23 *αὐτὴ* **E**

53. ἐκ θαλάμων: δύναται ἑκατέρως ἀκούεσθαι· ἔκ τε A τῶν τόπων τῆς πόλεως Μιδέας, καὶ ἐκ τῶν θαλάμων τῆς μητρὸς Μιδέας· ἀφ' ἧς καὶ Ἠλεκτρύωνος [καὶ] Λικύμνιος.

54. χθονὸς οἰκιστὴρ χολωθείς: τῇ δόξῃ ὁ Πίν- BCDEQ δαρος ἕπεται τῶν ἱστορούντων διὰ τιμάς τινας καὶ ἀρχὰς τὸν Τληπόλεμον εἰργάσθαι τὸν φόνον· διὰ γὰρ τοῦ χολωθεὶς τὸ τοιοῦτον ὑποφαίνει.

55 a. αἱ δὲ φρενῶν ταραχαί: γνωμικῶς· αἱ δὲ ἀκρα- BCDEQ τόθυμοι καὶ προπετεῖς ὀργαὶ ἤδη που καὶ τοὺς σοφοὺς διασφάλλεσθαι ποιοῦσι. b. τοῦτο δὲ μέση παρεμβολή. BDEQ

56 a. παρέπλαγξαν: αἱ γὰρ ταραχαὶ καὶ τὸν σοφὸν A παράγουσιν εἰς τὸ πρᾶξαί τι ἄτοπον.

56 b. μαντεύσατο δ' ἐς θεὸν ἐλθών: ὡς οὖν BCDEQ ἀπέκτεινεν ὁ Τληπόλεμος τὸν Λικύμνιον, φεύγων τὸ μύσος εἰς Δελφοὺς ἐλθὼν ἐμαντεύσατο ὅποι χρὴ τραπέσθαι. ὁ τοίνυν Ἀπόλλων ἔχρησεν αὐτῷ ὥστε ἀπὸ τῆς ἀκτῆς τῆς Λερναίας, τουτέστι τοῦ Ἄργους, ἰθύνειν καὶ ὁρμᾶν διὰ πλοίων ἐπὶ τὴν χώραν τῆς νήσου Ῥοδίων.

57. (θεόν:) τὸν Ἀπόλλωνα. B[gl]

59 a. εὐώδεος ἐξ ἀδύτου: τοῦ τεθυμιαμένου ἀδύτου· BDEQ λέγει δὲ τοῦ κατὰ τὴν Πυθῶνα.

59 b. πλόον: πλεῖν ἐκέλευσεν αὐτὸν ἀπὸ τῆς Λερναίας A ἀκτῆς (τουτέστιν ἀπὸ τοῦ Ἄργους· ἡ γὰρ Λέρνη κρήνη καὶ πόλις Ἄργους) εἰς Ῥόδον.

60 a. Λερναίας ἀπ' ἀκτᾶς: τὴν Λέρνην οἱ μὲν λέ- A γουσι κρήνην, οἱ δὲ λοχμῶδες χωρίον· ἐνταῦθα δὲ καὶ Ὕδραν καταδεδυκέναι μυθολογοῦσι. Φερεκύδης δὲ καὶ πόλιν φησίν· οἱ δὲ ἐπίνειον Ἄργους, ἣ νῦν καλεῖται Λάμπεια.

---

1 ἑκατέρων: b 2 Μιδ(έας) 3 Ἠλεκτρύων: b ‖ καὶ seclusi: ὁ b ‖ Λίκυμνος? A 4 l. DE: χθονὸς οἰκ. BQ χολωθείς C 6 εἰργάσασθαι Q ἐργάσασθαι b 8. 9 ἀκρατόθυμοι E: ἀκριτόμυθοι BDQv ἄκριτοι C 10 διασφαλέσθαι D διασφάλεσθαι Q[1] 13 l. BE: μαντεύσατο C μαντεύσατο δ' ἐς θεόν D μ. δ' ἐλθών Q 14 μῦσος BEQv μῖσος C 15 Δελφοὺς B[1]v: θεὸν B[2] θεοὺς CDEQ ‖ ὅποι Bv: ὅπῃ CDE ὅπου Q 18 τῶν Ῥοδ. v 20 ἐξ ἀδύτου om. E ‖ τοῦ] ἐκ τοῦ E ‖ τεθυμιασμ. E 26 λογχμῶδες: V

BCDEQ 60 b. *Λερναίας ἀπ' ἀκτᾶς*: ἀπὸ τοῦ Ἄργους. ἡ γὰρ Λέρνη κατὰ μέν τινας κρήνη, κατὰ δέ τινας λοχμῶδες χωρίον· ἐν ᾗ μυθεύουσι καὶ τὴν Ὕδραν καταδεδυκέναι. φασὶ καὶ τὴν ἄβυσσον κρήνην αὐτόθι εἶναι. ἕτεροι δὲ καὶ πόλιν
BDEQ φασίν. c. ὁ δὲ νοῦς· εὐθῦναι τὴν ναῦν εἰς τὴν νῆσον τὴν Ῥόδον, ἐν ᾗ νήσῳ ὁ βασιλεὺς τῶν θεῶν Ζεὺς χρυσέαις σταγόσι τὴν πόλιν κατέβρεχε καὶ ἐπλουτοποίει τοὺς οἰκήτορας τῆς Ῥόδου.

BCDEQ 61 a. *εὔθυν ἐς ἀμφιθάλασσον*: οἱ μὲν ἀντὶ τοῦ εὐθῦναι, οἱ δὲ ἀντὶ τοῦ εὐθέως. b. *ἀμφιθάλασσον* δὲ τὴν ἑκατέρωθεν θαλάσσῃ περιχεομένην. c. *νομὸν* δὲ τὴν
E[gl] κατανομήν. d. (*εὔθυν'*:) ἤγουν ὀρθὸν ποίησον. γράφεται καὶ εὐθύν.

A 61 e. *ἀμφιθάλασσον*: ἀμφιθάλασσον νομὸν τὴν Ῥόδον, καθὸ νῆσος οὖσα περιείργεται θαλάσσῃ. f. *νομὸν* δέ, κατανέμησιν.

B[gl] 62. (*νομόν*:) κατανομήν.

A 63 a. *βρέχε θεῶν βασιλεύς*: τοῦτο ἐκ τοῦ Ὁμηρικοῦ στίχου τοῦ ἀθετουμένου μετενήνεκται (*B* 670)·

καί σφιν θεσπέσιον πλοῦτον κατέχευε Κρονίων.

ὅτι ἄρα νεφέλην ἐπιστήσας τοῖς Ῥοδίοις χρυσὸν ἔχευε· ἢ ὅτι πολὺν χύδην πλοῦτον αὐτοῖς κατεσκεύασεν, ὁμοίως τῷ (ο 426)·

κούρη δ' εἴμ' Ἀρύβαντος ἐγὼ ῥυδὸν ἀφνειοῖο.

CDEQ 63 b. *βρέχε θεῶν βασιλεὺς ὁ μέγας*: τοῦτο ἐκ τῶν

---

25 sch. A *B* 670. Strab. 14, 655

---

2 λοχνῶδες E 5 εὐθῦναι B εὐθύναι D: εὔθυνον E εὐθύνετε OQ 6 τὴν om. Bv ‖ ποτε varie add. GOQ 7 σταγόσι — 8 Ῥόδου DEQ: καὶ τὰ ἑξῆς Bv 7 μετέβρεχε Q 9 εὐθὺν ἐς E: εὐθῦν' ἐς B εὔθουν ἐς C εὐθυνὲς D εὐθὺν' ἐς (del. apostr.) Q ‖ φιθάλασσον B ἀμφὶ θάλασσαν D 10 εὐθύναι EQ ‖ εὐθέως] εὔθυνε? Mommsen suppl. p. 74 11 ἑκατέρωθεν CDEQv: ἀμφοτέρωθεν BO ‖ περιχεομένην BC: περιεχομένην DEQv ‖ δὲ om. C 12 κατανομήν CDQ: καταμονήν BEG 16 κατὰ νέμησιν 17 καταμονήν 18 βρέχει 20 σφι 24 δ' εἰμ' 25 l. E: ἔνθα ποτέ GQ βρέχε θ. βασ. CDO

Ὁμήρου ὁρμηθεὶς λέγει, ὅτι Ζεὺς χρυσὸν ἔβρεξε τοῖς Ῥοδίοις διὰ τὸ τὸν ποιητὴν εἰρηκέναι (l. c.)·

καί σφιν θεσπέσιον πλοῦτον κατέχευε Κρονίων·

| οὐκ εἰρηκότος Ὁμήρου ὅτι ἔβρεξε χρυσόν, ἀλλὰ περιεποί- EQms ησε χύδην αὐτοῖς τὸν πλοῦτον.

64. χρυσέαις νιφάδεσσι: τοῦτο ἄντικρυς ἐκ τοῦ ἀθε- BDEQ τουμένου Ὁμηρικοῦ στίχου εἴληφεν ὁ Πίνδαρος (l. c.)·

καί σφιν θεσπέσιον πλοῦτον κατέχευε Κρονίων.

65. ἀνίχ' Ἁφαίστου τέχναισι: τὸν καιρὸν καθ' ὃν BCDEQ Ζεὺς ἐν Ῥόδῳ χρυσὸν ὗσε, διὰ τῆς ἱστορίας ἐπισημαίνεται καί φησιν ὅτι | ἡνίκα ὁ Ζεὺς διαιρεθείσης αὐτοῦ τῆς ABCDEQ κεφαλῆς ὑπὸ τοῦ πελέκεως τοῦ Ἡφαίστου ἀνέδωκεν ἐκ τῆς κορυφῆς τὴν Ἀθηνᾶν· ἡ δὲ ἀνορούσασα καὶ ἔκδηλος γενομένη μέγα ἐβόησεν.

66 a. χαλκελάτῳ πελέκει: ἐν τοῖς Μουσαίου Παλα- A μάων λέγεται πλῆξαι τοῦ Διὸς τὴν κεφαλήν, ὅτε τὴν Ἀθηνᾶν ἐγέννα· ἔνιοι δὲ τὸν Προμηθέα λέγουσι· Σωσίβιος δὲ Ἑρμῆν φησι· Ἀριστοκλῆς δὲ νέφει συγκεκρύφθαι τὴν θεόν, τὸν δὲ Δία πλήξαντα τὸ νέφος ἐκφῆναι τὴν θεόν.

66 b. χαλκελάτῳ πελέκει: οἱ μὲν Παλαμάονα λέγουσι CDEHQ ῥῆξαι τὴν τοῦ Διὸς κεφαλὴν ὅτε Ἀθηνᾶ ἐγεννᾶτο· οἱ δὲ Ἑρμῆν· οἱ δὲ Προμηθέα· Ἀριστοκλῆς δὲ ὑφίσταται τὴν

---

15 Philodem. περὶ εὐσεβ. 59  17 Apollod. 1, 3, 6

---

3 σφι Q  4 ὅτι E: ὅτι ὁ Ζεὺς Q  6 ἄλλως praem. Q ‖ χρυσέαισι BD  7 εἴληφεν ὁ] εἵλετο E  8 σφι BD ‖ πλοῦτον — Κρονίων om. D  9 l. hab. et A ‖ ἀνίκ' AE ‖ τέχναι[σι] B τέχναις E: om. ACDQ  10 Ζεὺς] ὁ Ζ. Bv ‖ ὗσε] οἱ δὲ(?) D om. v (ἔβρεχε Beck)  11 ὅτι om. CQ ‖ διακριθείσης A  12 ὑπὸ V: ἀπὸ A ‖ τοῦ (pr.) om. Bv ‖ πελέκυος CD ‖ Ἡφαίστου ABv: Ἡφαιστοτεύκτου  13 κεφαλῆς AE ‖ ἡ δὲ ἀνορούσασα om. CD  14 μέγα AC: μέγιστον ‖ ἀνεβόησεν Q  15 ἐν τοῖς Μουσαίου] κατὰ τὸν Εὔμολπον Philod.?  18 Ἀριστοτέλης: b ex V ‖ συγκεκροῦσθαι: V ‖ τὴν b ex V: τὸν  20 χαλκηλάτῳ DE ‖ Παλαμάονα HOv: Παλαμαίονα CDQ Παλαμαίνα E  22 Ἀρίσταρχος v ‖ δὲ (alt.) DEH: δέ φησιν OQUv

*γένεσιν Ἀθηνᾶς ἐν Κρήτῃ· νέφει γάρ φησι κεκρύφθαι τὴν θεόν, τὸν δὲ Δία πλήξαντα τὸ νέφος προφᾶναι αὐτήν.*

**BCDEQ** 68. *ἀλάλαξεν: ὀξὺ ἀνεβόησε. διὰ δὲ τούτου τὸ φιλοπόλεμον τῆς θεοῦ ἐχαρακτήρισεν. ἡ γὰρ ἀλαλαγὴ κυρίως ἐπὶ τῆς τῶν πολεμίων συμβολῆς γίνεται· εἶτ' οὖν λέγεται καὶ ἐπὶ τῶν ἐκβακχευμάτων.*

**A** 70 a. *Οὐρανὸς δ' ἔφριξέ νιν: διὰ τὸ σὺν ὅπλοις γεννηθῆναι ἐφοβήθησαν ⟨ὁ⟩ Οὐρανὸς καὶ ἡ Γῆ.*

**CGOQ** 70 b. *Οὐρανὸς δ' ἔφριξέ νιν: ἤτοι διὰ τὸ σὺν ὅπλοις γεννηθῆναι· ἢ διὰ τὴν βοήν.*

**BDEQ** 71 a. *τότε καὶ φαυσίμβροτος: ὁ νοῦς· τότε οὖν, ἡνίκα ἔμελλε τίκτεσθαι ἡ θεός, ὁ Ἥλιος τοῖς ἑαυτοῦ παισὶ τοῖς περὶ Ὄχιμον καὶ Κέρκαφον ἐπετείλατο τὸ μέλλον πρᾶγμα,*
**BEQ** *τῆς Ἀθηνᾶς | τὴν γένναν, παραφυλάξασθαι καὶ θυσίας ποιῆσαι, καὶ ὅπως τῇ θεῷ θυσίας πλήθοντα βωμὸν ἐναργῆ κτίσειαν, τοῦτόν τε πηξάμενοι ἐπιθύειν τήν τε ψυχὴν τοῦ πατρὸς αὐτῆς Διὸς τέρψαιεν καὶ αὐτῆς τῆς γεννηθείσης παρθένου τῆς πολεμικῆς. ἔγχος μὲν γὰρ τὸ δόρυ, βρόμος δὲ ὁ ἦχος.*

**BCEQ** 71 b. *ἄλλως· ὁ Ἥλιός, φησι, παρεκελεύσατο τοῖς ἑαυτοῦ παισὶ καὶ Ῥόδης, μελλούσης γεννᾶσθαι τῆς Ἀθηνᾶς, ὅπως αὐτοὶ πρῶτοι θύσωσιν· ἐκεῖ γὰρ μέλλειν οἰκεῖν τὴν*
**BCDEQ** *θεόν, | παρ' οἷς ἂν πρῶτον θυσία αὐτῇ ἐπιτελεσθῇ. ἀνερχόμενοι δὲ εἰς τὴν ἀκρόπολιν πρῶτοι οὗτοι ἐπελάθοντο πῦρ κομίσαι. συνέβη οὖν πρώτους Ἀθηναίους θῦσαι· διόπερ*
**BCEQ** *καὶ τὴν θεὸν αὐτόθι καθιδρυθῆναι, | τιμῆσαι δὲ καὶ τὴν θεὸν τοὺς Ῥοδίους. διὰ τοῦτο δέ φασι τοὺς Ῥοδίους ἄπυρα*

---

1 *γέννησιν* **GHOQv** ‖ *νεφέλῃ* **Ob** ‖ *φασι* **E** ‖ *τὴν*] *τὸν* **CQ**[ac] 2 *προφῆναι* **b** 4 *ἡ*] *καὶ* **E** ‖ *λαλαγὴ* **BCD** 5 *βολῆς* **E** ‖ *γίνεται εἶτ' οὖν* om. **EU** *εἶτ' οὖν λέγεται* om. **CDQ** ‖ *εἴτ' οὖν* **Br** 8 *ὁ* addidi; *ἡ* om. **b** 9 *νιν* et *ἤτοι* om. **C** 10 *ἢ* om. **Q** 11 *φαυσίβροτος* **Ev** 13 *Ἔχιμον* **D** ‖ *ἐπεοτείλατο* **Qb** *ἐπετείλλατο* **E** 15 *θεᾷ* **E** 16 *πληξάμενοι* **E** ‖ *ἐπιθύειν* corruptum: *ἐπιθήσειν* **OUQ** *ἐπιθύσαντες* **h** 20—p. 217, 3 cfr. Thom. 258, 6 21 *παισὶ* **BOU**: om. ‖ *Ῥόδης* **B(C)Q**: *Ῥοδίοις* **EOU** 22 *μέλλει* **E** 23 *αὐτῇ θυσία* **Q** Thom. **b** 23. 24 *ἀνερχόμενοι*] *ἀρχόμενοι* **E** 25 *διὸ* **B** 26 *καθιδρυσθῆναι* **Cv** 26. 27 *τὴν θεὸν καὶ* cj. **b**

θύειν, ὥσπερ οἱ πρῶτοι τῇ Ἀθηνᾷ ἔθυσαν· τινὲς δὲ ὅτι καὶ φυλαξάντων αὐτῶν ὑπερησθεὶς ὁ Ζεὺς πλοῦτον καὶ εὐδαιμονίαν παρέσχε, δωρησαμένης καὶ αὐτῆς τῆς Ἀθηνᾶς τὴν περὶ τὴν τέχνην ἀρετήν.

71 c. φαυσίμβροτος: φαεσίμβροτος. τὸ ε̄ καὶ το ᾱ εἰς τὴν ᾱῡ δίφθογγον συνεῖλεν. A

71 d. (φαυσίμβροτος:) ὁ τοῖς βροτοῖς φάος φέρων. $B^{gl}$

72. δαίμων Ὑπεριονίδας: ὁ Ὑπερίονος παῖς. Ὑπερίων δὲ εἷς τῶν Τιτάνων κατὰ τὴν Ἡσιόδου θεογονίαν (371)· BCDEQ

Θεία δ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην
Ἠῶ θ', ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει,
γείναθ' ὑποδμηθεῖσ' Ὑπερίονος ἐν φιλότητι.

οἱ δὲ αὐτὸ ἐπιθετικῶς ἀκούουσιν ἐν τύπῳ πατρωνυμικῷ· ὁ ὑπὲρ γῆν ἱέμενος, ἢ ὑπὲρ ἡμᾶς πορευόμενος.

73. μέλλον ἔντειλεν: τὸ μέλλον ἔσεσθαι ἐνετείλατό, φησιν, ὁ Ἥλιος, ἵνα πρῶτοι θύσωσι Ῥόδιοι τῇ Ἀθηνᾷ· ἐκεῖ γὰρ οἰκήσειν ὅπου θύσουσιν αὐτῇ πρῶτον. Ῥοδίων δὲ ἐπιλαθομένων ἔμπυρα θῦσαι Ἀθηναῖοι ἔθυσαν· διὸ παρ' αὐτοῖς ἡ θεὸς τιμᾶται. A

76. βωμὸν ἐναργέα: ἤτοι τῇ κατασκευῇ πολυτελῆ τυγχάνοντα· ἢ τὸν ἐναργῶς γενόμενον παρὰ τὸν τῆς γεννήσεως καιρόν· πρῶτοι γὰρ ἔθυσαν τῇ Ἀθηνᾷ. διὸ ἔμελλεν ἐπίσημος εἶναι παρὰ τὸ πλῆθος τῆς τελουμένης θυσίας. ABCDEQ

77 a. σεμνὰν θυσίαν θέμενοι: τοῦτο πρὸς τὸν τῆς Ἀθηνᾶς τρόπον. b. σεμνῶς φησι τὰ θύματα αὐτῆς τελεῖν. BCDEQ

---

7 Hes. φαεσίμβροτος. 8 sch. A Θ 480. EM 779, 1
17 Diod. 5, 56, 5

---

5 l. φασίμβροτος 8 ὁ — παῖς om. D 9 εἷς] ὁ εἷς E ‖ τὴν] τὴν τοῦ EQv 10 Θέα B Θεῖον CD ‖ δ'] δὲ BDE τ' C 12 γεῖνατ' E 13 αὐτὸ DEQ: αὐτόθι $B^{ac}$? αὐτόθεν $B^{pc}$ om. C ‖ τόπῳ B ‖ πατρωνυμικοῦ v 15 ἔντειλεν: τὸ ego: ἐνετείλατο: 17 οἰκήσει: ego ‖ θύσωσιν: ego 18 ἐν πυρᾷ: ego
20 πολυτελῆ BCDQ: πολὺν E ἢ πολυτελῆ A 21 ἐν ἀργῷ A ‖ παρὰ ABCQ: περὶ DE ‖ τὸν om. AC 21. 22 γεννήσεως BEQ: γενέσεως A αἰτήσεως CD 22 τῇ Ἀθηνᾷ om. V 23 περὶ v (ante Beckium) 24 θέμενοι E: θέμεναι B om. CDQ
25 φησι] γάρ φασι Qv ‖ αὐτῇ OQUv

BEQ 78. *ἐγχειβρόμῳ*: τῇ παρὰ τὸν πόλεμον βρεμούσῃ.

A 79 a. *ἐν δ' ἀρετάν*: περιποιεῖ ἀρετὴν καὶ χαρὰν ἡ ἐκτὸς προμηθείας αἰδώς· οἷον εἴ τις ἐκ τοῦ προμηθεῖσθαι τὴν αἰδῶ μεταποιεῖται, τούτῳ ἀκολουθεῖ χαρὰ καὶ ἀρετή· ὡς τῶν προσκοπουμένων μηδὲν ἐχόντων. b. ὁ δὲ λόγος· οἱ τὴν προμήθειαν ἐπιστρεφόμενοι περί τινος καὶ προλαμβάνοντες τὸ ἐσόμενον διὰ τὸ προβουλεύσασθαι τοῦτο πράττουσι κατ' ἐκτροπὴν καὶ ὕστερον χαίρουσι τοῦτο προβουλευσάμενοι. c. ἔνιοι δὲ ἀναγινώσκουσι περισπωμένως αἰδῶς, τῆς αἰδοῦς.

BCEQ 79 d. *ἐν δ' ἀρετὰν ἔβαλεν*: δύναται ὁ λόγος γνωμικὸς εἶναι· ἔχει δὲ τὸ σαφὲς οὕτως· ἐπέβαλε δὲ ἀρετὴν καὶ ἡδονὴν τοῖς ἀνθρώποις ἡ περὶ τὰ πράγματα πρόγνωσις. e. ὃ δέ φησι, τοιοῦτόν ἐστιν· οἱ περὶ τῶν μελλόντων πραγμάτων τὸ δέον προσκοπήσαντες καὶ τοῦτο προδιαθέντες, οὗτοι εἰς ἀρετὴν καὶ ἡδονὴν ἔρχονται. f. ἔνιοι δὲ οὕτως ἐνόησαν· ἐκ δὲ ταύτης τῆς αἰτίας καὶ αἰδὼς ἡ ὑπάρξασα εἰς τὴν θεὸν ἡ ἐκ τῆς προμηθείας καὶ τῆς προγνώσεως χαρὰν αὐτοῖς καὶ εὐθυμίαν καὶ ἀρετὴν παρέσχεν.

A 81 a. *Προμαθέος αἰδώς*: ἡ προμήθεια τοῖς ἀνθρώποις αἰτία ἀγαθῶν καὶ ἀρετῆς γίνεται. b. *Προμαθέος αἰδώς*: τὸ προσκοπεῖν τὸ μέλλον. 83

B(C)DEQ 82 a. *ἐπὶ μὰν βαίνει τι καὶ λάθας*: ἐνίοτε δὲ καὶ τοῖς ἀκούουσι τὴν προμήθειαν καὶ προσκοπουμένοις τὸ μέλλον ἐπιβαίνει τι καὶ λήθης ἴδιον νέφος. ἐπὶ δὲ τῶν Ῥοδίων ὁ λόγος, ὅτι καίπερ προδιαστειλαμένου τοῦ Ἡλίου αὐτοῖς θῦσαι τῇ Ἀθηνᾷ κατὰ τὴν γένεσιν καὶ αὐτοὶ μεμνη-

---

1 περὶ τὸν πόλεμον B[1] παρὰ τῷ πολέμῳ B[s]V περὶ τὰ πολεμικὰ E περὶ τὰ πολλὰ Q 2 (l.) ἀρετᾶν 3 ἐκτὸς] ἐκ τῆς b. Sed ft. in iis q. s. (ἐκ τοῦ προμ.) vitium latet 5 μηδὲν ⟨ἀτύχημα⟩ ἐχόντων b 8 ἐκτροπ(ὴν) A prave? ἐντροπὴν Schroeder 11 ἔβαλε BE om. C ἔβαλλε Q[ac] ἔβαλλεν Q[pc] 13 τὰ πράγματα] τῶν μελλόντων Qb 15 σκοπήσαντες CQ ‖ προδιατιθέντες CQ προδιδαχθέντες Ov 18 προμυθίας E 20 Προμαθέως αἰδῶς 21 Προμαθέως 22 προσκοπεῖν b: προσήκειν A προτηρεῖν Mommsen suppl. p. 77 25 τι BDQ: τὲ E om. C ‖ ἴδιον corruptum; ἴδιον νέφος om. C 26 προδιατειλαμένου Gb

μένοι ταύτῃ συντελέσαι, συντελοῦντες τῶν πρὸς τὴν κατασκευήν τι ἔλιπον· ὅ ἐστι τὸ πῦρ.

82 b. βαίνει τι: ἡ πρόνοια. c. ἐπιβαίνει γε μὴν καὶ λήθης τι ἀπροσδόκητον. 84 A

83 a. λάθας ἀτέκμαρτον: πολλάκις τὴν προμήθειαν τὸ τῆς λήθης ἀτέκμαρτον νέφος καὶ διέργεται. b. ἐνίοτε καὶ τοῖς ἔχουσι τὴν προμήθειαν καὶ προσκοπουμένοις ἐπιβαίνει καὶ ἀνθιστᾷ ἕτερον μέρος. ὁ δὲ λόγος περὶ τῶν Ῥοδίων, ὅτι καίτοι καὶ τοῦ Ἡλίου προαναγγείλαντος αὐτοῖς θῦσαι τῇ Ἀθηνᾷ κατὰ τὴν γένεσιν καὶ αὐτοὶ μεμνημένοι ταύτῃ συντελέσαι, τῶν πρὸς τὴν παρασκευήν τι παραλειπόντων. 82 A

84 a. καὶ παρέλκει πραγμάτων: τῶν πραγμάτων τὴν ὀρθὴν ὁδὸν ἐκτὸς τῶν φρενῶν παρέλκει ἡ λήθη. A

84 b. παρέλκει πραγμάτων ὀρθὰν ὁδόν: ὁ νοῦς οὕτως ἔχει· καίτοι γὰρ οἱ Ῥόδιοι προμαθόντες παρὰ τοῦ Ἡλίου τὴν τῆς Ἀθηνᾶς γένεσιν καὶ κατακούσαντες παρ' αὐτοῦ τὸ θῦσαι τῇ θεῷ, παρ' αὐτὴν τὴν ἱερουργίαν τοῦ κυριωτάτου πρὸς τὰς θυσίας ἐπελάθοντο· οὐκ ἔχοντες γὰρ πῦρ ἀνῆλθον εἰς τὴν ἀκρόπολιν, ἔνθα οἱ βωμοί· καὶ ἄνευ πυρὸς θύοντες τὸ ἱερὸν ἐποίησαν τὸ ἐν τῇ ἀκροπόλει. BDEQ

84 c. (παρέλκει:) παρατρέπει. B[g1]

86 a. καὶ τοὶ γὰρ αἰθούσας: καὶ γὰρ αὐτοί, φησιν, ἀνέβησαν ἐπὶ τὴν ἀκρόπολιν παραφυλάξαντες τὴν γένεσιν τῆς Ἀθηνᾶς. b. ἄλσος μὲν τὸ τέμενος εἴρηκεν· ἄπυρα δὲ [ὅτι] μέχρι νῦν οἱ Ῥόδιοι θύουσιν ἀπ' ἐκείνης τῆς ἀρχῆς τῇ Ἀθηνᾷ. καὶ Ἀπολλώνιος ὁ ποιητής (fr. 11 ap. Michaël. diss. Hal. 1875) φησιν ἄπυρα τοὺς Ῥοδίους ἱερὰ θύειν διὰ A

25—27 Diod. 5, 56, 7

1 τὴν om. B 3 τι] τὲ A ‖ τῇ προνοίᾳ b perperam 6 καὶ διέργεται corrupta ‖ ἐνίοτε V (218, 23): ὁπότε 7. 8 ἐπιβαίνει V: ὑπερβαίνει 8 ⟨δι'⟩ ἕτερον μέρος b; sed potius μέρος corrupt. ex νέφος 9 προσαναγγεῖλαι: ego 10 αὐτοὶ V: αὐτὴν 11 ταύτῃ V: ταύτην 11. 12 παρέλιπον scrib. vid. 15 l.] παρέλκει πρ. D καὶ παρ. Q 16 καίτοι DEOQb: καὶ Bv 17 γέννησιν Q 18 θεᾷ Bb 19 τὰς θυσίας BQ: τὴν θυσίαν DE 21 ἐποίησαν τὸ D: ἐποιήσαντο BEv ἐποίησαν Q 26 ὅτι om. b

τὴν πρὸς Ἥφαιστον ἕνεκα τῶν γάμων ἔχθραν, ὅτι ἐπεδίωξε τὴν Ἀθηνᾶν βουλόμενος συμμιγῆναι. οὐ μόνον δὲ Ῥόδιοι ἀπύροις ἱεροῖς χρῶνται, ἀλλὰ καὶ Ἀθηναῖοι. c. ξανθὰν δὲ κατὰ τὴν ἔμφασιν ἔφη ὁ Πίνδαρος νεφέλην τὴν ἔγκυον οὖσαν χρυσοῦ, καθὸ καὶ τὴν ὕδωρ ἔχουσαν ζοφώδη (fr. 302).

A 86 d. αἰθούσας ἔχοντες: καὶ οὗτοι γάρ, φησιν, ἀνῆλθον θῦσαι θέλοντες κατὰ τὴν γένεσιν τῆς θεᾶς κατὰ τὰς ἐντολὰς τοῦ πατρὸς, οὐκ ἔχοντες ὑπέκκαυμα. ἔστι γὰρ τὸ ἑξῆς· οὐκ ἔχοντες [δέ]. e. πυρὸς σπέρμα τὸν ἄνθρακα [δὲ] λέγει ἢ τὸν σπινθῆρα. f. αἰθούσας δὲ τῆς αἰθομένης καὶ λαμπρᾶς καὶ καυστικῆς.

BCDEQ 86 g. τοὶ γὰρ αἰθούσας: τῆς καυστικῆς, παρὰ τὸ αἴθειν. h. τὸ δὲ οὐ ἐπίρρημα προσαπτέον τῷ ἔχοντες, ἵν' ᾖ οὐκ ἔχοντες. i. φλογὸς δὲ σπέρμα, τὸ πῦρ, ὡς καὶ Ὅμηρος (ε 490)· σπέρμα πυρὸς σῴζων.

A 89 a. ἄλσος ἐν ἀκροπόλει: ἄλσος τέμενος εἶπεν. b. ἄπυρα δὲ μέχρι νῦν θύουσιν οἱ Ῥόδιοι τῇ Ἀθηνᾷ.

A 89 c. ξανθὰν ἀγαγών: εὖ κατὰ τὴν ἔμφασιν ὁ Πίνδαρός, φησιν, νεφέλην ὠνόμασε ξανθὰν, οἷον τὴν ἔγκυον χρυσοῦ· καθάπερ ὅταν ὕδωρ ⟨ἔχῃ⟩ ὁ ἀήρ, ζοφώδης ἐστίν.

ABDEQ 91 a. αὐτὰ δέ σφισιν ὤπασε τέχναν: αὐτὴ δὲ ἡ Ἀθηνᾶ κατὰ πᾶσαν χειρουργικὴν τέχνην τὸ ἄριστον αὐτοῖς
A ἀπένειμεν. b. ὕστερον δὲ οἱ Ῥόδιοι πολλὰ τῶν πρὸς τὸν βίον ἀνηκόντων ἐργαλείων εὗρον.

BCDEQ 95 a. ἔργα δὲ ζωοῖσιν ἑρπόντεσσί θ' ὁμοῖα: τὰ γὰρ ὑπ' αὐτῶν δημιουργούμενα καὶ ἐργαζόμενα τοιαῦτα καὶ

---

9 sch. ε 490. Hes. σπέρμα πυρός    16 Hes. s. v. ἄλσος. EM 71, 2. sch. O. III 31

---

1 Ἥφαιστον] α ex corr. m. 1    2 οὐ μόνοι **b** (ὅμοιον Red.)    5 ζοφώδη ⟨καλοῦσιν⟩ Bergk ad fr. 302; rectius ft. ζ. ⟨φασίν⟩    6 αἰθούσαις    9. 10 utrumque δὲ seclusi, orationem distinxi    12 l.] καὶ praem. **Qv** ἔχοντες οὐ add. **D** τοὶ γὰρ om. **CO** ∥ τοῖς καυστικοῖς **E**    14 δὲ] καὶ **E**    20 ἔχῃ add. Schroeder    21 σφιν **A** ∥ ὤπασε τέχναν om. **AD** τέχναν om. **Q** ∥ αὔτη **A**    25 ἑρπ. θ' ὁμ. om. **BCDQ**    26 δημιουργημένα **E** ∥ καὶ ἐργαζόμενα om. **BC**

ὀφθῆναι ἐπὶ τῆς γῆς οἷα καὶ αὐτὰ τὰ ἔμψυχα κινούμενα. ἄριστοι γὰρ περὶ τὴν τῶν ἀνδριάντων κατασκευὴν οἱ Ῥόδιοι. αὐτοὶ γὰρ πρῶτοι οἱ Ῥόδιοι τὴν τῶν ἀνδριάντων ἐξεῦρον δημιουργίαν, τὸ πρότερον οὐχ οὕτω τιμωμένων. Ἀρίσταρχος δὲ τὰ κατὰ Δαίδαλον αὐτόν φησι μεταφέρειν νῦν ἐπὶ τῶν κατὰ τὴν Ῥόδον τεχνιτῶν, ὅτι τοιαῦτα κατεσκεύαζον ἔργα. | Πολέμων **BDEQ** (FHG III, 146) μὲν γάρ φησι παρὰ Χίοις μὲν τὸν Διόνυσον δεδέσθαι, καὶ παρ' Ἐρυθραίοις δὲ τὸ ἕδος τῆς Ἀρτέμιδος, καὶ ὅλως πολὺν κατεσπάρθαι λόγον περὶ τῶν ἀγαλμάτων ὡς μὴ μενόντων, ἀλλὰ πορευομένων ἄλλοσε πολλάκις. b. ἄλλως· **BCDEQ** ἔργα δὲ ζωοῖσι: παρὰ τὸ Ὁμηρικόν (Σ 418)·

χρύσειαι, ζωῇσι νεήνισιν εἰκυῖαι.

c. κέλευθοι δὲ νῦν τὰ ἐν τῇ πόλει ἄμφοδα.

97. ἦν δὲ κλέος βαθύ: ἐκ δὲ τούτου βαθὺ κλέος καὶ **BCEQ** πολλὴ δόξα προσῆν αὐτοῖς.

98 a. δαέντι δέ: τῷ μαθόντι δὲ ἡ σοφία μείζων καὶ **A** φανερὰ γίνεται. ἀδύνατον γὰρ ἔν τινι ποιήσασθαι ἐπίδειξιν μὴ μαθόντα. b. βέλτιον δὲ οὕτως· οἱ προπαρατυγχάνοντες καὶ μαθόντες τὴν σοφίαν τεχνολογοῦσι. c. τοῦτο δὲ λέγει ὡς τῶν Ῥοδίων εὐφυῶν μὲν ὄντων κατὰ φύσιν· προσδεξάμενοι δὲ καὶ τὴν τέχνην, οὕτως ἐξ ἀμφοτέρων, τῶν μαθήσεων καὶ τῶν φύσεων, ἐχορήγησαν τὰ μέγιστα.

98 d. δαέντι δὲ καὶ σοφία: ἀντὶ τοῦ, δαέντος ἡ **BCDEQ** σοφία καὶ μείζων καὶ ἄδολος θελέθει. ἀδύνατον γὰρ ἔν τισι ποιήσασθαι ἐπίδειξιν μὴ μαθόντα. e. βέλτιον δὲ οὕ- **BEQ** τως· οἱ παρατυχόντες καὶ μαθόντες σοφίαν ἀπ' αὐτῶν καὶ ἔντεχνον αὐτοῖς λέγουσι καὶ ἄδολον, ὅ ἐστιν ἁπλῆν.

---

2 ἄριστον **D** ‖ παρὰ **D**, om. τὴν ‖ ἀνδριάντων — 3 τῶν om. **D**; ead. et praeterea περὶ τὴν om., ἀρίστην scr. **C** 4 πρότερον **CDEQ**: πρῶτον **Bv** ‖ τιμωμένων] ἠσκημένων cj. **h** 5 φησι] τὸ **E** 7 μὲν (pr.) om. **DQ** ‖ τὸν Δ. μὲν **E** 9 πολὺς κατεσπάρθη λόγος **E** 10 πλεονάκις **Bv** ‖ ἄλλως om. **B** 11 l. om. **CD** 12 χρύσειαι **CQ**[s]?: χρύσιαι **DQ** χρύσεια **B** χρυσέα **E** ‖ εἰκυῖα **v** 13 κέλευθα **E** 17 ἀδύνατον **V**: δυνατὸν ‖ (τισι **V**) 19 τεχνολογοῦσι corrupt. vid.; cfr. **V** 23 καὶ σοφία om. **CQ** 24 μεῖζον **CD** ‖ ἄδολον **C** ἄδηλον **D** (25 τινι **A**) 26 ἀπ' αὐτῶν **B** ὑπ' αὐτῶν **Q**: ἀπ' αὐτοῖς **E** 27 ἄτεχνον Hartung ‖ αὐτοῖς] αὐτὴν **Qb**

f. ἢ οὕτω· τῷ μαθόντι καὶ ἡ ἄδολος σοφία μείζων γίνεται.

BCDEQ g. τὸ δὲ σαφὲς οὕτως ἔχει· τῷ δὲ μετ' εὐφυΐας μεμαθηκότι ἡ σοφία καὶ ἐπὶ τὸ μεῖζον ἀδόλως καὶ ἀνεμποδίστως ἐπαίρεται· ὡς τῶν Ῥοδίων εὐφυῶν μὲν ὄντων κατὰ φύσιν, προσδεξαμένων δὲ καὶ τὴν τέχνην, καὶ οὕτως ἐξ ἀμφοτέρων τῆς μαθήσεως αὐτοῖς ἐπὶ τὸ ἄκρον ἐλθούσης.

Bgl 99. (ἄδολος:) ἡ φυσική.

BCDEQ 100 a. φαντὶ δ' ἀνθρώπων παλαιαὶ ῥήσιες: οὔπω γὰρ τῶν ἱστοριογράφων ὄντων οἱ κατὰ καιροὺς ποιηταὶ παρὰ τῶν ἐν ταῖς πόλεσι λογίων καὶ γεγηρακότων, οἷς ὁ χρόνος τὸ ἀκριβὲς τῆς γνώσεως ἐμαρτύρει, τὰς ἱστορίας κατακούοντες ἐμάνθανον. b. λέγει δὲ τοιοῦτόν τι· καθ' ὃν χρόνον οἱ θεοὶ τὸν ὅλον κόσμον πρὸς ἑαυτοὺς διεμερίζοντο, ἀπόντος τοῦ Ἡλίου καὶ τὸν ἑαυτοῦ διανύοντος δρόμον, οὐδὲ εἷς τῶν θεῶν ὑπέμνησεν ὥστε καὶ αὐτῷ τοῦ κόσμου μερίδα φυλαχθῆναι. οὐδέπω δὲ ἡ Ῥόδος ἦν ἐκ θαλάσσης ἀναδοθεῖσα· διὸ καὶ ἀκλήρωτος μείνας ὁ θεὸς ταύτην εἵλετο τὴν μερίδα, ἱερὰν αὐτῷ τὴν νῆσον ἐπιτρεψάμενος.

A 101. οὔπω ὅτε χθόνα: διὰ τὸ μηδέπω εἶναι τοὺς ἱστορικοὺς συγγραφέας, ἀπὸ τῶν κατὰ τὴν πόλιν λογίων πυνθάνονται τὰ ἐπιχώρια οἱ ποιηταί. πρὸ Πινδάρου δὲ τοῦτο οὐχ ἱστόρητο.

Q 105. ἁλμυροῖσι: ἀλί φησιν ἐνταῦθα αὐτὴν κεκρύφθαι.

A 106 a. ἀπεόντος: ἀπόντος δὲ τοῦ Ἡλίου οὐδεὶς τῶν παρόντων θεῶν ἐνέδειξεν οὐδὲ ἐνεφάνισεν ὥστε ἀποκληρῶσαί τινα χώραν αὐτῷ.

BglQ 106 b. ἔνδειξεν: ὑπέδειξεν. ἐνεφάνισεν.

BglQ 107. λάχος: κλῆρον. μερίδα.

BCDEQ 109. ἁγνὸν θεόν: τὸν Ἥλιον, οὐχ ὅτι καθ' ἑαυτὸν ἁγνός, ἀλλ' ὁ ἀφαγνίζειν τῇ ἀκτῖνι δυνάμενος.

A 110 a. μνασθέντι δέ: μνησθέντι δὲ αὐτῷ περὶ τοῦ

---

3 τὴν σοφίαν **B**v 6 τῆς] τῆς τε **D** 6 αὐτοῖς] καὶ εὐφυΐας **D** αὐτῶν **Q**v ‖ ἐλθόντες **D** ex corr. 8 παλ. ῥήσ. om. **CD** 13 διεμέριζον **D** ἐμέριζον **C** 20 λογίων **V**: λογάδων 23 ἀλί ego: ἀλλά 26 χῶρον: ego 28 λάχος δὲ κλ. ἢ μ. **Q** 30 ἁγνὸς **BCD**: ἁγνός ἐστιν **EQ**v ‖ ἀφαγνίζειν **B**: ἀφανίζειν **D** ἐμφανίζειν **E** ἁγνίζειν **CQ**v ‖ τὴν ἀκτῖνα **E**

συμβεβηκότος ὁ Ζεὺς ἔμελλεν ἀνακληροῦν ἐξ ἀρχῆς καὶ ⟨ἄκυρα⟩ ποιεῖν τὰ κεκληρωμένα τοῖς θεοῖς. b. δύναται δὲ τὸ μνασθέντι ἀντὶ τοῦ μνασθέντος. c. ἢ μνησθέντι τῷ Ἡλίῳ.

110 d. ἄμπαλον μέλλεν θέμεν: ἀνακλήρωσιν· ἀπὸ τοῦ Ὁμηρικοῦ (Η 171)· κλήρῳ νῦν πεπάλαχθε. e. ὁ δὲ νοῦς· ὑπομνησαμένῳ δὲ τῷ Ἡλίῳ ἀνακλήρωσιν ἔμελλε ποιῆσαι ὁ Ζεύς· ἀλλ' οὐκ εἴασεν αὐτὸν τοῦτο ποιῆσαι ὁ Ἥλιος, ἐπειδὴ εἶπεν ἔνδον τῆς θαλάσσης καὶ ἐν τῷ βυθῷ [ὁρᾶν] παραυξομένην καὶ ἐγειρομένην ἐκ τοῦ πέδου ἐσομένην ταύτην γὰρ πρός τε ἀνθρώπων χρησιμωτάτην καὶ πρὸς πάντα τὰ ζῷα εὔβοτον καὶ εὔφρονα, ἀπὸ μέρους τῶν προβάτων. BCDEQ

110 f. (ἄμπαλον:) ἀνακλήρωσιν. B^gl

111 a. ἀλλά νιν οὐκ εἴασεν: ἀλλὰ τοῦτο μὲν ὁ Ἥλιος οὐκ ἠβουλήθη, ἀνακλήρωσιν γενέσθαι καὶ τὸν ἀναδασμόν· ἑώρα γὰρ τὴν Ῥόδον ἀναβλαστῆσαι μέλλουσαν ἐν τῇ θαλάσσῃ καὶ πάσας ὑπερβαίνειν. διὸ τὴν Λάχεσιν τὴν μίαν τῶν Μοιρῶν τὴν πρὸς τὸν δασμὸν ἁρμόδιον ἐκέλευσεν αὐτῷ ἐπικρῖναι τὴν Ῥόδον, τοὺς δὲ θεοὺς ὀμόσαι πεποίηκε μηδένα παρερεῖν μηδὲ ἀναπείσειν τὸν Δία γενομένης τῆς χώρας ἄλλῳ τινὶ δοθῆναι αὐτήν. A

---

110 g. Eust. Il. 64, 42: . . . ἀναδασμὸν ἤγουν δεύτερον μερισμὸν τῶν προμερισθέντων· ὅπερ ἄμπαλον Πίνδαρος ἔφη, τουτέστι δεύτερον πάλον καὶ κλῆρον ἐπὶ μερισμῷ. id. Od. 1434, 29: τὸ δὲ ἄνσχετα συγκέκοπται ὡς . . . τὸ ἄμπαλος ἤτοι ἀνάπαλος, ἤγουν ἀνάδασμος, ὁ ἐκ δευτέρου πάλος ὅ ἐστι κλῆρος.

---

2 supplevi 5 μέλλε B ‖ μέλλεν θέμεν om. CQ θέμεν om. D ‖ ἀνακλήρωμα CD 6 Ὁμηρικοῦ scripsi: Ὁμήρου ‖ πεπάλαχθε E: πεπάλαχθεν BCD πεπάλαχθαι Qv 7 ἀνακλήρωμα CD 9 ἐπεὶ CD ‖ καὶ] νῆσον C ‖ ὁρᾶν h. l. B, post εἶπεν CDE, post θαλάσσης Q. Seclusi 10 παρανξανομ. E ‖ ἐγειρομένην] ἐγ. γῆν D ἀγειρ. E ‖ πεδίον Q^ac πέδα E ‖ post ἐσομένην plene dist. v; sed ταύτην γὰρ corrupta 11 ἀνθρώπους CDQ ἀνθρώπων ⟨βίον⟩ h ἀνθρώπων ⟨χρῆσιν⟩ Fähse syll. p. 403 15 ἀνακλήρωσιν ego: ἀκλήρωτον 16 μέλλουσαν ego: θάλλουσαν 17 ft. ὑπερβαλεῖν 18 πρὸς b: πρὸς τὴν ‖ ἁρμοδίαν? sed cfr. 225, 5 19 αὐτῷ 20 παραιρεῖν: b ex V (224, 10) ‖ ἀναπεῖσαι: ego ‖ διὰ A^ac ‖ γινομένης: b 21 χώρας ⟨φανερᾶς⟩ Mommsen suppl. p. 83

B$^{gl}$ 111 b. (*μιν*:) αὐτόν. τὸν Δία.

B$^{gl}$ 114. (*πεδόθεν*:) κάτωθεν ἀπὸ τοῦ πέδου.

AB;CEQ 115 a. *πολύβοσκον*: τὴν μεγάλην καὶ πολλοὺς θρέψαι
BCEQ δυναμένην. b. ἐν ἴσῳ δὲ τῷ Ὁμηρικῷ (Γ 265)· πουλυβότειραν.

B$^{mg}$CDE$^{gl}$Q 116 a. *μήλοις*: καταχρηστικῶς πᾶσι τοῖς ἀλόγοις ζῴοις.
CDE$^{gl}$Q b. ἀπὸ μέρους τὸ πᾶν.

ABCDEQ 117. *ἐκέλευσε δ' αὐτίκα*: Ἀρίσταρχος· ἐκέλευσε δ' ὁ Ἥλιος παραχρῆμα τὴν μὲν Λάχεσιν ἐπιχειροτονῆσαι τῷ λόγῳ, τοὺς δὲ θεοὺς ὀμόσαι μηδένα παρερεῖν μηδὲ παραπείσειν τὸν Δία περὶ τῆς μελλούσης χώρας φαίνεσθαι ὑπ' αὐτοῦ.

ABCDEQ 118 a. *Λάχεσιν*: πιθανῶς τὴν Λάχεσιν παρέλαβεν, ἐπεὶ περὶ κλήρου ὁ λόγος. 122 C

BCDEQ 118 b. *χρυσάμπυκα Λάχεσιν*: ἄμπυξ μὲν κυρίως κόσμος ἐπιτιθέμενος ταῖς τῶν γυναικῶν κεφαλαῖς· οὗ καὶ Ὅμηρος μνημονεύει (Χ 469)·

BCEQ ἄμπυκα κεκρύφαλόν τε ἰδὲ πλεκτὴν ἀναδέσμην.

νῦν δὲ καταχρηστικῶς τὴν τιμίαν ἀκουστέον. c. Λάχεσις δὲ μία τῶν Μοιρῶν καλεῖται· τριῶν δὲ οὐσῶν τῶν πασῶν
BCDEQ Ἡσίοδος μνημονεύει (th. 218)· | Κλωθώ τε Λάχεσίς τε καὶ

---

6 sch. A *K* 485. EM 584, 3 (*μῆλα*: πάντα τὰ τετράποδα)
14 Hes. ἄμπυκα, κεκρύφαλον. sch. Hes. Th. 916

---

3 *τὴν* om. **V** ‖ *μεγάλους* **B? v** ‖ *πολλὰ* **C** 4. 5 *πουλυβ.* **G**: *πολυβ.* 6 *πᾶσι* om. **E** 7 *ἀπὸ* **E**: *τουτέστιν ἀπὸ* **CQv** *ὡς ἀπὸ* **D** ‖ post *τὸ πᾶν* add. *ὡς καὶ πολύβοσκον εὔβοτον καὶ εὔφρονα ἀπὸ μέρους τῶν προβάτων καὶ Ὅμηρος πολυβότειραν* **D** 8 *κέλευσε* **V** ‖ *Ἀρίσταρχος* om. **V**; a seqq. disiunxit Lehrs p. 8 ‖ *δὲ ὁ* **V** 9 *μὲν* **A**: *μὲν μοῖραν* **V** 10 *ὀμόσαι* **V**: *ὀνομάσαι* **A** ‖ *μηδένα* **V**: *μηδὲ* **A** ‖ *παρερεῖν* **Bv**: *παραινεῖν* **ADEOQ** *παραιρεῖν* **U**; *παρερεῖν μηδὲ* om. **C** ‖ *παραπείσειν* ego: *παραπεῖσαι* **V** *πεῖσαι* **A** 11 *φαίνεσθαι χώρας* **V** ‖ *ὑπ' αὐτοῦ* quo pertineat nescio 12—13 cfr. Thom. 268, 16 12 l. *Λάχεσιν* **A**: om. **V**, add. *δὲ* post *πιθανῶς*; *ἄλλως* **v** ‖ post l. sch. 146 *κρίσιν — ἀγῶνα* inser., *ἄλλως* add. **A** (cfr. **v**) ‖ *παρέλαβεν* ego: *παρέβαλεν* **A** om. **V** 13 *ὁ λόγος* **A**: *ὁ λόγος ἐστίν* **C** *ἐστί* **BDEQ** 14 *Λάχεσιν* om. **CDv** et (add. *μέν*) **Q** 17 *ἄμπυκα* om. **BC** ‖ *τ' ἰδὲ* **BEQ** *τ' ἠδὲ* **C** 19 *μία*] *μοι* **E$^{ac}$** 20 *Λάχεσιν* **E**

Ἄτροπος. ἔστι δὲ τὰ ὀνόματα αὐτῶν πεποιημένα· καὶ ἡ μὲν Κλωθὼ παρὰ τὸ συγκλώθειν τὰ ἀνθρώπινα, ἡ δὲ Λάχεσις παρὰ τὴν κλήρωσιν τὴν ποιάν, ἣν ἕκαστος γεγονὼς κεκλήρωται· ἡ δὲ τρίτη Ἄτροπος παρὰ τὸ ἀμετάτρεπτον τῆς μοιριδίου ἀνάγκης. 124 C

119 a. χεῖρας ἀντεῖναι: ἀντὶ τοῦ χειροτονηθῆναι ποιῆσαι, κατὰ μετωνυμίαν. BDEQ

119 b. θεῶν δ' ὅρκον μέγαν: θεῶν ὅρκον τὴν Στύγα. ταύτην γὰρ καὶ Ὅμηρος καὶ Ἡσίοδος (th. 400) οἶδε, δι' ὧν φησι (O 37)· BEQ

καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος ὅρκος.

120 a. μὴ παρφάμεν: μὴ παραλογίσασθαι, τουτέστιν ἐπικυρῶσαι τὸν τῶν θεῶν ὅρκον. τοῦτο δὲ ὡς ὀμωμοκότων αὐτῶν φυλάξειν τὴν κρυπτομένην ἐν τῇ θαλάσσῃ νῆσον. ABEQ

120 b. (παρφάμεν:) παραβῆναι. Bgl

122 a. φαενὸν ἐς αἰθέρα: ἀντὶ τοῦ, ἀλλ' εἰς τὸν λαμπρὸν αἰθέρα ἀναφανεῖσαν τὴν Ῥόδον αὐτῷ δοθῆναι τῷ Ἡλίῳ. BEQ b. φαενὸν κατὰ συγκοπὴν φαεινόν, λαμπρόν. BDEQ

c. αἰθέρα νῦν καταχρηστικῶς τὸν ἀέρα. 118ᵇ C BCDEQ

123. ἑᾷ κεφαλᾷ: τῇ ἑαυτοῦ, τοῦ Ἡλίου, κεφαλῇ εἰς τὸ μετὰ ταῦτα μερίδα γενέσθαι. A

124 a. (γέρας:) γράφεται μέρος. Egl

124 b. τελεύτασαν δὲ λόγων: ἀντὶ τοῦ ἀληθῆ ἐποίησαν τὰ δόξαντα. A

---

1—5 sch. Hes. th. 211. Tzetzes ad Lyc. 144

---

1 Ἄτροπον E ‖ (τὰ ὀνόματα πέπλασται Tzetzes) 2 μὲν — δὲ om. BE 3 τὴν κλήρωσιν DEQ: τὸ κλήρωσιν B τὸ τὴν συγκλ. C ‖ τὴν ποιὰν B: ἢ τὴν ποιὰν 7 μετομωνυμίαν B 8 μέγαν om. Q 9 καὶ (pr.) om. E ‖ οἶδε Q: εἶδε E εἶπε καὶ οἶδε Bv 10 φησι B: φασι EQv 11 ὅστις E 13 l.] μὴ παρφέμεν A φησὶν οὖν μὴ ἀπατῆσαι V ‖ παραλογίσασθαι AQ: παραλογίζεσθαι BE 14 ἐπικυρῶ BQv 15 αὐτῶν om. A ‖ φυλάξαι A ‖ τὴν ἐν τῇ θ. κρ. V 17 φαεννὸν EQ ‖ ἀλλ' om. Q 19 ἄλλως praem. Qv ‖ φαενὸν BD: φαεννὸν EQ ‖ φαεινὸν ego: φαενὸν BE φαεννὸν Q om. D 20 νῦν BC: δὲ νῦν DE νῦν δὲ Qv (post αἰθέρα dist. Qv)

BCDEQ 124 c. *τελεύταθεν*: ἐτελειώθησαν.

ABCDEQ d. ὁ δὲ νοῦς· ἐτελειώθη δὲ τούτων τῶν λόγων τὰ κεφάλαια ἐν τῇ ἀληθείᾳ πεσόντα.

B[gl] 124 e. (*τελεύτασαν*:) γράφεται τελεύταθεν.

BDEQ 127 a. *βλάστε μὲν νᾶσος*: ὁ νοῦς· ἀνεβλάστησε καὶ ἀνεδόθη ἐκ τῆς θαλάσσης ἡ νῆσος, ἔχει δὲ αὐτὴν εἰς ἰδίαν μοῖραν ὁ Ἥλιος ὁ τῆς τῶν ὀξειῶν ἀκτίνων γενέσεως πατὴρ [Ἥλιος] καὶ τῶν πῦρ πνεόντων ἡγεμὼν ἵππων. b. ἐκ δὲ

BCDEQ τοῦ | ὀξειῶν, τῶν πυρωτικῶν ἀκουστέον· τὴν γὰρ ὀξύτητα καὶ ἐπὶ πυρώσεως λέγομεν.

B[gl]E 128. *ἔχει τέ μιν*: αὐτήν, τὴν νῆσον.

A 129. *ὁ γενέθλιος ἀκτίνων*: ὁ Ἥλιος, ὁ ἔφορος τῆς γενέσεως πάντων.

BCDEQ 131 a. *ἔνθα Ῥόδῳ ποτὲ μιχθείς*: ὁ νοῦς· ἐν ᾗ νήσῳ τῇ νύμφῃ Ῥόδῳ μιχθείς ποτε ὁ Ἥλιος ἐγέννησεν ἑπτὰ παῖδας ἐπὶ τῶν παλαιῶν ἀνθρώπων τοὺς σοφώτατα νοήματα παραδεξαμένους [ἀντὶ τοῦ σοφωτάτους]. εἰσὶ δὲ οἱ Ἡλίου ἑπτὰ παῖδες οὗτοι Κέρκαφος, Ἀκτὶς, Μακαρεὺς,

BE[mg]Q Τενάγης, Τριόπης, Φαέθων ὁ νεώτερος, Ὄχιμος. b. ἄλλως· Τενάγης ἤτοι Φαέθων [ὁ νεώτατος], Ἀκτὶς, Μάκαρ, Χρύσιππος, Κάνδαλος, Τριόπης. 132[b] BQ

EHQ 131 c. ἄλλως· Ἡλίου παῖδες καὶ Ῥόδης ἑπτὰ γίνονται

17 Diod. 5, 56. Tzetzes Chil. 4, 360

1 τελεύταθεν BCE: τελεύτασαν D τελεύτασαν δὲ Qv 2 ἐτελειώθησαν V 5 νᾶσος] ἐξ ἁλός Qv ‖ καὶ] μὲν καὶ Qv 7 Ἥλιος — πατὴρ om. D 8 Ἥλιος] om. GQb ὁ Ἥλιος E 9 τοῦ] τῶν Q ‖ ὀξειῶν] ὀξειᾶν ἀκτίνων C ‖ τὴν γὰρ] νῦν δὲ Q 11 τὴν νῆσον αὐτήν B 12. 13 τῶν γενέσεων: b 14 μιχθείς om. D ποτὲ μ. om. Q ‖ ὁ νοῦς om. E 17 ἀντὶ τοῦ σοφ. om. B 17—19 cfr. Thom. 270, 21 17 οἱ om. E ‖ οἱ — 18 παῖδες om. D 18 Ἡλίου om. Q ‖ Κέρκακος D ‖ Μάκαρ Diod.; cfr. 20 19 Τεναγής D ‖ Τριόπας Diod. ‖ νεώτερος CQb: νεώτατος ‖ Ὄχιμος om. CD et in textu E (hab. E[mg]); post Κέρκαφος hab. Thom. ‖ ἄλλως om. EQ 20 Τενάθης BEQ ‖ ὁ νεώτατος B: om. EQb ‖ ante Ἀκτὶς add. Ὄχιμος B, sed del. 21 Τριόπης om. EQ; ἄλλως· Ἀκτὶς — νεώτατος (ut supra 18—19) add. E 22 Ἡλίου καὶ Ῥόδου ἑπτὰ παῖδες (-ας HQ) γίνονται (γινώσκονται Qv) HQv

Ὄχιμος, Κέρκαφος, Ἀκτὶς, Μακαρεὺς, Κάνδαλος, Τριόπης,
Φαέθων ὁ νεώτερος, | ὃν οἱ ἐν τῇ νήσῳ ὀνομάζουσι Τενάγην. **CDEHQ**
τοῦ δὲ Κερκάφου υἱοὶ Λίνδος, Ἰηλυσὸς, Κάμειρος, οἱ ὑπὸ
Πινδάρου ὀνομαζόμενοι, ὥστε μὴ εἶναι αὐτοὺς υἱοὺς Ἡλίου,
ἀλλ' υἱωνούς. | (d.) διὸ καί τινες γράφουσιν· ὧν εἷς μὲν **BCDEQ**
Κάμειρον πρεσβύτατον· ὥστε τὸν λόγον εἶναι τοιοῦτον·
ἀφ' ὧν, τῶν Ἡλίου ἑπτὰ παίδων, εἷς Κέρκαφος ἐγέννησε
τοὺς προκειμένους· ὥστε τὴν ἀπό πρόθεσιν ἔξωθεν λαμβάνειν ἡμᾶς. 138 **BQ**

132 a. τέκεν ἑπτά: Ἡλίου καὶ Ῥόδης (οὕτω γὰρ αὐ- **A**
τὴν Ἑλλάνικος καλεῖ) ἑπτὰ γίνονται παῖδες· Ὄχιμος, Κέρκαφος, Ἀκτὶς, Μάκαρος, Κάνδαλος, Τριόπης, Φαέθων ὁ νεώτερος, ὃν οἱ κατὰ τὴν νῆσον Τενάγην καλοῦσι. περὶ δὲ τῶν ὀνομάτων αὐτῶν διαφωνοῦσι· πάντες δὲ ἑπτά φασιν αὐτούς.

132 b. τέκεν ἑπτὰ σοφώτατα νοήματα: τουτέστι **BCDEQ**
σοφωτάτους γενομένους. | ὁ γὰρ λέγων ὅτι Δημοσθένης ῥή- **BCEQ**
τωρ ἐγένετο σοφώτατα νοήματα τῶν προτέρων ἀνδρῶν παραδεξάμενος, μηνύει ὅτι ῥήτωρ ἄριστος ἐγένετο.

132 c. σοφώτατα νοήματα: οἷον σοφωτάτους. d. τὸ **A**
δὲ ἑξῆς· τέκεν ἑπτὰ παῖδας ἐπὶ τῶν προτέρων ἀνδρῶν παραδεξαμένους σοφὸν νόημα. c. τῶν ἑπτὰ τῶν προειρημένων εἷς ὁ Κέρκαφος ἐκ Κυδίππης τῆς Ὀχίμου τοῦ ἀδελφοῦ ὑπὸ Πινδάρου ἱστορεῖται πεποιηκέναι τρεῖς παῖδας,

---

22 Diod. 5, 57. Strab. 14, 654. St. Byz. *Λίνδος*.

---

1 *Κάνδαλος* **A** (cfr. 12): *Τενάγης* **V** 2 *νεώτατος*: ego 3 *υἱοὶ* om. **v** ‖ *Ἰηλυσσός* **DQ** *Ἠλυσός* **E** 4 *αὐτοῦ* **E** 6 *πρεσβύτατος* **v** 7 *τῶν*] *τοῦ* **CD** ‖ *ἑπτὰ*] *εἶναι ἑπτὰ* **Q** 10 *Ῥόδης* **E** (p. 226, 22): *Ῥόδου* **A** 10. 11 *αὐτὸν*: **b** 12. 13 *Φαέθων· ὧν ὁ νεώτατος οἰκεῖ κατά τὴν νῆσον ἣν Τενάγην κ.* **A**: corr. **b** ex **V** 14 *δὲ ἑπτά* ego: *γὰρ* **A**; *⟨οὐ⟩ πάντες γάρ* **b** 15 *⟨τοὺς⟩ αὐτούς* **b** 16 *τέκεν* om. **D** *τέκεν ἑπτὰ* om. **C** ‖ *νοήματα* om. **Q** 17 *σοφώτατος γενόμενος* **E** 17. 18 *ῥήτωρ* om. **E** 18 *σοφώτατα* ego: *τὰ* codd. *τὰ ν. ⟨σοφώτατα⟩* **b** 20 *σοφωτέρους*: ego 21 *τέκον*: ego 23 *εἷς* **b**: *ἧς* ‖ *τοῦ* **A**[ac]: *τῆς* **A**[pc] *ἢ τῆς* **b** cl. Plut. de fl. 19 ‖ 23. 24 *ἀδελφοῦ* scripsi: *Ἀλφεοῦ*

Λίνδον καὶ Ἰηλυσὸν καὶ Κάμιρον, οἳ οὐκ εἰσιν Ἡλίου υἱοί, ἀλλ' υἱωνοί [ἤγουν υἱῶν υἱοί].

BCDEQ 135. ὧν εἷς μέν: ὧν, τούτων τῶν ἑπτὰ παίδων, εἷς, ὁ Κέρκαφος, ἐκ Κυδίππης τῆς Ὀχίμου θυγατρὸς ἐγέννησε τρεῖς υἱούς, ὧν τὰ ὀνόματα [ὁ Πίνδαρος] ἐξέθετο· Κάμειρον·
BDEQ Λίνδον· Ἰηλυσόν [τῶν δύο πρεσβύτερον]· | ὡς εἶναι τούτους υἱωνοὺς καὶ οὐ παῖδας Ἡλίου. $131^{d}$ B $131^{c}$ Q

B$^{gl}$ 138 a. (τρίχα:) τριχῶς.

A 138 b. τριχθὰ δασσάμενοι: διαδασάμενοι τριχῇ τὴν γῆν τὴν πατρῴαν καὶ τὴν μοῖραν τῶν ἄστεων.

BCDEQ 138 c. δασσάμενοι πατρῴαν ἄστεων μοῖραν: χωρὶς καὶ ἰδίᾳ ἕκαστος διαδασάμενοι καὶ διαμερισάμενοι. d. ὁ δὲ νοῦς· τούτων δὲ ἕκαστος κεχωρισμένως καὶ κατ' ἰδίαν ἔχει πόλιν ὁμώνυμον· τὴν γὰρ πατρῴαν, αὐτὴν τὴν νῆσον, εἰς τρεῖς νειμάμενοι διεμερίσαντο, καὶ οὕτως ἐπωνόμασαν τὰς ἕδρας καὶ τὰς πόλεις· ὁμώνυμοι γάρ εἰσιν.

A 140 a. κέκληνται δέ σφιν ἕδραι: ⟨αἱ⟩ ἕδραι, αἱ πόλεις αἱ τρεῖς, ἀπ' αὐτῶν ὠνομάσθησαν. ⟨Ὅμηρος⟩ (B 656)·

Λίνδον Ἰηλυσόν τε καὶ ἀργιόεντα Κάμιρον.

BDEQ 140 b. κέκληνται δέ σφιν ἕδραι: ἐπωνομάσθησαν
BCEQ δὲ αὐτῶν αἱ ἕδραι, τουτέστιν αἱ πόλεις· | ἕδρας γὰρ νῦν ταύτας ὀνομάζει. c. τοῖς Ἡλίου υἱωνοῖς.

A 141 a. τόθι λύτρον συμφορᾶς: τῆς κατὰ τὴν

---

1 ἴλυσον: V ‖ ἡελίου: V 2 ἤγουν — υἱοί seclusi 3 ὧν εἷς — παίδων] ἄλλως· Ἡλ(ίου) καὶ Ῥόδης (-ου s. s. C²) ζ' παῖδες γεγόνασι· ἑνὸς δὲ τούτων τοῦ Κερκάφου δηλονότι, Λίνδος. Ἰήλυσος. Κάμειρος. ὧν εἷς. τῶν ζ' Ἡλίου παίδων C (cfr. sch. 131 c) ‖ ὧν τούτων] ὧν τούτων E 4 Ἐχίμου E 5 ὁ Πίνδαρος om. CDEQ ‖ Κάμειρον — 6 πρεσβύτερον om. D 6 Ἰήλυσον Bb ‖ τῶν δύο πρεσβύτερον om. B (et A supra vs. 1); seclusi 7 καὶ] ὡς E 9 διαδασσόμενοι: ego 10 ἀστῶν: ego 11 δασάμενοι BDQ ‖ πατρώων E ‖ ἄστεων — 12 ἕκαστος om. D 11. 12 χωρὶς] χωρὶς δὲ v 12 διαδασσάμενοι Dv δασάμενοι Q 13 κεχωρισμένος Oxon. 14 πατρῴαν ⟨γῆν⟩ b 14. 15 αὐτὴν τὴν νῆσον BQ: αὐτὴν νῆσον Ev αὐτοὶ νῆσον CD 15 τρεῖς] τρεῖς νε E τρεῖς ⟨μοίρας⟩ b; ft. τρία μέρη 17 κέκληται ‖ ἕδραι (pr.)] ἕδρα 19 ἀργινόεντα codd. Hom. plerique 20 ἀστέων μοῖραν l. praem. EQ 21 αὐτοῖς Q ‖ αἱ BQ: καὶ D om. Ev

φυγὴν συμφορᾶς γλυκὺ λύτρον ἵσταται. τουτέστι γλυκερὰ νόσος ἵσταται. b. ἄλλως· λυτήριον τῆς φυγῆς τῆς διὰ Λικύμνιον.

141 c. *τόθι*: ἔνθα καὶ τῷ Τληπολέμῳ, τῷ τῶν Ἀργείων ἡγεμόνι, τῆς οἰκτρᾶς συμφορᾶς λυτήριον γλυκὺ ἵσταται. ἵσταται δὲ αὐτῷ τὸ λυτήριον ὡς τοῖς θεοῖς· θυσίαι γὰρ αὐτῷ διάφοροι γίνονται καὶ ἀγῶνες τελοῦνται. d. λυτήριον δὲ τῆς συμφορᾶς τὴν μετοίκησίν φησι καὶ τὴν αὐτόθι τοῦ βίου διατριβήν. **BCDEQ**

145. *μήλων τε κνισσάεσσα πομπά*: ἡ θυσία. ἐπεί φασιν ὅτι ἀγὼν ἐκεῖ ἄγεται Τληπολέμεια. οἱ δὲ Ἡράκλεια· ὅθεν αὐτῷ θυσίαι ἀξιοπρεπεῖς τελοῦνται αὐτόθι. **BCDEQ**

146 a. *κρίσις ἀμφ' ἀέθλοις*· κρίσιν εἶπε τὸν ἀγῶνα τῶν Ἡλιείων, ὃν τιθέασιν οἱ Ῥόδιοι. ἐψεύσατο δὲ ὁ Πίνδαρος· οὐ γὰρ Τληπολέμῳ, τῷ δὲ Ἡλίῳ τιθέασι τὸν ἀγῶνα. διὸ καὶ ἡλιορόδιον τὸν ἀγῶνα. b. *ἀμφ' ἀέθλοις*· τὸν ἀγῶνα τῶν Ῥοδίων ὃν τιθέασιν οἱ Ῥόδιοι Τληπολέμῳ. καὶ τοῦτο δὲ ψεύδεται ὁ Πίνδαρος· οὐ γὰρ Τληπολέμῳ ὁ ἀγὼν ἐπιτελεῖται· οὐ γὰρ Ἡλίῳ, ὡς Ἴστρος (FHG I, 427) φησὶν ἐν τῇ περὶ τῶν Ἡλίου ἀγώνων· Ῥόδιοι τιθέασιν Ἡλίου ἐν Ῥόδῳ γυμνικόν τε στεφανίτην· ἐν γὰρ Ῥόδῳ ἄγεται τὰ Τληπολέμια. **A**

147 a. *τῶν ἄνθεσι*: ἐκ τῶν τιμώντων Τληπολεμίων ἐν Ἰσθμῷ εἰς τὰ Τληπολέμια οὗτος ἐνίκησε τετράκις εὐτυχέων. **A**

---

2 νόσος corruptum; λύσις cj. b 4 τόθι B: αὐτόθι οὖν CDEQ τόθι λύτρον συμφορᾶς· αὐτόθι v 6 δὲ om. E ‖ ὡς τοῖς θεοῖς B: ὡς θεῷ C ὥσπερ τοῖς θεοῖς Dv ὥσπερ τοῖς θεοῖς. πῶς; ὥσπερ τοῖς θεοῖς EQ 6. 7 θυσίαι γὰρ καὶ ἀγῶνες διάφοροι τελοῦνται D 7 καὶ om. B ‖ τελεῖται E 8 τῆς συμφ. om. D ‖ φησι et αὐτόθι om. D 10 μήλων τε om. Cv μ. τε κν. om. Q ‖ πομπά EQ: πομπή BC om. D πομπά: πομπὴ v 11 φησιν Ev ‖ ὅτι — ἐκεῖ om. D ‖ ἐκεῖ ἀγὼν E ‖ Ἡλιεῖα cj. b (ex A) 12 αὐτόθι BEQ: ἐκεῖθεν D ἐκεῖσε C 13 κρίσιν — 15 ἀγῶνα bis habet A, h. l. ($A^b$) et ad 118 ($A^a$) 14 Ἡλείων: b ‖ διατιθέασιν $A^b$ ‖ δὲ ὁ $A^b$: δὲ $A^a$ 15 Τληπολέμ(ῳ) $A^b$: Τληπόλεμος $A^a$ 16—21 passim corrupta 17 Ῥοδίων] Ἡλιείων? 19 οὐ γὰρ] τῷ δὲ? Schroeder 21 γυμνικὸν στεφανίτην ⟨ἀγῶνα⟩ b; sed potius post τε lac. statuenda ‖ ἐν γὰρ — Τληπολ. ft. a ceteris seiungenda 22. 23 glossae cum lemmatis confusae et corruptae; pro εἰς δὶς cj. Schroeder

BCDEQ 147 b. τῶν ἄνθεσι Διαγόρας: τῶν παρὰ Ῥοδίοις ἄθλων. c. ἄνθεσι δὲ τοῖς στεφάνοις. τελεῖται γὰρ αὐτόθι ἀγὼν Τληπολέμειος ἐπικαλούμενος. ἐγκωμιαστικῶς δὲ ὁ Πίνδαρος τὸν ἀγῶνα, Ἡλίῳ τελούμενον, εἰς τὸν Τληπόλεμον μετήγαγε. τελεῖται δὲ μηνὸς Γορπιαίου εἰκοστῇ τετάρτῃ ἡμέρᾳ. ἀπέχει δὲ τῶν Νεμέων ἡμέρας ἕξ. ἀγωνίζονται δὲ παῖδες καὶ ἄνδρες. ὁ δὲ στέφανος λεύκη δίδοται.

BCDEQ 148. κλεινᾷ τ' ἐν Ἰσθμῷ: θηλυκῶς τὴν Ἰσθμόν φησιν, ὡς καὶ ἐν ἄλλοις (O. XIV, 3) τὴν Ὀρχομενόν. λέγει δὲ τὸν Διαγόραν τετράκις Ἴσθμια νενικηκέναι.

BEQ 150. Νεμέᾳ τ' ἄλλαν ἐπ' ἄλλᾳ: καὶ ἐν τῇ Νεμέᾳ ἄλλην ἐπ' ἄλλῃ νίκην ἔσχεν· οἷον δὶς ἐνίκησεν, οὐκ ἐκ διαλείμματος μέντοι, ἀλλὰ πρώτην Νέμεα νικήσας, καὶ τὴν ἑξῆς ἀγωνισάμενος ἐστέφθη.

ABCDEQ 151. καὶ κρανααῖς ἐν Ἀθάναις: τὴν ὅλην Ἀττικὴν
ABCEQ Ἀθήνας προσηγόρευσεν· | εἴη δὲ τὰ Παναθήναια νενικηκὼς ἢ τὰ Ἡράκλεια ἢ τὰ Ὀλύμπια ἢ τὰ Ἐλευσίνια [ἢ τὰ Παν-
ABCDEQ ελλήνια], ἴσως δὲ καὶ πάντα· | ἀδήλως γὰρ εἶπεν.

A 152 a. ὅ τ' ἐν Ἄργει χαλκός: τὰ Ἥραια, ⟨ἃ⟩ καὶ Ἑκατόμβαια λέγεται διὰ τὸ πλῆθος τῶν θυομένων βοῶν. λαμβάνουσι δὲ ἐντεῦθεν οὐκ ἀργὸν χαλκόν, ἀλλὰ τρίποδας καὶ λέβητας καὶ ἀσπίδας καὶ κρατῆρας.

ABDEQ 152 b. ἔγνω νιν: ἐγνώρισε δὲ αὐτὸν καὶ ὁ ἐν τῷ
ABCEQ Ἄργει διδόμενος χαλκὸς ἆθλον τῷ νικήσαντι. c. τελεῖται

2 τελεῖται — 3 ἐπικαλ. om. C   3 δὲ om. E   4 Ἡλίου E   5 Γορπ. — 6 ἡμέρᾳ om. D   5 Γορπιαίνου E ‖ εἰκοστῇ τετάρτῃ] κα' C$Q^1$ ς' Corsinus diss. agon. p. 101 ed. Lips. 6 Νεμέων BEQ: ὑμέων D ὑμεναίων C ‖ ἡμέραις GQb ‖ ἕξ] κδ' Corsinus l. l. p. 102 ‖ δὲ (alt.) om. E   7 δὲ om. C   9 καὶ om. CD ‖ Ἐρχομενόν E Ὀρχομενήν D   11 ἄλλᾳ B: ἄλλαν   12 ἄλλῃ B: ἄλλην ‖ ἐκ BQ: ἐν E   13 Νεμέα B. Ft. Νεμεάδα   15 καὶ om. AQ   16 προσηγόρευσεν A: εἶπεν V   16—18 cfr. Thom. 273, 11   16 εἴη δὲ A: εἴη δ' ἂν ἤτοι V   17. 18 ἢ τὰ Π. om. A, damn. b   18 πάντα A: πάντας τούτους ἐνίκησεν (νενίκηκεν EQ) ὁ Διαγόρας V ‖ εἶπεν A: εἶπε καὶ ἐξενήνοχεν ὁ Πίνδαρος D ἐξενήνοχεν ὁ Π. BCEQ   19 Ἡραῖα A ‖ supplevi ex V (cfr. 231, 1)   20 Ἑκατομβαῖα A   23 l. sic A: ὅ τ' ἐν Ἄργει χαλκός V   24 ἔπαθλον τῷ νενικηκότι V   24 — p. 231, 3 cfr. Thom. 273, 17   24 τελεῖται V: καλεῖται A

*δὲ κατὰ τὸ Ἄργος τὰ Ἥραια ἢ τὰ Ἑκατόμβαια διὰ τὸ ἑκατὸν βοῦς θύεσθαι τῇ θεῷ. τὸ δὲ ἆθλον, ἀσπὶς χαλκῆ· οἱ δὲ στέφανοι ἐκ μυρσίνης.* d. *ἄλλως· ἐν Ἄργει, ἐν τῷ* BCEQ *Ἑκατομβαίων ἀγῶνι, χαλκὸς τὸ ἆθλον δίδοται, ὅτι Ἀρχῖνος Ἀργείων γενόμενος βασιλεύς, ὃς καὶ ἀγῶνα πρῶτος συνεστήσατο, ταχθεὶς ἐπὶ τῆς τῶν ὅπλων κατασκευῆς, ἀπὸ τούτων καὶ τὴν τῶν ὅπλων δόσιν ἐποιήσατο.* | *Ἑκατόμβαια δὲ* BC(D)EQ *ὁ ἀγὼν λέγεται ὅτι πομπῆς μεγάλης προηγοῦνται ἑκατὸν βόες, οὓς νόμος κρεανομεῖσθαι πᾶσι τοῖς πολίταις.* e. *τὸ δὲ σημεῖον ὅτι Ἑκατόμβαια λέγει τὰ ἐν Ἄργει νενικηκέναι τὸν Διαγόραν.*

153 a. *τά τ' ἐν Ἀρκαδίᾳ: ἐν Ἀρκαδίᾳ πολλοὶ ἀγῶνες* A *ἄγονται· Λύκαια· Κόρεια· Ἕρμαια.*

153 b. *τά τ' ἐν Ἀρκαδίᾳ: ἀπὸ κοινοῦ τὸ ἔγνω νιν·* BC(D)EQ *ἐγνώρισε δὲ αὐτὸν νικῶντα καὶ τὰ ἐν Ἀρκαδίᾳ ἆθλα. τελεῖται δὲ ἐν Ἀρκαδίᾳ τὰ Λύκαια ἀνακείμενα τῷ Λυκαίῳ Διί.* c. *τὰ δὲ ἔργα τινὲς οὕτως ἀκούουσιν· ἐπειδὴ οἱ* BCEQ *αὐτόθι νικῶντες σκεύεσι τιμῶνται.* d. *ἄλλως· Πολέμων* (FHG III, 123) *ἐν τῷ περὶ τῶν Θήβησιν Ἡρακλείων φησὶ χαλκὸν τὸ ἆθλον εἶναι τοῖς ἐν Ἀρκαδίᾳ Λυκαίοις· ὥστε ἀπὸ κοινοῦ τὰ ἔργα καὶ τὸν χαλκὸν ληπτέον, ὅταν φησὶν ὁ Πίνδαρος· ὅ τ' ἐν Ἄργει χαλκὸς ἔγνω νιν τά τε ἐν Ἀρκαδίᾳ ἔργα καὶ Θήβαις. δίδοται γὰρ ἐν ταύταις τρίπους χαλκοῦς.*

---

4 Polyaen. 3, 8

---

1 *δὲ* ABC: om. E *γὰρ* Qv ‖ *ἢ τὰ Ἑκατόμβοια* (sic) A: *ἃ καὶ Ἑκατόμβαια καλεῖται* V ‖ *διὰ* A: *παρὰ* V 2 *ἑκατὸν* (*ρ΄* A) *βοῦς θύεσθαι*] *ὅρκους θέσθαι* E ‖ *τῇ* V Thom.: *τῷ* A ‖ *ἆθλον* A: *ἔπαθλον* V Thom. 3 *ὁ δὲ στέφανος* V (Thom.) ‖ *τῷ* BE: *τῷ τῶν* CQ 4 *Ἑκατομβαίῳ* Bv 5 *γινόμενος* E ‖ ft. ⟨*τὸν*⟩ *ἀγῶνα* 7 *ὅπλων* BEQ$^{ac}$: *ἄθλων* CQ$^{pc}$v ‖ *Ἑκ.* — 8 *ἀγὼν*] *τὰ γὰρ Ἥραια ἐν Ἄργει καλεῖται ἃ καὶ Ἑκ.* D 8 *προηγοῦντο* E 8. 9 *βόες ἑκατὸν* CE ‖ *οὓς* — 10 *Ἄργει* om. D, add. *καὶ τοῦτον* post *Διαγ.* 10 *λέγει* C$^{cp}$EQ: *λέγεται* Bv 11 *τὸν*] *μάλιστα τὸν* Q$^{pc}$v (*τὸν Διαγ. μάλιστα* Q$^{ac}$) 13 *Λύκειον. Ὄρειον. Ἕρμαιον:* V (cfr. 232, 1) 14 *νιν* E: *μιν* BCDQ 15 *ἐν* om. E ‖ *Ἀρκαδ(ίας?) ἄλλα* E 15—18 cfr. Thom. 273, 20 17 *ἐπεὶ* E 19 *τῶν* CGQ: *τῷ* E om. B 21 *ὅτε* h 22 *μιν* codd., v 23 *Θήβῃς* B

e. πολλοὶ δὲ ἄγονται ἀγῶνες ἐν Ἀρκαδίᾳ· Λύκαια· Κόρεια·
BCDEQ Ἀλέαια. | ἐν δὲ Θήβαις τὰ Ἡράκλεια· τὰ δὲ αὐτὰ καὶ Ἰολάεια
BCEQ καλεῖται. | ἐν δὲ Βοιωτίᾳ, ἐν μὲν Θεσπιαῖς Ἐρώτια, ἐν δὲ Λεβαδείᾳ τὰ καλούμενα Βασίλεια.

A 154 a. *καὶ Θήβαις*: ἐν μὲν Θεσπιαῖς Ἐρώτια· ἐν ταῖς Πλαταιαῖς τὰ Ἐλευθέρια. ταῦτα Ἀριστόνικος· ὁ δὲ Δίδυμος Βασίλεια καὶ Ἀμφιάρεια καὶ Δήλια ἐπὶ Δηλίῳ καὶ Τροφώνεια ἐν Λεβαδείᾳ.

BCDEQ 154 b. *ἀγῶνές τ' ἔννομοι Βοιωτῶν*: πάλιν ἀπὸ κοινοῦ τὸ ἔγνω νιν. c. τελοῦνται δὲ ἐν Βοιωτίᾳ διάφοροι
BCEQ ἀγῶνες· | ἐν μὲν Θεσπιαῖς τὰ Ἐρωτίδια· ἐν δὲ Πλαταιαῖς τὰ Ἐλευθέρια· ἐν δὲ Λεβαδείᾳ τὰ Τροφώνια· ἐν δὲ Ὠρωπῷ τὰ Ἀμφιάραια.

A 156 a. *Πελλάνα τε*: ἐν Πελλήνῃ τῇ Ἀχαϊκῇ ἐνίκησε. καλεῖται δὲ ὁ ἀγὼν Θεοξένια· ἐδίδοτο δὲ ἆθλον χλαῖνα.

BDEQ 156 b. *Πελλάνα τ' Αἴγινά τε*: πάλιν τὸ ἔγνω νιν· ἐγνώρισε δὲ τὸν Διαγόραν ἥ τε Πελλήνη καὶ ἡ Αἴγινα
BCEQ ἑξάκις νενικηκότα. c. τελεῖται δὲ ἐν μὲν Πελλήνῃ τῆς Ἀχαΐας ἀγὼν ὁ καλούμενος Θεοξένια· τινὲς δέ, καὶ τὰ Ἕρμαια· τὸ δὲ ἆθλόν ἐστι χλαῖνα. ἐν δ' Αἰγίνῃ τὰ Αἰάκεια· οἱ δὲ Οἰνώναια· ἀμφορίτης ἀγών, οὗ Καλλίμαχος μέμνηται ἐν τοῖς ἰάμβοις (fr. 80).

A 157. *ἐν Μεγάροισι*: τὰ Διόκλεια· καὶ Πύθια· καὶ Νέμεα.

A 158. *λιθίνα*: στήλη ἥτις οὐχ ἕτερον λόγον ἔχει ἐγκεκολαμμένον ἢ ὅτι νενίκηκε Διαγόρας. ἴσως γὰρ τοιοῦτον ἦν τὸ ἔθος αὐτῶν, τῶν Μεγαρέων, τὸ γράφειν ἐν στήλαις τὰ τῶν νικώντων ὀνόματα.

---

2 Ἰόλαια B 3 Θεσπείαις B 5 θεσπεσιαῖς 6 πλατειαῖς 7 Δήλῳ: b 9 Βοιωτῶν om. CQv 10 νιν E: μιν 10—13 cfr. Thom. 274, 3 10 τελεῖται E ‖ δὲ om. B 11 Θεσπείαις E Θεσπίαις B ‖ Ἐρωτίδια C²b: Ἐρατίδια (α pr. ex corr. Q)BC¹EQ Ἐρώτια G Thom. ‖ Πλατεαῖς B 12 Λευανδείᾳ CQ (ν del. C²) 12. 13 Ὠρωπῇ E 13 Ἀμφιάραια (-αράια) BQb: Ἀμφιράια E Ἀμφάρεια C Ἀμφιάρηα fere Thom. (cfr. A supra 7) 16 Αἴγινα Πελλάνα τε v ‖ μιν codd., v 18—20 cfr. Thom. 274, 12 20 ἐν δὲ Αἰγ. BQ 21 οἱ δὲ Οἰνώναια scripsi: οἱ δέ, οι . . . . (lac.) B οἱ δὲ οἱ E ἔστι δὲ ὁ CQ ἔστι δὲ καὶ v ἔστι δὲ καὶ ὁ b 24 οὐχ ἕτερον A^pc: οὐχεταῖον A^ac

159 a. *ψᾶφος ἔχει λόγον*: κατὰ τὰ Μέγαρα ἔθος BCDEQ
ἐστὶ τῶν νικηφόρων τὰ ὀνόματα λίθοις ἐγκολάπτεσθαι. φη-
σὶν οὖν ὅτι καὶ ἐν τοῖς Μεγάροις ἡ λιθίνη ψῆφος οὐχ
ἑτέρου τινὸς οὕτως ἐγκεκολαμμένον φέρει τὸ ὄνομα ὡς τὸ
τοῦ Διαγόρα. b. τὸ σημεῖον ὅτι ψῆφον λιθίνην λέγει BCDQ
τὴν στήλην διὰ τὸ περιέχειν τὰ ψηφίσματα.

159 c. *ὦ Ζεῦ, νώτοισιν Ἀταβυρίου*: ὁ νοῦς οὕτως BDEQ
ἔχει· ἀλλ' ὦ Ζεῦ πάτερ τοῦ Ἀταβυρίου ὄρους βασιλεύων,
ἐν τιμῇ ἔχε τὸν ὕμνον τὸν εἰς τὸν Ὀλυμπιονίκην καὶ τὸν
ἄνδρα τὸν εὑρόντα καὶ τὸν κτησάμενον τὴν ἀρετὴν διὰ τῆς
ἐν πυγμῇ νίκης. d. ἄλλως· *νώτοισιν Ἀταβυρίου*: B(C)EQ
ἐπάνω γὰρ τοῦ ὄρους ἵδρυται ὁ Ζεύς. e. *νώτοισι* δὲ ἀντὶ BDEQ
τοῦ νώτων. f. εἰσὶ δὲ χαλκαῖ βόες ἐν αὐτῷ, αἵτινες ὅταν BCEQ
μέλλῃ ἄτοπόν τι γενέσθαι, μυκῶνται. g. ἔστι δὲ καὶ ἐν BCDEQ
Σικελίᾳ ὄρος Ἀταβύριον, ὥς φησι Τίμαιος.

160 a. *Ἀταβυρίου*: ὄρος Ῥόδου. b. νώτοις δὲ ἀλ- A
λάξας πτῶσιν ἀντὶ τοῦ νώτων. τὸ πλάτος δὲ λέγει, ἀπὸ
τοῦ σώματος, ὡς πόδας Ἴδης (Hom. *Β* 824) καὶ κεφαλὴ
ὄρους. c. Δίδυμος δέ φησιν ἐν Σικελίᾳ εἶναι ὄρος Ἀτα-
βύριον, ὡς Τίμαιός φησι· καλεῖται δὲ καὶ ὁ Ἀταβύριος.
εἰσὶ δὲ καὶ βόες χαλκοῖ ἐπὶ τῷ ὄρει τῆς Ῥόδου, οἳ ὅταν
μέλλῃ τι τῇ πόλει γίνεσθαι κακὸν μυκῶνται.

161 a. *τίμα μὲν ὕμνου*: περιφραστικῶς τὸν ὕμνον A
τὸν Ὀλυμπιόνικον. ἢ τὸν Διαγόραν· οὗτος γὰρ νόμος ἐγέ-
νετο νικήσας τοῦ ὕμνου. βέλτιον δὲ τὸ πρότερον· ἐπιφέρει
γάρ· ἄνδρα τε πὺξ ἀρετὰν εὑρόντα.

---

13—14 Tzetzes Chil. IV 390—92 (= IV 704—6): Ῥόδιόν ἐστιν ὄρος τὴν κλῆσιν Ἀταβύριον, χαλκᾶς πρὶν ἔχον βόας, αἳ μυκηθμὸν ἐξέπεμπον χωρούσης Ῥόδῳ βλάβης. Πίνδαρος καὶ Καλλίμαχος (?sch. 156c conferri jubet Harder de histt. fontt. p. 7) γράφει τὴν ἱστορίαν. 14—15 Steph. Byz. Ἀταβύριον.

---

1 τὰ om. E ‖ Μεγάραθ E[cp], om. ἔθος 4 ἐγκεκολ(λ)αμένη DQ 5 Διαγόρα B?CQ: -ρου B?DE ‖ τὸ B: τὸ δὲ CDQ ‖ σημεῖον] σημεῖον χ̄ V 7 l. sic B: ὦ Ζεῦ D ὦ Ζεῦ νώτ. Ἀτ. μεδέων E ἀλλ' ὦ πάτερ Ζεῦ Q 8 βασιλεῦ Q 9 ὕμνον] ὕμνον τοῦτον D 10 κτησάμενον ego, Schroeder: ἡγησάμενον 11 sq. Ἀταβύριον ὄρος ὑψηλότατον Ῥόδου οὗ ἄνωθεν ἵδρυται Ζεύς C 12 δὲ om. D 16 Ἀταβυρίον 22 μέλη: V 25 τὸν ὕμνον: b 26 ἀρετᾶν

B$^{gl}$ 161 b. (ὕμνου τεθμόν:) περιφραστικῶς τὸν ὕμνον. c. τὸ σημεῖον ὅτι τὴν θέσιν δηλοῖ.

B$^{gl}$ 163 a. (ἄνδρα τε:) ἀπὸ κοινοῦ τὸ τίμα.

A 163 b. πὺξ ἀρετάν: τὸν τὴν ἀρετὴν εὑρόντα κατὰ τὴν πυκτικήν. Ὅμηρος (Ψ 634)· πὺξ μὲν ἐνίκησα, ἀντὶ τοῦ πυγμῇ. c. τὸν διὰ πυγμῆς ἀρετὴν εὑρόντα.

BEQ 164. δίδοι τέ οἱ αἰδοίαν χάριν: ὁ νοῦς· δίδου τε αὐτῷ αἰδοίαν χάριν καὶ παρὰ τῶν πολιτῶν καὶ παρὰ τῶν ξένων, ἐπειδὴ τὴν ἐχθρὰν τῆς ὕβρεως ὁδὸν βαδίζει, ἀντὶ τοῦ ἐπεὶ πάντας δι' αἰδοῦς ἔχει καὶ τιμῆς.

B$^{gl}$ 166. (ὕβριος ἐχθρὰν ὁδόν:) τὴν δικαιοσύνην λέγει.

A 168 a. σάφα δαείς: σαφῶς μεμαθηκὼς ἃ οἱ πατέρες αὐτῷ ἐχρησμῴδησαν καὶ ὑπέθεντο.

BCDEQ 168 b. σάφα δαείς: ταῦτα λοιπὸν ὡς πρὸς ἑαυτόν φησιν ὁ ποιητής· σαφῶς γνοὺς ἅτινα αὐτῷ αἱ τῶν ἀγαθῶν αὐτοῦ πατέρων ὀρθαὶ φρένες ἐξέχραον, οἱονεὶ ἐχρησμῴδουν καὶ παρῄνουν. ὡς περὶ εὐσεβῶν δὲ λίαν ὑπαινίττεται.

AB$^{gl}$ 168 c. ἅ τέ οἱ πατέρων: τοῦτο παρὰ τὸ Ὁμηρικὸν εἴρηται (Z 209)· μηδὲ γένος πατέρων αἰσχυνέμεν.

A d. τουτέστι μὴ ἀπόκρυπτε τοὺς προγόνους, ὦ θυμέ, ἀλλὰ ὕμνει. ἑαυτῷ δὲ ὁ Πίνδαρος παρακελεύεται.

B$^{gl}$ 170 a. (ἔχραον:) ἐπῆλθον.

A 170 b. μὴ κρύπτε κοινόν: κοινὸν λέγει τὸ ἔνδοξον· κοινὰ γὰρ τὰ ἔνδοξα, ἐξ ὧν πάντες μεταλαμβάνουσιν.

BCDEQ 170 c. μὴ κρύπτε κοινόν: μὴ ἀπόκρυπτε τὸ κοινὸν καὶ διάδηλον τοῖς πολλοῖς τοῦ Καλλιάνακτος γένος (πρόγονος γὰρ τοῦ νικηφόρου οὗτος ἔνδοξος), ἀλλὰ ὕμνει.
d. κοινὸν σπέρμα λέγει τὸ ἔνδοξον· κοινὰ γὰρ τὰ τοιαῦτα ἐξ οὗ πάντως ἔχει. e. τὸ συγγενικόν.

A 172 a. Ἐραστεΐδῶν: ὁ νοῦς· σὺν ταῖς τῶν Ἐραστι-

---

4 ἀρετάν] ἀρετᾶν A$^{pc}$ 6 πυγμὴ 7 τέ Bv: δέ 9 βαδίζοι E 10 ἐπεὶ πάντας B: ἐπὶ πάντα E πάντα Q 13 αὐτῇ 16 ἐξεχρησμῴδουν EQv 17 ὡς περὶ B: ὥσπερ ‖ αἰνίττεται D 18 τοῦτο et 21 εἴρηται om. B 25 l. om. DEQ ‖ μὴ ἀπόκρ. τὸ κ. om. C 26 γένους EQ 28 κοινὰ] κοινὸν B$^{ac}$ 29 ἐξ οὗ — ἔχει] ft. ἐξ ὧν πάντες μετέχουσι, cl. A (24)

*δῶν χάρισι καὶ ἡδοναῖς ἡ πόλις κοινωνεῖ. ὁ δὲ καί σύνδεσμος περιττεύει.*

172 b. *Ἐραστεΐδᾶν: Ἐραστείδης πρόγονος τοῦ Δια-* **BCDEQ**
*γόρου, ἀφ' οὗ καὶ φυλὴ ὁμώνυμος ἐν Ῥόδῳ. φησὶν οὖν ὅτι σὺν ταῖς τῶν Ἐραστειδῶν χάρισι καὶ ἡδοναῖς (τῶν προγόνων δὲ αὐτοῦ λέγει) . . . . ἐπεὶ καὶ πᾶσα ἡ Ῥόδος πλείστας εὐτυχίας ἐκ τῆς τούτου νίκης ἔχει.*

172 c. *σὺν χαρίτεσσι: ἐκ τῶν χαρίτων τῶν Ἐραστι-* **A**
*δῶν ἢ σὺν ταῖς τῶν Ἐραστιδῶν χάρισι κῦδος ἔχει ἡ πόλις καὶ θαλίας. ὥστε τὸν μὲν Καλλιάνακτα πρόγονον εἶναι, Ἐραστίδας δὲ τὴν φατρίαν ἀπό τινος Ἐράστου καλεῖσθαι ἢ Ἐραστέος, ἀπὸ τοῦ Ἐραστεύς.* d. *φυλὴ δέ ἐστι τῶν Ἐραστιδῶν ἐν Ῥόδῳ, ἀφ' ἧς ἦν Διαγόρας.*

173 a. *ἐν δὲ μιᾷ μοίρᾳ χρόνου: ἐκ τούτου ἐμφαίνει* **A**
*ὅτι ἄνωθεν αὐτῷ περὶ τὸν οἶκον συμφορὰν συνέβη γενέσθαι, νῦν δὲ ἑτέρως αὐτοῖς πνέει τὰ πράγματα. παραμυθεῖται οὖν αὐτόν.*

173 b. *ἐν δὲ μοίρᾳ μιᾷ χρόνου: ἐν τῷ βραχεῖ δὲ* **BCDEQ**
*χρόνῳ τὰ πράγματα ἄλλοτε ἄλλως διατίθεται. εἶπε δὲ ἀλληγορικῶς, ὡς πρὸ ὀλίγου τινὸς λυπηροῦ αὐτῷ συμβάντος, καὶ ὅτι λοιπὸν ὀφείλει, ἑτέρας αὔρας τὸ δὴ λεγόμενον πνευσάσης, τέρπεσθαι καὶ ἐν εὐτυχίᾳ πάσῃ καὶ χαρᾷ διαζῆν.*

175. (*διαιθύσσουσιν:*) *ὁρμῶσιν.* **B**[g1]

*τέλος Διαγόρου πύκτου.* **D**
*ὕμνου τέρμα Διαγόρα τοῦ πύκτου.* **Q**
*τέλος Διαγόρα Ῥοδίου πύκτου.* **P**

---

3 l.] *Καλλιάνακτος* praem. **BEQv** (in **B** delet., ut vid.) 3. 4 *Διαγόρα* **C**[i]**Q** 4 *ἀφ' οὗ* — 5 *ἡδοναῖς* om. **C** 6 *δὲ* om. **Qv** ‖ lac. indicavi; *ἡ πόλις κοινωνεῖ* suppl. **b** ex **A**, om. *τῶν — λέγει* 11 *Ἐραστοῦ*: **b** 15 *αὐτ(ῷ)* ‖ *συμφορὰ*: ego 16 *ἑταίρως*: Gerhard 18 *μιᾷ* om. **C** 20 *συμβάντος αὐτῷ* **Bv** 21 *αὔρας*] *μοίρας* **Q**[i] 22 *πάσῃ καὶ χαρᾷ* om. **CDEQ** 25 sub textu *τέλος* **Q**

## Scholia in Olympionicarum carmen VIII.

A *Ἀλκιμέδοντι παλαιστῇ καὶ Τιμοσθένει παλαιστῇ, καὶ Μελησίᾳ παγκρατιαστῇ Νέμεα, Αἰγινήταις νικήσασιν ⟨π'⟩ Ὀλυμπιάδα.*

BDEPQ *Ἀλκιμέδοντι παιδὶ παλαιστῇ, καὶ Τιμοσθένει παλαιστῇ Νέμεα. Μελησίᾳ ἀλείπτῃ.*

C *Ἀλκιμέδοντι παιδὶ παλαιστῇ καὶ Τιμοσθένει καὶ Μελησίᾳ παγκρατιαστῇ.*

DEQ *Τοῦ η' εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων θ'. τὸ α' τροχαϊκὸν ἐπίτριτον, ἢ ἐπιχοριαμβικόν. τὸ β' ἰωνικὸν ἀπ' ἐλάσσονος, τρίτου παίωνος ἀντὶ ἰωνικοῦ. τὸ γ' ἰαμβέλεγος πλεονάζων συλλαβῇ. τὸ δ' ἐπιχοριαμβικὸν Πινδαρικόν, ἢ ἰαμβέλεγος. τὸ ε' προσοδιακὸν δίμετρον ὑπερκατάληκτον. τὸ ϛ' προσοδιακὸν τρίμετρον καταληκτικὸν τοῦ ἰωνικοῦ μέσου ὄντος. τὸ ζ' δακτυλικὸν πενθημιμερές. τὸ η' ἰωνικὸν δίμετρον καταληκτικόν. τὸ θ' Εὐριπίδειον.*

*ἡ δὲ ἐπῳδὸς κώλων ια'. τὸ α' προσοδιακὸν τρίμετρον ἀκατάληκτον. τὸ β' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. τὸ γ' χοριαμβικὸν δίμετρον καταληκτικόν. τὸ δ' ἐγκωμιολογικὸν παρὰ τὴν τελευταίαν συλλαβήν. τὸ ε' δακτυλικὸν τρίμετρον τελικόν, ἢ προσοδιακόν. τὸ ϛ' ὅμοιον τῷ αὐτῷ. τὸ ζ' ὅμοιον τῷ αὐτῷ. τὸ η' δακτυλικὸν πενθημιμερές. τὸ θ' προσοδιακὸν τρίμετρον ἀκατάληκτον· ὁ πρῶτος ἰωνικὸς ἀπ' ἀδιαφόρου, ὁ δεύτερος χορίαμβος. τὸ ι'*

---

2 *π'* addidi ex V (inscr.) 4 *παλαιστῇ* (alt.)] *παλαιστῇ τῷ ἀδελφῷ αὐτοῦ* D 5 *καὶ Μελ.* Q ‖ *ἀλείπτῃ*] *διδασκάλῳ ἀλείπτῃ* P 9 *χοριαμβικόν* EQ[1]v (corr. Pauw) 10 *τρίτου* DQ: *τετάρτου* E. Ft. ⟨*ἀπὸ*⟩ *τρίτου* ‖ *ἀντὶ τοῦ ἰων.* Q 12 *τρίμετρον* Q[ac] 13 *προσοδι(α)κὸν* EQ: *ἀνακλώμενον* D ‖ *καταληκτικοῦ* E 17 *ἡ—ια'*] lac. Q ‖ *καὶ ἡ ἐπῳδὴ* D ‖ *προσοδικὸν* fere E 18 *ἀκατάλ.* (alt.)] *βραχυκατάλ.* E 19 *τρίμετρον* E 21 *τὸ ϛ' — αὐτῷ* om. E ‖ *ὅμοιον τῷ αὐτῷ* Qv: *ἐπίσ(ης) τῷ ε'* D 22 *ζ'* DQ: *θ'* E ‖ *τῷ αὐτῷ* om. D 23 *δίμετρον* D 24 *ἰωνικὸς ἀπ' ἀδιαφόρου* scripsi: *ἴων ἀδιάφορος* DE *ἀδιάφορος* Q *ἴαμβος ἀδιάφορος* U *ἐξ ἰάμβων ἀδιάφορος* v (Tzetzes?) *ἐξ ἰάμβου ἀδιάφορος* Pauw

*ἰωνικὸν ἀπ᾽ ἐλάσσονος, ⟨ἐκ⟩ τροχαϊκῆς συζυγίας πρώτης καὶ τρίτου παίωνος κατὰ τὸ ἔθος τῶν ἰωνικῶν, τρίμετρον βραχυκατάληκτον. τὸ ια´ ἰαμβικὸν δίμετρον ἀκατάληκτον.*

Inscr. a. *Γέγραπται ὁ ἐπινίκιος προηγουμένως τῷ Ἀλκιμέδοντι παιδὶ παλαιστῇ νικήσαντι τὴν ὀγδοηκοστὴν Ὀλυμπιάδα· μέμνηται δὲ ὁ Πίνδαρος καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Τιμοσθένους Νέμεα νικήσαντος καὶ τοῦ ἀλείπτου αὐτοῦ Μελησίου, ὥς τινες παγκρατιαστοῦ. τοῖς γὰρ τρισί, φησιν ὁ Δίδυμος, μίαν ᾠδὴν γέγραφε.* b. *ζητοῦσι δέ τινες διατί ἐν τῷ ἑνὶ τούτῳ ἐπινικίῳ τοὺς τρεῖς ἐνεκωμίασε; καὶ οἱ μέν φασι, διὰ τὸ μὴ καθ᾽ ἕκαστον ἀξιολόγους ἀφορμὰς εὑρηκέναι· οἱ δέ, ὅτι ἐκ τῆς πόλεως ἦσαν τῆς αὐτῆς οἱ τρεῖς.* **BCDEQ**

1 a. *Ὁ Πίνδαρος πρὸς αὐτὴν τὴν Ὀλυμπίαν ποιεῖται τὸν λόγον, ὅ ἐστι πρὸς τὴν Πίσαν τὸν τόπον διαλέγεται· καὶ μητέρα αὐτὴν καλεῖ τῆς ἀληθείας, ἐπειδὴ μετὰ πάσης ἀληθείας ἐκρίνοντο οἱ ἀγωνιζόμενοι.* **A**

1 b. *Μᾶτερ ὦ χρυσοστεφάνων: μητέρα τῶν ἀγώνων τὴν Ὀλυμπίαν, οἷον μητρόπολιν, διὰ τὸ ἐπιφανέστατον εἶναι τὸν Ὀλυμπιακὸν ἀγῶνα.* **ABCDEQ**

1 c. *χρυσοστεφάνων: ἀντὶ τοῦ καλλιστεφάνων. Ὅμηρος* (*I* 389)· **ABCDEQ**

*οὐδ᾽ εἰ χρυσείῃ Ἀφροδίτῃ κάλλος ἐρίζοι.*

d. *ἢ ὅτι ἀληθῶς ἡ διδομένη τοῖς νικῶσιν ἐλαία καλλι-*

---

24 Aristot. mirab. 51. sch. Ar. Plut. 586. Paus. 5, 15, 3

---

1 *ἐκ* add. **b** 1. 2 *καὶ τρίτου παίωνος* del. Beck 2 *παίονος* **E** ‖ *ἔθος* **DE**: *σύνηθες* **Qv** ‖ *καὶ* ante *τρίμ.* add. **EQv** (del. **b** praeeunte Pauwio) ‖ *τριμέτρων βραχυκαταλήκτων* **E** 4 l. nullum **D**: *μᾶτερ ὦ χρυσοστεφάνων* **BCEQ** 7 *Νεμέᾳ νικήσαντι* **BE** 8 *Μιλησίου* **BCE**corr ‖ *τινες*] *τινες καὶ* **Qv** 9 *ἀπορία* add. **B**mg 10 *ἐπινίκῳ* **C** ‖ *ἐνεκωμίασε* **C**: *ἐνεγκωμίασε* 15 *Πίσσαν* 16 „Debebat esse *μητέρα ἄθλων καὶ δέσποιναν ἀληθείας αὐτὴν καλεῖ*“ **b** 18 l. om. **V** ‖ *χρυσεοστε(φάνων)* **A** ‖ *μητέρα* **A**: *μ. δὲ* **V** ‖ *ἀγώνων* **A**: *ἄθλων εἶπε* **V** 19 *οἷον* **A**: *ὡσανεὶ* **V** ‖ *μητρόπολιν* **A**: *μ. οὖσαν* **V** ‖ *ἐπιφανεστέρον* **V** 21 *χρυσεοστε(φάνων)* **A** *χρυσοστ. δὲ* **CDEQv** 23 *ἐρίζει* **DE** 24 *ἢ ὅτι ἀληθοῦς* (-ῶς scripsi) **A**: *καὶ γὰρ δὴ ὄντως* **BCEQ** *ἐπεὶ καὶ* **D** ‖ *ἐλαία τοῖς νικῶσι* **V**

BCDEQ στέφανος καλεῖται. e. δέσποινα δὲ ἀληθείας διὰ τὸ αὐτόθι τὸ τῶν Ἰαμιδῶν μαντεῖον ὑπάρχειν.

BCDEQ 1 f. μᾶτερ ὦ χρυσοστεφάνων: ἡ τῆς ἀρχῆς ἐξήγησις οὕτως ἔχει· ὦ Ὀλυμπία μῆτερ τῶν χρυσοστεφάνων ἄθλων.
BCEQ g. μῆτερ δέ, ἐπεὶ δοκεῖ ὁ Ὀλυμπιακὸς ἀγὼν πρωτεύειν
BCDEQ τῇ δόξῃ παρὰ τοὺς ἄλλους. h. ὡς οὖν λέγομεν μητρόπολιν τὴν πρώτην καὶ ἐνδοξοτέραν πόλιν, οὕτω καὶ ἐνταῦθα μητέρα ἄθλων.

BEQ 3 a. δέσποιν' ἀλαθείας: ὦ δέσποινα τῆς ἀληθείας· ἐπειδὴ τὸ μαντεῖόν ἐστιν ἐκεῖ τὸ τῶν Ἰαμιδῶν.

A 3 b. ἵνα μάντιες ἄνδρες: διὰ τὸ τῶν Ἰαμιδῶν μαντεῖον. c. τὸ ἑξῆς· ὅπου μάντιες ἄνδρες τοῖς διὰ τοῦ πυρὸς ἱεροῖς σημειούμενοι διαπειρῶνται τοῦ Διός. d. ἀντὶ τοῦ ἀποπειρῶνται.

BCEQ 3 e. ἵνα μάντιες ἄνδρες: ἔνθα, λέγει δὲ ἐν τῇ Ὀλυμπίᾳ, οἱ μάντιες ἄνδρες διὰ τῶν ἐμπύρων θυσιῶν ἀποπει-
BEQ ρῶνταί, | φησι, τοῦ Διὸς περὶ τῶν ἀνθρώπων, εἴ τινα λόγον αὐτῶν ἔχει καὶ φροντίδα.

A 4 a. ἐμπύροις τεκμαιρόμενοι: ἀντὶ τοῦ ἐμπείρων, φησί, γινώσκουσι, τίνα ὁ Ζεὺς ἐκ . . . . τῶν ἀνθρώπων τῶν τὴν ἀρετὴν φιλούντων· τὴν δὲ ἀρετὴν καὶ παραμυθίαν τῶν πόνων ζητοῦσιν, οἱ μὲν ἀγαθῶν, οἱ δὲ τῶν κακῶν ἀναβολήν.

A 4 b. παραπειρῶνται: ἡ παρά περισσή· ἔστι γὰρ πειρῶνται. c. ἢ ἡ παρά ἀντὶ τῆς ἀπό· ἔστι γὰρ ⟨ἀπο-⟩πειράζουσιν.

---

1 καλεῖται A: προσαγορεύεται V 2 Ἰαμίδων BE 3 ἄλλως praem. Qv ‖ l. om. CD ‖ μῆτερ E^cp Q ‖ τῆς] τῆς ἐξ D 5 μήτηρ B ‖ ἐπειδὴ E ‖ Ὀλυμπικὸς E 7 πόλιν] τῶν πόλεων E (sed πόλεων corr. in πόλιν) ‖ ἐνταῦθα — 8 ἄθλων] ὡς πρῶτον καὶ ἔνδοξον τὸν Ὀλυμπιακὸν ἀγῶνα D 9 δέσποινα δὲ ἀλ. D, om. ceteris ‖ ἀληθείας BQ 10 ἐπεὶ B ‖ Ἰαμίδων BE 11 Ἰαμίδ(ων) 14 ἀποπειρῶν 15 l.] om. E τὸ δὲ ἵνα ἀντὶ τοῦ Q 16 οἱ μάντιες (-εις C) ἄνδρες CEQ: ἄνδρες οἱ μάντιες Bv 17 εἰ — 18 φροντίδα EQ: εἴ τιν' ἔχει λόγον· ἤγουν φροντίδα B 19 ἐμπείρων corruptum: δι' ἐμπύρων? 20 lac. indicavi; εἴ τινα λόγον ὁ Z. ἔχει Schroeder 21 sq. corrupta; ἀναπνοήν? Schroeder 22 καλῶν: correxi 25 suppl. b

4 d. ἀποπειρῶνται οἱ μάντεις καὶ ἐπιζητοῦσι μαθεῖν **BCDEQ** διὰ τῶν ἐμπύρων τεκμαιρόμενοι καὶ εὑρίσκοντες τὰ σημεῖα. περὶ ποίων δὲ ἀνθρώπων ἀποπειρῶνται; περὶ τῶν ζητούντων καὶ ἐπιθυμούντων μεγάλην ἀρετὴν κτήσασθαι ἐκ τῆς νίκης καὶ σπουδαζόντων ἀναπνοὴν λαβεῖν ἐκ τῶν κατεχόντων μόχθων. 10[h] Q

5 a. Διὸς ἀργικεραύνου: ἤτοι παρὰ Διός· ἐνταῦθα **A** ἡ παρά συναπτέον· ὥστε εἶναι· παρὰ Διὸς ἀργικεραύνου πειρῶνται μεγάλαν ἀρετὰν θυμῷ λαβεῖν μαιόμενοι. ὁ δὲ λόγος· εἰ φροντίζει τῶν ἀνθρώπων ὃ ἡμεῖς λέγομεν ἀποπειρῶνται. b. ὁ δὲ Ἀρίσταρχος οὕτως· ἀποπειρῶνται εἰ ἀντιποιεῖται περὶ ἀνθρώπων καὶ ἔχει λόγον τῶν ζητούντων ἀρετὴν κτήσασθαι.

10 a. ἄνεται δὲ πρὸς χάριν· τουτέστιν οἱ εὐσεβεῖς **A** ἀνύουσί ⟨τι⟩ ταῖς πρὸς θεοὺς λιταῖς, οἱ δὲ ἀσεβεῖς οὐδαμῶς. b. ἢ οὕτως· τελευτᾷ δὲ πρὸς χάριν εὐσεβείας τὸ μαντεῖον. c. ἢ οὕτως· ἀνύεται τὰ μαντεῖα ταῖς τῶν ἀνδρῶν λιταῖς. d. βέλτιον δέ· τελειοῦται τὰ μαντεῖα πρὸς τὸ κεχαρισμένον ἕνεκα τῆς εὐσεβείας οἷον οἱ εὐσεβεῖς ἀνύουσι ταῖς πρὸς θεοὺς λιταῖς καὶ λαμβάνουσι κεχαρισμένους χρησμούς, οἱ δὲ ἀσεβεῖς οὔ. e. Ἀσκληπιάδης δὲ χωρὶς τοῦ σ̄ γράφει λιταί· δεήσει δὲ καὶ αὐτὸν λαμβάνειν τὸ ἄνεται ἀντὶ πληθυντικοῦ τοῦ ἄνονται, ἵνα ᾖ· τελειοῦνται δὲ αἱ λιταὶ πρὸς τὴν χάριν τῆς εὐσεβείας.

10 f. ἄνεται δὲ πρὸς χάριν: ἀνύεται δὲ τὸ τοιοῦτον· **BCEQ** τὸ ποῖον; τὸ φανερωθῆναι τὴν τοῦ Διὸς βουλήν. ἀνύεται ⟨δὲ⟩ εἰς χάριν τῶν εὐσεβῶς καὶ ὁσίως εὐχομένων καὶ λιτανευόντων, ὅπερ ἐστὶ τῶν μάντεων καὶ ἱερέων. ἐπαινεῖ οὖν ἴσως τοὺς Ἰαμίδας ὡς εὐσεβεῖς· | δύναται δὲ καὶ ἐπ' **BEQ**

---

1 l. nullum **CD**: παραπειρῶνται **B** ἄλλως **EQv** 9—11 corrupta; μεγάλαν — λαβεῖν l. novi sch. videntur 9 βαλεῖν **A** (defendit **b** ut ex varia lectione ortum) 11 ἀποπειρῶνται (alt.) **b**: ἀπειρῶνται 15 τι addidi ex **V** (240, 5) ‖ θεοὺς scripsi cl. **V** 240, 5: θεῶν **A** 19 εὐσεβείας **V** (240, 11): μαντείας 21 Ἀσκληπιάδης **V** (240, 6): Ἀσκληπιὸς 22 λαμβάνει: **b** 23 τοῦ **b**: τὸ ‖ ἄνονται ego: ἀνύεται **A** ἀνύονται **b** 27 δὲ addidi ‖ εὐχ. καὶ om. **E** 28 ἱερίων **E** 29 δὲ **EQ**: οὖν **Bv**

αὐτῶν τούτων νοεῖσθαι τὸ εὐσεβείας. g. πρόσκειται δὲ τὸ σημεῖον ὅτι τὸ σημαινόμενόν ἐστι τοιοῦτον· ἐπιτελεῖται δὲ χάριν τῆς εὐσεβείας, ἢ διὰ τὴν εὐσέβειαν. 12 Q

BCDEQ h. ἄλλως· ἄνεται δὲ πρὸς χάριν: τουτέστιν οἱ εὐσεβεῖς ἀνύουσί τι ταῖς πρὸς τοὺς θεοὺς λιταῖς, οἱ δὲ ἀσεβεῖς οὔ. i. γράφει δὲ [κατ' ἐνίους] ὁ Ἀσκληπιάδης ἄνευ τοῦ σ̄ λιταί, καὶ οὕτω καθίστησι τὸν λόγον· πρὸς δὲ τὸ κεχαρισμένον τῇ εὐσεβείᾳ τῶν ἀνδρῶν ἀνύονται λιταί· ὡς ἂν αὐτῇ τῇ τῶν ἀνδρῶν εὐσεβείᾳ κεχαρισμένου τοῦ λιτανεύειν

BCEQ ὄντος. k. ἄλλως· τελειοῦται ἡ μαντεία πρὸς τὸ κεχαρισμένον ἕνεκα τῆς εὐσεβείας ταῖς τῶν ἀνδρῶν λιταῖς.

BCDEQ l. ἢ οὕτω· τελειοῦνται δὲ τὰ μαντεῖα ταῖς τῶν ἀνδρῶν εὐσεβείαις, ὅτι πείθοντες λιταῖς τοὺς θεοὺς λαμβάνουσι χρησμούς. τοῦτο δὲ λέγει, ἐπεὶ οὐ παντὶ ἀνθρώπῳ μαντεύεται τὸ θεῖον, ἀλλὰ τοῖς εὐσεβέσιν. 10ᶠ Q

A 12 a. ἀλλ' ὦ Πίσας: πρὸς αὐτὸ τὸ τῆς Πίσης ἄλσος διαλέγεται· ἢ πρὸς τὸ Πάνθειον, ὅπου αἱ ἐλαῖαι φύονται· ἢ πρὸς τὸν τόπον ὅπου οἱ ἀνδριάντες τῶν νικησάντων ἀνάκεινται.

BCDEQ 12 b. ἀλλ' ὦ Πίσας εὔδενδρον: ἤτοι λείπει τὸ ἔχων ἢ φιλῶν, τὸ τῆς Πίσης ἄλσος, ἵν' ᾖ πρὸς τὸν Δία λέγων· ἢ πρὸς αὐτὸ τὸ ἄλσος τῆς Ὀλυμπίας λέγει, ὅπερ

BCEQ ἀνάκειται τῷ Διὶ τῷ τῆς Πίσης. c. τὸ εὔδενδρον ἄλσος

CDEQ τὸ ὂν ἐπὶ τῷ Ἀλφειῷ. d. ὁ δὲ τρόπος περίφρασις.

BCDEQ e. τοῦτον τὸν κῶμον καὶ τὸν ὕμνον καὶ τὴν ἐκ τῆς στεφανηφορίας πρόσδεξαι νίκην.

---

17 Aristot. mirab. 51. sch. Ar. Plut. 586. sch. O. 3, 60

---

1 τούτων EQ: τοῦτο B ‖ εὐσεβείας b: εὐσεβεῖς 2 τὸ σημεῖον] ad textum post λιταῖς obelus (—) B 4 ἄλλως om. DEQ 5 εὐσεβεῖς E 6 γράφει δὲ ὁ Ἀ. EGQ: γράφει δὲ κατ' ἐνίους Ἀ. B γράφει δὲ κατὰ Ἀσκληπιάδην D γράφεται δὲ καὶ κατὰ Ἀσκληπιάδην C 8 ἀνύονται CDEQ: ἀνύουσι B 9 χαριζομένου DQ, om. ὄντος 11 ταῖς] τῆς B 12 ἢ οὕτω] ἄλλως D om. E 13 τοὺς θεοὺς λιταῖς CD 16 Πίσσας ‖ Πίσσης: b ‖ ἄλσος] α corr. ex ο 17 Πάνθιον: b 20 ἤτοι] ἢ E 24 περιφραστικός V 25 τοῦτον — ὕμνον καὶ] ταύτην B ‖ τὸν ὕμνον καὶ τὸν κῶμον E 26 πρόσδεξαι] δέξαι B

12 f. (ἄλσος:) λείπει τὸ ἔχων. B^{gl}

14 a. μέγα τοι κλέος: ᾧτινι ἂν τὸ σὸν γέρας παρα- **A**
κολουθήσῃ, μέγα κλέος αὐτῷ ἐστιν.

14 b. μέγα τοι κλέος: μεγίστη γὰρ ἐκείνῳ δόξα, ᾧ **BDEQ**
ἂν τὸ σὸν κλέος ἐπακολουθήσῃ τὸ ἡδὺ καὶ τερπνόν· ἀγλαΐα
γὰρ ἡ τέρψις.

16. ἄλλα δ' ἐπ' ἄλλον ἔβαν: οὐ πάντες τὰ αὐτὰ **ABCDEQ**
ἔχουσιν ἀγαθὰ, ἀλλὰ ἄλλος ἄλλα. λέγει ὅτι αὐτὸς ὁ Ἀλκι-
μέδων Ὀλύμπια νενίκηκεν, ὁ δὲ ἀδελφὸς Τιμοσθένης
Νέμεα· διὸ οὐ πάντες πάντων κοινωνοῦσι τῶν ἀγαθῶν.
| Ὅμηρος (Δ 320)· **ABCEQ**

ἀλλ' οὔ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν.

18. σὺν θεοῖς: ἀντὶ τοῦ, τῶν θεῶν βουλομένων πολ- **HQ**
λαὶ ὁδοὶ γίνονται εἰς τὸ εὖ πράσσειν.

19 a. ὔμμε δὲ κλάρωσεν: ὑμᾶς μέντοι, ὦ Τιμό- **B(C)DEQ**
σθενες, ἐκλήρωσε καὶ προσῳκείωσεν ἡ μοῖρα καὶ τὸ δαι-
μόνιον τῷ Διὶ τῷ γενεθλίῳ· γενεθλίῳ δὲ τῷ τῆς γεννήσεως
αἰτίῳ. τοῦτο δὲ εἶπεν ἐπειδὴ νεώτεροι ἐνίκησαν.

19 b. ἐκλάρωσεν: ὁ μοιρίδιος ὑμῶν πότμος καὶ ἡ **A**
τύχη ἀπεκλήρωσεν ὑμᾶς κατὰ τὴν γένεσιν τῷ Διὶ, σέ τε,
ὦ Τιμόσθενες, καὶ τὸν ἀδελφὸν Ἀλκιμέδοντα.

21 a. ἐν Νεμέᾳ: ὅτι Νέμεα νενίκηκεν· Ἀλκιμέδων δὲ **A**
Ὀλύμπια· ἀμφότερα δὲ Διὶ ἀνάκεινται.

21 b. ἐν Νεμέᾳ πρόφαντον: ἐπιφανῆ καὶ ἐπίσημον **BCDEQ**
ἐποίησεν. c. ἀμφοτέρους δὲ τοὺς ἀγῶνας τούτους ἀνάπτει
τῷ Διὶ, παρόσον καὶ ἡ Ὀλυμπία καὶ ἡ Νεμέα Διός. | καὶ **BCEQ**
ὁ Καλλίμαχός φησι (fr. 193)·

Ζηνί τε καὶ Νεμέῃ τι χαρίσιον ἕδνον ὀφείλω.

---

4 γὰρ **B**: γάρ ἐστιν **E** δὲ ἔνεστιν **DQ** || ἐκείνῳ δόσις **Q** ἐκεῖνο δόσις **U** 5 ἐπακολουθῇ **D** 7 ἄλλον **V**: ἄλλων **A** || ἔβαν om. **ACQ** 8 ἀλλὰ] ἀλλὰ καὶ **E** || ἄλλος ἄλλα **AEQ**: ἄλλο ἄλλος **Bv** ἄλλος ἄλλως **D** || λέγει **A**: τοῦτο δὲ εἶπεν **V** || αὐτὸς ὁ **A**: ὁ μὲν **V** 9 ἐνίκησεν **V** || ἀδελφὸς om. **V** 10 Νέμεα **AD**: ἐν Νεμέᾳ || οὐ πάντες **V**: πάντες οὐ **A** 11 Ὅμηρος **A**: παρὰ τὸ Ὁμηρικόν **V** 12 ἅμα πάντα **AC(E)Q**: ἅπαντα **Br** 13 τοῦ om. **H** 15 l. **BC(E)**: ὔμμε δ' ἐκλ. πότμος **D** ὔμμε δέ **Q** 16 ἐκλάρωσε **E** 19 ἐκλάρωσεν] κ rescr. || ἡμῶν: **b** 25 τούτους om. **E** 28 Νεμέᾳ **Q** || χαρίσιον **CE** (-ον extritum) **Q**: χάρισιν **Br** (corr. Bentley) || ἔδνον **B** || ὀφείλει **E**

BDEQ 21 d. *πρόφαντον· Ἀλκιμέδοντα δέ*: σὲ μὲν ἐπιφανῆ καὶ ἔνδοξον ὁ Ζεὺς ἐν τῇ Νεμέᾳ πεποίηκε, τὸν δὲ Ἀλκιμέδοντα Ὀλυμπιονίκην ἐν τῷ Κρονίῳ λόφῳ.

A 22. *Κρόνου λόφῳ*: τῇ Ἤλιδι. οἱ δὲ ὅτι ὑπὸ τὸ ὄρος ἐκεῖνο Κρόνος ἵδρυται.

BCDEQ 24 a. *ἦν δ' ἐσορᾶν καλός*: καλὸς μὲν ἦν καὶ ὀφθῆναι ὁ Ἀλκιμέδων, οὐ κατῄσχυνε δὲ τὸ εἶδος τοῖς ἔργοις. ἀνεκήρυξε γὰρ τὴν Αἴγιναν τὴν ναυτικὴν κρατήσας καὶ νικήσας πάλῃ.

A 25 a. *οὐ κατὰ εἶδος ἐλέγχων*: τῷ τῆς πάλης. b. [ἄλλως·] τὴν εὐμορφίαν, τὸ εἶδος, οὐ κατελέγχων. ὁ δὲ Ὅμηρος (ρ 454) ἐκ τοῦ ἐναντίου· οὐκ ἄρα σοί γε φρένες ἦσαν καὶ εἶδος.

A 26 a. *ἐξένεπε*: ἀνακηρυχθῆναι ἐποίησεν. b. [καὶ] ἀνεκήρυξεν ἑαυτὸν Αἰγινήτην τῇ πάλῃ [καὶ] κρατήσας καὶ νικήσας. c. *δολιχήρετμον* δὲ τὴν Αἴγιναν, ὅτι ναυτικοὶ οἱ Αἰγινῆται· ὡς καὶ ἐν τῷ Περσικῷ πολέμῳ δεύτεροι Ἀθηναίων εὑρέθησαν.

BCDEQ 26 d. *ἐξένεπε κρατέων*: ἐξηγόρευσεν. e. ἀνεκήρυξε τὴν ναυτικὴν Αἴγιναν. Ἡσίοδος (fr. 100, 6)·

οἳ δή τοι πρῶτον τεῦξαν νέας ἀμφιελίσσας,
πρῶτοι δ' ἱστία θέσαν νεὼς πτερὰ ποντοπόροιο.

A 28 a. *ἔνθα σώτειρα*: ἐν τῇ Αἰγίνῃ ἀσκεῖται ἡ Θέμις

---

sch. 24 b. lex. Vind. 111, 16: καλὸς ὁ ἀγαθός. καὶ καλὸς ὁ ὡραῖος ..... Πίνδαρος· ἦν δ' ἐσορᾶν καλὸς ἔργῳ τ' οὐ κατὰ εἶδος ἐλέγχων.
20 sch. Nem. 3, 21 (p. 79 Ab.). Tzetzes ad Lyc. 176

---

1 sqq. sch. 21 d praec. praem **hb** 3 λόφῳ] τῷ λόφῳ **E** 6 1. om. **D** ‖ ἦν (alt.) **B**: οὖν **CDE** om. **Q** ‖ καὶ om. **hb** 7 τὸ εἶδος] τοῦτο **D** 8 Αἴγινα **E** 10 κατ' εἶδος ‖ τοῦ τῆς πλάνης: **b** 11 ἄλλως delevi ‖ συμμορφίαν: **b** ‖ τοῦ εἴδους **b** 12. 13 γ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν codd. Hom. 14 ἐξέννεπε ‖ καὶ delevi 15 καὶ om. **b** 19 ἐξέννεπε **B** ‖ ἐξηγόρευσας et ἀνεκήρυξας **B** 21 δή τοι **CDQ** Tz. sch. Nem.: δ' ἤτοι **BEG** δ' ἤτοι **b** ‖ πρῶτον **DEGQ** sch. Nem.: πρῶτοι **BC**; utrumque codd. Tzetzae ‖ ζεῦξαν sch. Nem. ‖ νῆας **B** ‖ ἀμφιέλσας **E** 22 θέσαν corruptum; θέσσαν **r** ‖ νεὼς omnes (etiam **G**)

ἡ τοῦ ξενίου Διὸς πάρεδρος. b. τουτέστι φιλόξενοί εἰσιν, ἴσως διὰ τὸ ἐμπορεῖον εἶναι τὴν Αἴγιναν.

28 c. ἔνθα σώτειρα Διὸς ξενίου πάρεδρος ἀσκεῖ- BCDEQ ται Θέμις: ἐν ᾗ Αἰγίνῃ ἡ Θέμις ἡ τοῦ Διὸς πάρεδρος ἀσκεῖται καὶ θρησκεύεται. ἐπαινεῖ δὲ αὐτοὺς ὡς φιλοξένους, διὰ τὸ παρὰ τῷ πλῷ κεῖσθαι καὶ πολλοὺς ὑποδέχεσθαι. διὰ τοῦτο εἶπεν ἔξοχ' ἀνθρώπων, | ἵνα ἐξόχως καὶ BCEQ ὑπὲρ πάντας ἀνθρώπους εἴπῃ τὴν Θέμιν ἀσκεῖσθαι ἕνεκα φιλοξενίας παρ' Αἰγινήταις· ἐπειδὴ τὸ κεκριμένον τῆς πρὸς ἕκαστον ἀξίας αὐτοῖς προσμαρτυρεῖ. τοῦτο γὰρ μάλιστα ἀξιώματος ἄξιον, τὸ τῶν πλησιαζόντων ἑκάστῳ τὴν πρέπουσαν καὶ πρόσφορον ἑκάστῳ ἀποδοῦναι τιμήν. διὰ τοῦτο οὖν φησι τιμᾶσθαι ἐξόχως τὴν τοῦ Διὸς ξενίου Θέμιν. ἐπειδὴ ἔνθα ἂν ᾖ πολύ τι καλὸν, ὡς καὶ ἐν Αἰγίνῃ τὸ τῆς φιλοξενίας, καὶ ἐπὶ πλεῖστον ἀνθρώπων χρόνον ἢ πλῆθος ἀνθρώπων ἔχοι τὴν ῥοπὴν παραγινόμενον, τοῦτο διακρῖναι καὶ δοκιμάσαι ὀρθῷ λογισμῷ καὶ προσήκοντι, ἵνα ἑκάστῳ τὸ πρέπον παράσχῃ καὶ κατὰ καιρὸν, δύσκολόν ἐστι καὶ δυσανταγώνιστον· ὅπερ Αἰγινῆται ὑπὲρ πάντας κατώρθωσαν.

29 a. πάρεδρος ἀσκεῖται Θέμις: Ἀσκληπιάδης ἀντὶ BCDEQ τοῦ τιμᾶται πρὸς τοῦ ξενίου Διός. b. τουτέστι φιλόξενοί εἰσιν. ἴσως διὰ τὸ ἐμπορεῖον εἶναι τὴν Αἴγιναν· | ὅθεν τὸν BCEQ ἐπὶ μεταβολῇ φόρτον Αἰγινητικὸν ἔλεγον καὶ τοὺς παντοπώλας Αἰγινοπώλας.

---

23 EM 28,10. Hes. *Αἰγειναῖα*. Strab. 8, 376. Append. prov. **1, 7**

---

2 *διὰ* **V** (cfr. 22): *δὲ* 3 *Διὸς* — 4 *Θέμις* (pr.) om. **CQ** *ξενίου* — *Θέμις* om. **DE** 4 *Αἰγίνῃ*] *ἐν Αἰγ.* **v** 6 *τὸ* **BC²DQ**: *τῷ* **C¹E** ‖ *παρὰ*] *περὶ* **h** 9 *κεκριμένον* **B**: *κεκριμμένον* **E** *κεκρυμμένον* **CQv** ‖ *τῆς* **C**: *καὶ* 10 *αὐτῷ* **B** 11 *τὸ* **BC**: *τε* **E** *τῷ* **Q** ‖ *ἑκάστῳ* **CEQ**: *ἕκαστον* **B** 12 *ἑκάστῳ* om. **CQv** 14 *ᾖ* om. **B** 15 *πλείστων* **CE** ‖ *χρόνον* — *ἀνθρώπων* om. **C**; *ἀνθρ. χρόνον* vix sanum 16 *ἔχοι* **BE**: *ἔχει* **Cv** *ἔχῃ* **Qb** ‖ *τὴν* om. **B** ‖ *παραγινόμενον* **E**: *-μένην* **C** *-γενόμενον* **Qv** *περιγινόμενον* **Bb** 17 *δοκιμάσαι* **CGQ**: *δοκιμᾶσθαι* **B** *προδοκιμάσαι* **E** ‖ *ἑκάστοις* **B** 18 *καὶ* (pr.) om. **E** 20 *ἄλλως* praem. **DQ** l. om. **C** ‖ *Θέμις* om. **DQ** ‖ *Ἀσκλ. δὲ τὸ ἀσκεῖται ἀντὶ τοῦ τιμᾶται*, om. 21 *πρὸς* — *Διός* **C** 23 *μεταβολῇ* **CE**: *μεταβολῆς* **BQv** ‖ *τοὺς* **b**: *τὰς* **BCE** *τὸ* **GQ**

BCDEQ 30 a. *ἔξοχ' ἀνθρώπων*: ἵνα βεβαιώσῃ τὸ ἐξόχως, ἐπά-
BCEQ γει· ἔνθα γάρ τι πολύ ἐστι καὶ ῥοπὴν ἔχει μεγάλην, | ὡς καὶ ἐν Αἰγίνῃ τὸ τῆς φιλοξενίας, τοῦτο ὀρθῇ διανοίᾳ καὶ ἀσφαλεῖ κεκριμένως εἰπεῖν μὴ ἔξω τοῦ προσήκοντος, ἀλλ' εὐκαίρως, δύσκολόν ἐστι καὶ δυσπαλές. 33[d] BCDEQ

A 30 b. *ἔξοχ' ἀνθρώπων*: ὅπου γὰρ ἂν ᾖ πολὺ καὶ πολλαχοῦ ῥέπειν δυνάμενον, δυσχερές ἐστι κατὰ τρόπον προνοῆσαι. τοῦτο δέ φησιν, ὅτι φιλόξενοι ὄντες μετὰ κρίσεως παραδέχονται τοὺς ἀφικνουμένους. c. ἄλλως· γνωμικόν ἐστι τὸ λεγόμενον, τείνει δὲ εἰς τὸν περὶ φιλοξενίας τῶν Αἰγινητῶν λόγον. σημαίνει δὲ τοῦτο· ἐὰν γὰρ ᾖ πολλὰ καὶ πολλαχῇ ῥέπειν δυνάμενον, περὶ τοῦ τοιούτου προνοῆσαι κατὰ τρόπον καὶ οἰκονομῆσαι καὶ κατορθῶσαι δυσχερὲς τοῖς πολλοῖς. οὔκ εἰσιν οὖν ἄξενοι οἱ Αἰγινῆται, οὐδὲ μὴν ἄνδρα ἀκρίτως παραδέχονται, ὡς ἡ Πηνελόπη (υ 132)·

ἐκπλήγδην ἕτερόν γε τίει μερόπων ἀνθρώπων
χείρονα, τὸν δέ τ' ἀρείον' ἀτιμήσασ' ἀποπέμπει.

d. δύναται τὸ πολὺ καὶ πολλᾷ ῥέπον κατὰ τοῦ ὄχλου τίθεσθαι· ἐν ᾗ πόλει ἐστὶν ὄχλος, ἐν ταύτῃ τὸν κατοικοῦντα τῶν συμφερόντων τι νοῆσαι χαλεπόν ἐστιν· [ἀπὸ] ἀκριβοῦς γὰρ διανοίας ἔργον ἐστὶ τουτέστι τοῦτο. οὕτως ἐπλήθυναν οἱ Αἰγινῆται ὡς μζ´ μυριάδας οἰκετῶν κτήσασθαι, ὥς φησιν Ἀριστοτέλης (fr. 472 R.). e. ἐπαινεῖ δὲ τοὺς Αἰγινήτας ὅτι πάντας δεχόμενοι ἐξαιρέτως τοὺς ἀγαθοὺς ἔχουσιν.

A 30 f. *ὅ,τι γάρ*: πολλοὺς ξένους παραγίνεσθαί φησιν εἰς Αἴγιναν καὶ δυσχερὲς ὁμοῦ πολλῶν ὄντων διαγινώσκειν τοὺς Αἰγινήτας, χρηστὸς τίς ἢ τίς φαῦλος· καὶ ὅμως τοσούτους

---

21 Athen. 6, 272 d

---

1 τὸ] καὶ τὸ V   2 ῥοπὴν h: τροπὴν || ἔχοι E   4 ἀσφαλείᾳ Qb || κεκριμένως CEG: κεκρυμμένως Q κεχρημένος Bv κεχρημένον Beck   6 ᾖ || ⟨τι⟩ πολὺ Schroeder   7 ῥέπειν ego: ῥέπει· ἢ   10 δὲ V (245, 10): om. A || φιλοξενίας V: ξενίας A   11 πολλὰ A prave: τι πολὺ V   13 καὶ κατορθῶσαι B (245, 13): κατορθῶν A   15 ἄνδρα om. V; ft. πάντα   16 γε V: τε A   17 δέ τ' ἀρείον' Hom.: δὲ ἕτερον || ἀτιμάσασα   18 πολλὰ   19 ὄχλος V: πόλις A   21 τουτέστι corruptum; ft. ποιῆσαι   26 δυσχερῶς?

ὑποδεχόμενοι περὶ τοὺς ἀγαθοὺς μᾶλλον ἐσπουδάκασιν. g. τὸ δὲ πολὺ καὶ πολλᾷ ῥέπον, τὸ γένος τῶν ἀνθρώπων. τὸ δὲ δυσπαλὲς ἀπὸ τῶν δοράτων ἔχει τὴν μεταφοράν, καὶ τὸ ῥέπειν ἀπὸ τῶν ἱστάντων ἐπὶ ζυγοῦ. ὅταν γὰρ τὸ ἐν τῷ ζυγῷ ἐλαφρὸν ᾖ, εὐχερὲς τὴν ἰσότητα γνῶναι· ἐὰν δὲ βαρύ, δυσχερές. h. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι εἰς ὑπερβολήν εἰσι διακρίνειν τὸ καλὸν καὶ τὸ δυσχερές, ὅπερ καὶ παρὰ τοῖς ἄλλοις χαλεπὸν νομίζεται.

30 i. ὅ,τι γὰρ πολὺ καὶ πολλᾷ ῥέποι: γνωμικόν BCDEQ ἐστι τὸ λεγόμενον, συντείνει δὲ εἰς τὸ περὶ φιλοξενίας τῶν Αἰγινητῶν. σημαίνει δὲ τοῦτο· ὅπου γὰρ ἂν ᾖ τι πολὺ καὶ πολλαχοῦ ῥέπειν δυνάμενον, περὶ τοῦ τοιούτου προνοῆσαι καὶ κατὰ τρόπον οἰκονομῆσαι καὶ κατορθῶσαι δυσχερὲς τοῖς πολλοῖς γίνεται. k. οὐκ εἶναι οὖν φησιν ἀξέ- BCE νους τοὺς Αἰγινήτας καθάπαξ, οὐδὲ μὴν ἀκρίτως ὑποδέχονται τοὺς παραγινομένους οὗτοι πάντας, ὡς ὁ Τηλέμαχός φησιν ἐπὶ τῆς Πηνελόπης (υ 131)·

τοιαύτη γὰρ ἐμὴ μήτηρ, πινυτή περ ἐοῦσα·
ἐμπλήγδην ἕτερον γε τιμᾷ.

l. δύναται [οὖν] τὸ πολὺ ἐπὶ τοῦ ὄχλου τίθεσθαι τοῦ ἐν τῇ πόλει, οἷον· ὅπου ἐστὶν ὄχλος, ἐνταῦθα τὸν κατοικοῦντα ὄχλον τῶν συμφερόντων τι νοῆσαι χαλεπόν ἐστιν. ἀκριβοῦς γὰρ διανοίας καὶ ἠρεμούσης καὶ ὀλίγων ἀνδρῶν τὸ ἐπὶ τοιαύτην ἐνεχθῆναι κρίσιν. πλήθειν γὰρ ἀνδρῶν οὕτω φασὶ τὴν Αἴγιναν ὡς εἶναι ἐν αὐτῇ μζ´ μυριάδας οἰκετῶν. 37 BCDE

33 a. τεθμὸς δὲ νόμος. κρίσις. δόγμα. δόκησις. Q
b. ἁλιερκέα δὲ χώραν τὴν Αἴγιναν· νῆσος γάρ. 37 Q

33 c. τεθμὸς δέ τις ἀθανάτων: ἔτι πρὸς τὰ δεδηλω- A μένα τείνει περὶ τῆς εἰς τοὺς ξένους αὐτῶν εὐεργεσίας·

---

3 Eust. Il. 674, 12(?)

---

2 ῥέπον scripsi: ῥέποι A (τὸ δὲ ⟨ὅ,τι⟩ πολὺ ... ῥέποι b) 5 ᾖ 9 sqq. sch. 30 i—l var. lect. CDQ fere omisi 13 τρόπον] νόμον E ‖ κατορθῶσαι B: κατ' ὀρθὸν (C)DEQ 14 τοῖς om. E ‖ γίνεται] ἀεὶ γίνεται Qv 15 ἀκριβῶς E 16 παραγενομ. CE 20 οὖν B: δὲ CEQ om. A; seclusi 26 sch. 33 a etiam in U, sed post 33 d

φησὶ γὰρ ὅτι νόμος τις καὶ θεῶν θέμις καὶ ταύτην τὴν χώραν παντοδαποῖς ξένοις ἔστησε κίονα θεῖον καὶ ἔρεισμα.

CDEQ 33 d. τὸ σημεῖον, ὅτι τεθμὸν νῦν τὸ δόγμα καὶ τὴν δόκησιν εἴρηκε. θ. τὸ δὲ σαφὲς οὕτω· θεσμὸς δέ τις καὶ δικαία κρίσις τῶν θεῶν καὶ ταύτην τὴν τῇ θαλάττῃ περιτετειχισμένην Αἴγιναν τοῖς πανταχόθεν ἐπιφοιτῶσι ξένοις βάθρον ὥσπερ καὶ ἔρεισμα θεῖον ἐνομοθέτησεν. 30[1]

A 37 a. ὁ δ' ἐπαντέλλων χρόνος: ὁ δὲ ἐπιὼν χρόνος μὴ κάμοι διαφυλάσσων αὐτοὺς ἐν φιλοξενίᾳ.

B.C.DEQ 37 b. ὁ δ' ἐπαντέλλων χρόνος μὴ κάμοι: μήποτε οὖν ἐν παντὶ τῷ ἐπιόντι χρόνῳ λίποι τὸ τοιοῦτον, μηδὲ κάμοι αὐτὸς ὁ χρόνος τοῦτο πράττων. ἔστι δὲ τοῦτο μέσον παρεμβληθέν· ἐπεὶ ἡ ἀκολουθία· κίονα δαιμονίαν Δωριεῖ

¦B.DEQ λαῷ, καὶ τὰ ἑξῆς· ἵν' ᾖ· τὴν Αἴγιναν τὴν χώραν, | ἥτις ἐστὶ κίων τῶν ξένων, ἡ κρίσις τῶν θεῶν ὑπέστησεν, ὑπὸ τοῦ Δωριέως λαοῦ βασιλευομένην μετὰ τὸν Αἰακόν.

A 39 a. Δωριεῖ λαῷ: τοῖς Αἰγινήταις. οἱ γὰρ ἀπὸ Δώρου Ἀργεῖοι ᾤκισαν Αἴγιναν, ἡγουμένου αὐτῶν τοῦ στόλου Τριάκοντος.

BCDEQ 39 b. Δωριεῖ λαῷ: ὅτι [οἱ] μετὰ τὴν Αἰακοῦ βασιλείαν Δωριεῖς τῆς Αἰγίνης ἐκράτησαν. Αἰακοῦ γὰρ καὶ Ψαμάθης Νηρηίδος Φῶκος ἐγένετο. τοῦτον ὡς νόθον ἀδελφὸν ἀπέκτειναν Πηλεὺς καὶ Τελαμών, καὶ φεύγει ὁ μὲν εἰς τὴν Θεσσαλίαν τὴν καλουμένην Φθίαν, Τελαμὼν δὲ εἰς τὴν Σαλαμῖνα. καὶ τελευτήσαντος οὖν τοῦ Αἰακοῦ ἔρημος ἡ

---

25—p. 247, 3 cfr. Tzetzes ad Lyc. 176 (p. 450 M.). id. Chil. VII 319

---

2 ἔστησε 3 τὸ σημ. ὅτι] om. D τὸ σημ. χ' ὅτι v 4 οὕτω] οὕτως ἔχει Qv ‖ δὲ (alt.) om. v 7 ἐνομοθέτησαν DEv 8 δ' ἐνπαντέλλων 10 μὴ κάμοι om. CD 11 ἐν] ἐν τᾷ CD ‖ τοιοῦτο Bv 13 Δωρεῖ E 15 ἡ] ἣν Bv 16 βασιλευομένην Dhb: βασιλεύοντος· μενοι ἣν E βασιλεύοντος μὲν ἣν Q βασιλεύοντος Bv
18 Ἀργεῖοι ego, Schroeder: Ἀργείου ‖ ᾤκησαν: Schroeder ‖ ἡγουμέν(ου) ‖ αὐτῶν A[ac]: ναυτῶν A[pc] 19 Τριάκοντος ego ex V: τριάκοντα 20 Δωρεῖ E ‖ οἱ om. C, recte 22 ἡρωίδος D νηρίδος E 23 ὁ μὲν BE: ὁ μὲν Πηλεὺς CDQv 24 τὴν (pr.) BE: om. CDQv ‖ Θετταλίαν BQ 25 καὶ τελ. οὖν E: τελ. οὖν B καὶ τελ. CD καὶ τελ. δὲ Q. Ft. καὶ τελ. γὰρ ‖ τοῦ om. B

νῆσος περιελείπετο βασιλέως, ἐν τούτῳ Τριάκων τις Ἀργεῖος συλλέξας πλῆθος Ἀργείων (οἱ δὲ Ἀργεῖοι τοῦ Δωρικοῦ γένους) εἰς τὴν Αἴγιναν ἦλθον καὶ κατῴκησαν. | καὶ οὕτως BCEQ ἔδοξε μετὰ τὸν Αἰακὸν ἀποταμιεύεσθαι τοῖς Δωριεῦσιν ἡ τῆς Αἰγίνης ἀρχή.

41 a. *τὸν παῖς ὁ Λατοῦς*: ἰδίως φησὶν ὁ Δίδυμος A καὶ τούτοις χρήσασθαι τὸν Πίνδαρον· τὸν γὰρ Ποσειδῶνα καὶ Ἀπόλλωνα εἰς τὴν τοῦ τείχους κατασκευήν φησι τὸν Αἰακὸν προσλαβεῖν. καὶ τὸν λόγον ἀποδίδωσί, φησιν, ἵνα διὰ τούτου τοῦ μέρους ⟨τοῦ⟩ ὑπὸ Αἰακοῦ οἰκοδομηθέντος ἁλώσιμος γένηται ἡ Ἴλιος. παρ' οὐδενὶ δὲ πρεσβυτέρω Πινδάρου ἡ ἱστορία· ὁ δὲ Εὐφορίων φησίν (fr. 58 M.)·

ἦ γὰρ δὴ Φοῖβός τε Ποσειδάων τ' ἐκάλεσσαν
Αἰακόν, οὐκ ἀβοήθητα περὶ κρήδεμνα δέμοντες.

41 b. *τὸν παῖς ὁ Λατοῦς*: ὅντινα Αἰακὸν ὁ Ἀπόλ- BCDEQ λων καὶ ὁ Ποσειδῶν, μέλλοντες τὸν στέφανον καὶ τὸ τεῖχος τῆς Ἰλίου κατασκευάζειν, συνεργὸν εἵλοντο καὶ συλλήπτορα. τούτους γὰρ κατεδίκασεν ὁ Ζεὺς πρὸς τὴν τειχοποιίαν ὑπηρετῆσαι τῷ Λαομέδοντι, ἐπειδὴ ἐπεβούλευσαν αὐτῷ εἰς τὴν βασιλείαν· ἠθέλησαν γὰρ αὐτὸν μεταστῆσαι, ὡς καὶ Ὅμηρος μνημονεύει (*Α* 399)·

ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι,
Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Φοῖβος Ἀπόλλων,

οὐχ ὡς ἔνιοι, καὶ Παλλὰς Ἀθήνη.

42 a. *εὐρυμέδων*: μεγάλως βασιλεύων. Q

---

18 sch. A *Α* 399. sch. BT *Α* 400. sch. T *Φ* 444

---

1 βασιλέως ἐν τούτῳ om. D ‖ ἐν τούτῳ CE: ἐν τούτοις Bv om. Q 3 ἦλθε καὶ κατῴκησεν Heyne obss. ad Apoll. p. 306 (κατῴκισεν C. O. Müller Aegin. p. 43, g). 9 (προσλαβεῖν A) ‖ καὶ — φησιν om. b; cfr. Lehrs p. 7 ‖ φη(σὶν)· φη(σὶν) A (dittogr.) 11 ἡ Ἴλιος] ὁ ἥλιος A[ac] 13 ἦ γὰρ δηίφοβός τε: Gerhard 14 ἀβόητα περὶ Mommsen suppl. p. 104 ἀβοήθητοι, om. περὶ b ἀβοητὶ πατρὸς Meineke ἀβοηθὶ πόλιος Lobeck Aglaoph. p. 287 c (nam πρὸς, non περὶ Red.) ‖ δεμόντες 18 τοιχοπ. E 23 Ἥρη τ' ἠδὲ Ποσειδάων om. B

A 42 b. *ἐπὶ στέφανον*: στέφανον τείχεος περιφραστικῶς τὸ τεῖχος.

BCEQ 42 c. *ἐπὶ στέφανον τεῦξαι*: μεταφορικῶς τὸ τεῖχος· στέφανος γὰρ ὥσπερ τῶν πόλεων τὰ τείχη. καὶ Ἀνακρέων (fr. 72)· νῦν δ' ἀπὸ μὲν πόλεως στέφανος ὄλωλεν.

BEQ 44 a. *ἦν ὅτι νιν πεπρωμένον*: αὐτὸ, τὸ τεῖχος.

BDEQ b. οὗτοι [δὲ] συνεργὸν εἵλοντο τὸν Αἰακὸν, ἐπειδὴ ἦν αὐτῷ πεπρωμένον, τῷ τείχει, πολέμου γενομένου πυρὶ καταφλεχθῆναι πολλῷ. οὐ γὰρ ἦν δυνατὸν ἁλῶναι αὐτὸ, εἰ τὸ
B(C)DEQ πᾶν ἔργον ἦν θεῶν. c. ἄλλως· ὅτι πέπρωτο δορυάλωτον γενομένην τὴν πόλιν ταύτην ἐμπυρισθῆναι, διὰ τοῦτό φησι τὸν Ποσειδῶνα καὶ τὸν Ἀπόλλωνα εἰς τὴν τῆς Ἰλίου τείχισιν προσλαβεῖν τὸν Αἰακὸν, διὰ τοῦ ὑπ' αὐτοῦ οἰκοδομηθέντος ἵνα ἁλώσιμος γένηται καὶ μὴ διὰ τοῦ ὑπὸ τῶν θεῶν.

A 44 d. *πεπρωμένον*: ὅτι πεπρωμένον ἦν δοριάλωτον γενηθεῖσαν τὴν Ἴλιον ἐμπυρισθῆναι· ὅπως κατὰ τὸ τοῦ Αἰακοῦ ἔργον ἁλῴη τὸ τεῖχος, καὶ μὴ κατὰ τὸ τῶν θεῶν.

Q 47. *λάβρον ἀμπνεῦσαι καπνόν*: ἀντὶ τοῦ ἐμπυρισθῆναι.

A 48 a. *γλαυκοὶ δὲ δράκοντες*: ἀκαταλλήλως εἶπεν· ἔδει γὰρ εἰπεῖν· γλαυκοτέρων δὲ δρακόντων εἰσαλλομένων, οἱ β' κάπετον, εἷς δὲ ὄρουσε βοήσας. τὸ δὲ σχῆμα ὅμοιον τῷ· οἱ δὲ δύο σκόπελοι (μ 73).

BCDEQ 48 b. *γλαυκοὶ δὲ δράκοντες*: φοβεροί. c. ὁ δὲ νοῦς· ἐπειδὴ οὖν ποτε ἐκτίσθη τὸ τεῖχος, εὐθέως καὶ παρα-

---

23 Eust. Od. 1713, 52

---

3 ἐπιστέφανον BE(Q) ‖ τὸ τεῖχος] τὰς ἐξοχὰς τοῦ τείχους C 4 στέφανοι Qv στεφάνη C 5 νῦν δ' om. C 6 πεπρωμένον om. Q 7 δὲ BQv: om. E γὰρ D. Seclusi 8 γινομ. E 10 τῶν θεῶν DQb ‖ πέπρωται CDQ ‖ δοριάλωτον $\mathrm{B}^{ac}$ 11 ταύτην τὴν π. DQ ‖ φησι BD: φασι EQv 12. 13 τείχισιν BCQ: τείχησιν DEv 13 τὸν Αἰακὸν Qv: καὶ τὸν Αἰ. (C)D om. BE 14 μὴ om. E 16 l.] πεπρωμένη (πε add. p. c.) 22 ft. γλαυκωπῶν ‖ εἰς ἀλλομ. 23 ὄρουσε] σε ex corr. 25 φοβεροί om. CD ‖ δὲ om. D ὁ δὲ νοῦς om. C

χρῆμα τρεῖς δράκοντες ἐφάνησαν, ὧν οἱ μὲν δύο βουλόμενοι εἰσελθεῖν διὰ τοῦ πύργου εἰς τὸ ἐντὸς κατέπεσον καὶ ἀπέθανον, ὁ δὲ εἷς δράκων εἰσῆλθε μετὰ συριγμοῦ καὶ βοῆς. δηλοῖ δὲ τὴν ἅλωσιν τὴν τότε γενομένην· οἱ γὰρ ἐπιόντες πολέμιοι εἰώθασιν ἐφορμᾶν ἅμα βοῇ. d. ἔδει εἰ- BCEQ
πεῖν· γλαυκῶν δὲ δρακόντων εἰσαλλομένων τριῶν, οἱ δύο μὲν κατέπεσον, ὁ δὲ εἷς ἀνόρουσε. τὸ σχῆμα Ὁμήρου (μ 73)·

οἱ δὲ δύο σκόπελοι, ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει. 53f B

48 e. κτίσθη νέον: οἱ μὲν νεωστὶ κατασκευασθέν, οἱ HQ
δὲ ἀντὶ τοῦ εὐθύς.

49 a. εἰσαλλόμενοί γε τρεῖς: κτισθέντος, φησί, τοῦ A
τείχους τρεῖς εἰσεπήδησαν δράκοντες, ὧν τοὺς δύο ἀποθανεῖν, τὸν δὲ ἕτερον ἕνα περιγενέσθαι καὶ εἰσελθεῖν.
b. ἐπειδὴ τρεῖς οἱ κατασκευάζοντες· οἱ μὲν οὖν τῶν θεῶν ἀπέθανον, ὁ δὲ τοῦ Αἰακοῦ εἰσῆλθεν.

50. (κάπετον:) κατέπεσον. Bgl

51. ἀτυζόμενοι: ἢ ταραττόμενοι· Ὅμηρος (Z 468)· A
πατρὸς φίλου ὄψιν ἀτυχθείς· ἢ παρὰ τὴν ἄτην, τουτέστιν ἐν ἄτῃ ἐγένοντο· ἀπέθανον γὰρ πεμέοι πότεμος.

52 a. εἷς δ' ὄρουσεν: δύο μὲν δράκοντας Ἀχιλλέα καὶ A
Αἴαντα· ὁ δὲ περιγενόμενος Ἀχιλλέως υἱός.

52 b. βοάσας: καθ' ὃ μέρος ᾠκοδόμει ὁ Αἰακὸς, εἰσῆλ- A
θεν ὁ δράκων, δι' οὗ οἱ Ἕλληνες εἰσῆλθον διὰ τοῦ δουρείου λυσάντων αὐτῶν τῶν Τρώων.

53 a. ἔννεπε δ' ἀντίον: οὐχ ὑπερέθετο στοχάσασθαι, A

---

17 sch. BT Z 468. EM 168, 15. Hesych. Ap. soph. 46, 22
18 Orion. 11, 17. Eust. Il. 623, 35. 1007, 20. Hesych. s. v.

---

3 δράκων om. BC 4 τὴν αὐτοῦ γενησομένην C ἣν τότε γενομ. E τὴν τότε γινομ. D; ft. τήν ποτε γενησομένην 7 ὁ δὲ εἷς B: εἷς δὲ EQ (ὁ — ἀνόρουσε om. C) ‖ ἀνόρουσε B: εἰ ὄρουσε E εἰσώρουσε Q ἐνόρουσε h ‖ τὸ δὲ σχ. Ὁμηρικόν CQb ‖ Ὅμηρος E 8 δὲ δύο Hom.: μὲν δύο codd. r δύο μὲν Oxon. 11 εἰς ἀλλόμ. 18 παρὰ ego: περὶ 19 ἀπέθ. γὰρ ⟨Ἀχιλλεὺς καὶ Αἴας⟩, πε⟨ριεγένετο δὲ⟩ Νεοπτόλεμος Sybel Herm. 5, 203 ἀπ. γὰρ πεπρωμένῃ οἱ ἀμφότεροι cj. Schroeder; alia vid. ap. Mommsen. suppl. p. 106 20 Ἀχιλ(έα); ft. Ἀχιλλέα ⟨λέγει⟩ 21 Ἀχιλέως 22 βάσας A[ac] 23 τ(οῦ)

ἀλλ' ἐξ ἐναντίας ὁρῶν εἶπε πρὸς τὸν Αἰακὸν ὁ Ἀπόλλων ὅτι κατὰ τὰς σὰς ἐργασίας ἁλίσκεται· οἷον ἁλώσιμόν ἐστιν. ὅμοιον τῷ (λ 116)· οἵ τοι βίοτον κατέδουσιν· οὐδέπω γὰρ πάρεισιν οἱ μνηστῆρες ὅτε ἐμαντεύσατο ὁ Ὀδυσσεύς, ἀλλὰ ἀντὶ τοῦ κατέδονται κατέδουσιν εἶπεν.

**CDEHQ** 53 b. ἔννεπε δ' ἀντίον ὁρμαίνων: φροντίζων καὶ τὴν διάνοιαν ἐφιστάς. c. ὁ δὲ λόγος· οὐχ ὑπερέθετο στοχάζεσθαί, φησιν, ἀλλ' ἐξ ἐναντίου ὁρῶν ἔτι εἶπεν. d. ὡς δὲ συνέβαλε τὸ σημεῖον, καὶ οἰκείως ἔννεπεν· οἱ προσβαλοῦντες κατὰ τὰ ἡμέτερα τείχη ἀπολοῦνται καθάπερ οἱ
**DEHQ** δύο δράκοντες· | ὁ δὲ κατὰ τὸ Αἰακοῦ τείχισμα ἐλθὼν δράκων κρατήσει, τουτέστιν οἱ προσβαλοῦντες κατ' ἐκεῖνο τὸ
**CDEHQ** μέρος· | ὥστε ἀπὸ τῶν τριῶν, ἐπειδὴ τὸ τρεῖς ἀρχὴ πλήθους ἐστί, τὸ πλῆθος τῶν Ἀχαιῶν εἰς σημείωσιν ἦχθαι. e. τινὲς δὲ εἰς τὸ ἐγγὺς ἔτι τὸ αἴνιγμα θέλουσιν ἄγειν.
**BCDEQ** | ἐπειδὴ γὰρ οἱ δράκοντές εἰσι τρεῖς, ὧν δύο ἀπέθανον, εἷς δὲ εἰσῆλθεν, ἀνάγει πρὸς τοὺς ἐξ Αἰακοῦ καὶ λέγει· Τελαμὼν καὶ Πηλεὺς ἀδελφοί· δύο τούτων παῖδες προσβαλοῦσι μέν, ἀπολοῦνται δέ, Αἴας καὶ Ἀχιλλεύς· ὁ δὲ εἷς Νεοπτόλεμος, ὃς καὶ ἐντὸς τῆς πόλεως ἐγένετο, οὗτος κρατήσει τῆς πόλεως· ὥστε τὸ ἀνάλογον σώζεσθαι καὶ δράκοντι τῷ εἰσελθόντι καὶ σωθέντι. 61 B

**BCEQ** 53 f. ὁρμαίνων: διαλογιζόμενος. διανοούμενος. g. εἶπε δὲ ὁ Ἀπόλλων, ἐναντίον καὶ ἀδέξιον θεασάμενος τὸ γεγονὸς τέρας.

---

2 ante ἐργασίας ras., σ corr. (in scrib.); fuit ft. περγαμ 3 οἵ τοι Hom.: οὗτοι 4 παρῆσαν **V** (251, 9) 6 ἔννεπε δ' om. **Qv** 7 ὁ δὲ λόγος **Qv**: ὃ δὲ λέγει **DEH** ὁ δὲ **C** 8 ἐξ ἐναντίου **CD**$^{cp}$**H**: ἐξ ἀντίου **E** ἐξεναντίου **Qv** ἐξ ἐναντίας **Ab** || ὁρῶν ἔτι] ὁρμῶν? Beck, **b** || εἶπεν] cetera seq. 55c; cfr. 53a 9 συνέβαλλε **E** || οἰκείως corruptum; ft. εὐθέως || ἔννεπεν **EQ**: ἔνεπεν **CHv** ἔννεπεν ὁ Ἀπόλλων **D** 10 ἀποσοβοῦνται **C** 11 τὸ **HQv**: τοῦ **DE** 12 προσβαλοῦντες **E**: προσβαλόντες **DQv** προσβάλλοντες **H** 15 τινὰ **E** || τοὺς ἐγγὺς τὸ αἴν. ἔτι **Qv** || ἐγγὺς] ft. ἐγγύτερον 16 ὧν οἱ δύο **Bv** 17 ὁ δὲ εἷς **Bv** || ἀνάγει — λέγει **B**: λέγεται δὲ (om. ἀνάγει — καὶ) 18 δύο ἀδ. **Q** δύο ἀδ. δύο **v** 19 ἀπολεῖται **E** || Αἴας δηλονότι καὶ **v** || Ἀχιλεύς **B** 21 καὶ — 22 σωθέντι om. **D** 23 ἄλλως praem. **CQv** 24 ἀδέξιον] ἄδοξον **Bv**

55 a. *Πέργαμος ἀμφὶ τεαῖς*: Πέργαμος, ἡ ἀκρόπολις. B(C)DQ
Ὅμηρος (Ε 446)· Περγάμῳ εἰν ἱερῇ. b. ἀποστρέφει δὲ
τὸν λόγον πρὸς Αἰακόν· ἡ πόλις δέ, ὦ ἥρως Αἰακέ, τῶν
Τρώων εὐάλωτος γενήσεται κατὰ τὴν ἐργασίαν τῶν σῶν
χειρῶν, ὡς ἐμοὶ τὸ σημεῖον τὸ γεγενημένον ἐκ τοῦ Διὸς
δηλοῖ. c. ἄλλως· κατὰ τὰς σὰς ἐργασίας ἡ Πέργαμος ἁλίσκε- BEQ
ται· οἷον ἁλώσιμος ἔσται· | ὅμοιον τῷ (λ 115)· οἵ τοι βίο- BCEQ
τον κατέδουσιν, ἀντὶ τοῦ καταβρώσονται. οὐδέπω γὰρ παρ-
ῆσαν οἱ μνηστῆρες ὅτ' ἐσφαγίαζεν ὁ Ὀδυσσεύς, ἀλλὰ ἀντὶ
τοῦ κατεδοῦνται κατέδουσιν εἶπε.

57. *φάσμα* τὸ φάντασμα καὶ σημεῖον. εἴρηται δὲ παρὰ CEQ
τὸ φαίνειν καὶ δηλοῦν.

59. *ἀλλ' ἅμα πρώτοις*: συμπεριλαμβάνει καὶ τὸν A
Αἰακόν· πρῶτοι γάρ εἰσιν οἱ περὶ Πηλέα καὶ Τελαμῶνα, δεύτεροι δὲ Ἀχιλλεὺς καὶ Αἴας τούτων ὄντες υἱοί· τρίτος δὲ Νεοπτόλεμος· συγκαταριθμουμένου δὲ καὶ Αἰακοῦ γίνεται τέταρτος. σὺν Ἡρακλεῖ δὲ ἐστράτευσε καὶ Πηλεύς, οὐ μόνος Τελαμών, ὡς καὶ Εὐριπίδης φησὶν ἐν Ἀνδρομάχῃ (796 sqq.) ..... ὅτι μόνος Τελαμών. συγκαταριθμούμενος οὖν τέταρτος Νεοπτόλεμος. *πρώτοις* οὖν τοῖς περὶ Πηλέα πολεμήσασι, *τετάρτοις* Νεοπτολέμῳ, συναριθμουμένου καὶ Αἰακοῦ, εἰ καὶ μὴ ἐμαχέσατο.

60 a. *πρώτοις ἄρξεται καὶ τετράτοις*: ἰδίως κατὰ BCDEQ
τὴν φράσιν οὐ τῷ αὐτῷ ἀριθμῷ κέχρηται. ὅτε μὲν γὰρ λέγει

---

1 sch. Δ 508. Ap. soph. Hesych. 11 Hesych. 17 sch. Eur. Andr. 796

---

2 Ὅμηρος — ἱερῇ om. **D** ‖ ἐν **B**ac**Q** 3 ὦ et Αἰακέ om. **DQ** δὲ ὦ ἥρως om. **C** 5 χερῶν **BC** ‖ σημεῖον τὸ **BE**: σῆμα **D** σῆμα τὸ **CQ** 6 ἄλλως **BQ**: Πέργαμος ἀμφὶ τεαῖς **E** 7 τᾷ **BCQ**: τὸ **E** ‖ οἵ τοι **E**: βίον τοι **B** ἤτοι **CQv** ‖ βίοτον **B(C)Q**: βίθιον **E** 8 καταβράσονται **E** 9 ὁ Ὀδ.] om. **E** ὁ Δ.υ **C** ‖ ἀλλὰ **(C)EQ** (ut **A**): om. **B** (10 κατεδοῦνται omnes) 11 φάσμα] φάσμα: φάσμα λέγει **Qb** ‖ καὶ σημεῖον **CE**: τὸ σῆμα **Q** ‖ δὲ om. **b** 15 Ἀχιλεὺς 17 μόνος] ς ex corr. 21 Νεοπτολέμου: **b** 22 ἐμαχέσσατο 23 πρώτοισιν **DQv** ‖ καὶ τετρ. om. **Q** ‖ τετάρτοις **E** ‖ ἰδίως] ὁμοίως **Q** 24 λέγεται **E**

πρώτοις, οὐ συγκαταριθμεῖται Αἰακός, ὅτε δὲ λέγει τετράτοις, συμπεριλαμβάνει καὶ τὸν Αἰακόν. πρῶτοι μὲν οὖν εἰσιν οἱ περὶ Πηλέα καὶ Τελαμῶνα, δεύτεροι δὲ Ἀχιλλεὺς καὶ Αἴας, τρίτος δὲ ὁ Νεοπτόλεμος· συγκαταριθμουμένου δὲ τοῦ Αἰακοῦ γίνεται τέταρτος. στρατευομένου εἰ δὲ μεθ' Ἡρακλέους ἐπὶ τὸν Λαομέδοντα Πηλεὺς ⟨καὶ Τελαμὼν⟩ κατὰ τὸν Πίνδαρον, κατὰ δὲ τοὺς ἄλλους μόνος Τελαμών. δεύτεροι δὲ ποιοῦνται στρατείαν μετ' Ἀγαμέμνονος Ἀχιλλεὺς καὶ Αἴας· μετὰ δὲ ταῦτα Νεοπτόλεμος στρατεύσας αἱρεῖ τὴν Ἴλιον. τὸ σημαινόμενον οὖν ἐστι, πρώτοις τοῖς περὶ Πηλέα, τετάρτῳ δὲ τῷ Νεοπτολέμῳ συγκαταριθμουμένου τοῦ Αἰακοῦ.

B(C)EQ 60 b. ἄλλως· *πρώτοις ἄρξεται καὶ τετράτοις*: ἁλωθήσεται δὲ ἡ Τροία οὐ χωρὶς τῶν σῶν ἐκγόνων, ἀλλ' ἀρχὴν μὲν ἕξει τοῦ πορθεῖσθαι ἀπὸ τῶν σῶν παίδων (τῶν περὶ τὸν Πηλέα λέγει καὶ Τελαμῶνα· οὗτοι γὰρ συνεστράτευσαν Ἡρακλεῖ ἐπὶ τὴν Ἴλιον διὰ τοὺς Λαομέδοντος ἵππους), ἁλωθήσεται δὲ ὑπὸ τῶν τετάρτων ἀπὸ σοῦ· ἔστι δὲ ὁ Πύρ-
BEQ ρος. c. ἅμα οὖν *πρώτοις ἄρξεται καὶ τετάρτοις*· πρῶτοι γάρ, ὡς προείπομεν, ἐπολέμησαν τοῖς Τρωσὶν ⟨οἱ⟩ συστρατεύσαντες Ἡρακλεῖ, ὡς καὶ Ὅμηρος μνημονεύει (Ε 638 sqq.)· *καὶ τετάρτοις*· Πύρρον λέγει τὸν καὶ Νεοπτόλεμον· τέταρ-
BCEQ τος γὰρ ἐξ Αἰακοῦ. | Αἰακοῦ γὰρ Πηλεύς, οὗ Ἀχιλλεύς, οὗ Νεοπτόλεμος. τὸ τοίνυν τῶν δρακόντων σημεῖον πρὸς τοῦτο ἔχει τὴν ἀναφοράν. 53e B

---

1 συναριθμεῖται Q ‖ ὁ Αἰακός CD 1. 2 τετράτοις CD: τετάρτοις 2 καὶ om. Bv 3 τὸν Πηλέα CD 3. 4 Ἀχιλεὺς B 4 καὶ om. E 5 γίνεται τέταρτος στρατευομένου (-όμενος Qb) εἰ CDEQ: στρατευομένου γίνεται τέταρτος. οἱ Bv. Ft. ⟨οἱ⟩ στρατευόμενοι scrib. 6 Ἡρακλέος BCD ‖ τοῦ Λαομέδοντ(ος) Bv 6. 7 supplevi 7 τὸν om. CD ‖ τοὺς om. D 7. 8 μόνος Τελαμών EQ: Τ. μόνος B Τελαμώνιος v μόνος ὁ Τ. C(D) 9 Ἀχιλεὺς B ‖ μετὰ δὲ ταῦτα] τρίτος δὲ ὁ C[ac] μετὰ δὲ τοῦτον ὁ C[pc] 11 τετάρτοις C 13 ἄλλως om. E ‖ τετάρτοις codd. 14 ἀρχὴν CEQ: ἀρχὰς B 17 ἵππους CEQ: παῖδας B 18 δὲ om. B ‖ ὑπὸ] ἀπὸ E 19 πρώτοις om. Q ‖ πρῶτοι EQ: πρώτοις B 20 οἱ addidi 20. 21 συστρατεύσαντες] σ. δὲ E 22 τετάρτ(οις) B τέταρτον v ‖ καὶ om. Q 23 Πηλεὺς οὗ om. E ‖ Ἀχιλεὺς B

61 a. ὡς ἄρα θεὸς σάφα εἴπας: ταῦτα τὰ περὶ τῶν BCDEQ
δρακόντων σημεῖα σαφῶς διαλύσας ὁ Ἀπόλλων εἰς τοὺς
ἰδίους ἐστέλλετο κλήρους.
61 b. (εἴπας:) σημείωσαι τὸ εἴπας. B[gl]
62 a. Ξάνθον ἤπειγεν: ποταμὸς Λυκίας· ἀφ' οὗ δη- A
λοῖ ὅτι εἰς Λυκίαν ἠπείγετο. b. ἤπειγε δὲ ἀντὶ τοῦ
ἠπείγετο, ἐνεργητικὸν ἀντὶ παθητικοῦ.
62 c. Ξάνθον ἤπειγεν καὶ Ἀμαζόνας: ἀπὸ κοινοῦ BCDEQ
τὸ ἔσπευδεν, | εἰς τὰς Ἀμαζόνας, οὔσας παρὰ τῷ Θερμώ- BCEQ
δοντι ποταμῷ τῆς Παφλαγονίας· ἵν' ἔχῃ τὸ ἑξῆς οὕτω,
κατὰ τὸν τῆς χωρογραφίας λόγον· πρῶτον μὲν εἰς Λυκίαν
ἔσπευδεν· | ἔπειτα εἰς τὰς Ἀμαζόνας· εἶτα ἐκεῖθεν διέβαινεν BCDEQ
εἰς Σκυθίαν καὶ ⟨ἐπὶ⟩ τὸν Ἴστρον ποταμὸν (λέγει δὲ τοὺς
Ὑπερβορέους) παρεγένετο. καὶ τὰ μὲν πρῶτα χωρία τῆς
Ἀσίας εἰσί, τὰ δὲ δεύτερα τῆς Εὐρώπης.
62 d. Ξάνθον ⟨ἤπειγεν⟩: ἔσπευδεν. e. ἐκ δὲ τού- B(C)DEQ
του εἰς Λυκίαν· ἱερὰ γὰρ τῷ θεῷ.
63. Ἴστρον ἐλαύνων: εἰς Ὑπερβορέους, ἔνθα Ἴστρος BCDEQ
τὰς πηγὰς ἔχει. 64[d] E
64 a. ὀρσοτρίαινα: ὁ μὲν οὖν Ἀπόλλων, φησίν, εἰς A
τὸν Ξάνθον καὶ εἰς τὸν Ἴστρον ἠπείγετο· ὁ δὲ Ποσειδῶν
εἰς Ἰσθμὸν ἤλαυνε χωριζόμενος ἐκ τῆς Τροίας καὶ ἀπο-
πέμπων τὸν Αἰακὸν δεῦρο, τουτέστιν εἰς Αἴγιναν. θηλυ-
κῶς τὴν Ἰσθμόν, ὡς ἐν ἄλλῳ (O. VII, 148 vulg.)
64 b. ὀρσοτρίαινα δ' ἐπ' Ἰσθμῷ ποντίᾳ: κλητικὴ BCDEQ
ἀντὶ εὐθείας, ὡς καὶ παρ' Ὁμήρῳ (Π 33)· ἱππότα Πηλεύς.
c. ὁ δὲ νοῦς· ὁ δὲ ὀρσοτριαίνης Ποσειδῶν ἐπὶ Ἰσθμοῦ

---

4 Gregor. Cor. p. 481 S. 25 sch. *A* 175. EG 393, 32. sch. T *H* 384. Eust. Il. 686, 25. Greg. Cor. p. 96. 603 S.

---

2 σαφῶς om. **CD** 8 καὶ Ἀμ. om. **DQ** ‖ ἀπὸ — 9 Ἀμαζόνας om. **C** 10 ἔχοι **E** 11 μὲν **B**: om. 13 suppl. **h** 14 παρεγένετο om. **C** 16 l. supplevi ‖ ἔσπευδεν **BDE**: ἤπειγεν **Q**v 18 Ἴστρον] ἐς Ἴστρον **Q** 23 δεῦρο **b**: δεύτερον 25 δ' ἐπ' — ποντίᾳ om. **Q** ποντίᾳ om. **D** 26 ἀντὶ] ἀντὶ τῆς **B** ‖ παρ' Ὁμήρῳ] Ὅμηρος **Q** 27 ἐπὶ] ἐπὶ τοῦ **EQ**

τοῦ παραθαλασσίου, ὅς ἐστι πλησίον τῆς Κορίνθου, ἠπείγετο [θεάσασθαι]. 69 BDEQ

BCEQ 64 d. ἐπ' Ἰσθμῷ ποντίᾳ: ἐπίφορός ἐστι πρὸς τὰ θηλυκά, ὡς τὸ ἐν αἰνᾷ Ταρτάρῳ (P. I 15)· ὡς καὶ νῦν τῇ Ἰσθμῷ. $64^{b}$ E

HQ 65 a. ἅρμα θοὸν τάννυεν: εἰς δρόμον παρώξυνεν. Ὅμηρος (Π 375)· τανύοντο δὲ μώνυχες ἵπποι.

A 65 b. τάννυεν: ἀπὸ τοῦ παρακολουθοῦντος ⟨ἀντὶ⟩ τοῦ ἤλαυνεν. ⟨Ὅμηρος⟩ (l. l.)· τανύοντο δὲ μώνυχες ἵπποι. ὅταν γὰρ τρέχωσι, τείνονται. 68

BCEQ 66. ἀποπέμπων Αἰακὸν δεῦρο: εἰς τοῦτον τὸν τόπον· ὑπόκειται γὰρ τὸ ἐγκώμιον ἐν Αἰγίνῃ. ἀπὸ τοῦ χοροῦ δὲ ὁ λόγος. 70 BEQ

A 67. δεῦρ' ἵπποις: δεῦρο, εἰς τοῦτον τὸν τόπον. ἐν Αἰγίνῃ. 69

A 68. Κορίνθου δειράδα: ἐν γὰρ τῇ Κορίνθῳ τιμᾶται ὁ Ποσειδῶν. δειράδα δὲ κυρίως τὸν τράχηλον, καταχρηστικῶς δὲ πάντα τὰ ἆθλα. ὁ δὲ Ἰσθμὸς στενοῦται ὡς ἐπὶ σώματι τράχηλος. 67

ABDEQ 69. ⟨δαιτικλυτάν:⟩ τὴν τὰς θυσίας αὐτῷ καὶ τὰς τιμὰς ἐνδόξως τελοῦσαν. $64^{d}$ BQ 66 E

A 70 a. τερπνὸν ἐν ἀνθρώποις: οἷον οὐ **πάντες** ἐπὶ τοῖς αὐτοῖς χαίρουσιν οὐδὲ τέρπονται· τάχα γὰρ ἂν ὑπό τινων φθονηθείην, εἰ παρεκβὰς τὸν ὕμνον Μελησίαν ἐπαινέσω. πράξω δὲ ὅμως τὸ τοιοῦτον, εἰ καὶ μὴ πᾶσι χαρίζομαι.

---

3 sch. P. I 29. sch. A Α 312 8 Hesych. τανύοντο. Ap. soph. 150, 23 17 Hesych. δειράδες· αὐχένες καὶ τραχηλοειδεῖς τῶν ὀρῶν.

---

1. 2 ἐπείγεται **EQ** 2 θεάσασθαι (ex gl. ortum?) seclusi. Seq. 69 τὴν — τελοῦσαν **BDEQ** (pro quibus τὴν θυσίαν **C**), ante quae **b** lacunam indicavit, ἐθέλων τὴν Κόρινθον suppl. Bergk; alia vid. ap. Mommsen. suppl. p. 111 4 ἐν αἰνᾷ Ταρτάρῳ Schneider fr. 147: εὐδίνα ταρταρία **Br** ἐν δίνα ταρταρία **CEQ** ‖ τῇ **BQ**: τῷ **E** 9 supplevi ‖ ἐτανύοντο 10 ὅταν **A**: ἐὰν **b** 11 ἀποπέμπων **CQ**: πέμπων **BE** ‖ δεῦρο om. **B** 14 τοῦτον τὸν **V**: τοσοῦτον **A** 18 ἆθλα **A** prave: ἄλλα **b** (male) 20 l. suppl. Mommsen suppl. p. 111 24 φθονηθαίην? **A** | παραβὰς: ego

70 b. σπουδάζουσιν εἰς ὑπεροχὴν ἔχειν· διὸ οὐδ' ἓν παρ' αὐτοῖς ἐστι τερπνόν. **E**

70 c. τερπνὸν δ' ἐν ἀνθρώποις ἴσον ἔσσεται οὐδέν: διάφοροι τῶν παλαιῶν ἐξηγήσεις περὶ τοῦτο γεγόνασι τὸ ῥητόν. οἱ μὲν γὰρ οὕτως· ἐπειδή, φασι, διεχώρισε τοὺς θεοὺς καὶ ἕκαστον ἐπὶ τοὺς ἀρεσκομένους ἤγαγε τόπους, οἰκείως ἐπάγει τὸ κῶλον, ὅτι ἴσως οὐδὲν τερπνόν ἐστι τοῖς πᾶσιν, οὔτε μὴν ἀνθρώποις οὔτε θεοῖς. οἱ δὲ οὕτως· ἐπειδὴ καινοτέρῳ τῷ τρόπῳ τῶν ἐγκωμίων ἐπιβάλλει τρεῖς ἅμα καθ' ἕνα ἐπίνικον ἐγκωμιάσας, φασὶ τὸν Πίνδαρον λέγειν ὑπεραπολογούμενον τοῦ ἐγχειρήματος ταῦτα· οὐδὲν ἴσως τερπνόν ἐστι τοῖς πᾶσιν· εἰ γὰρ ἀηδὲς τοῦτο τοῖς ἄλλοις δοκεῖ, ἀλλ' οὖν ἐμοὶ προσφιλές. **BCDEQ** | ὡς Ὅμηρος (ξ 228)· **BCEQ**

ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις.

d. ἄλλως· οὐχ ὁμοίως ἐπὶ τοῖς αὐτοῖς τέρπονται ἅπαντες· ἄλλος γὰρ ἄλλο προκρίνει. οὐδὲν δὲ τοῦ νικᾶν τερπνότερον παρὰ τοῖς ἀνθρώποις. **BEQ**

71 a. εἰ δ' ἐγὼ Μελησίᾳ: εἰ δὲ ἐγὼ ἐκ τῶν ὕμνων τῶν ἀγενείων ἐπὶ τὸ τοῦ Μελησίου κῦδος ἀνέδραμον, μηδὲ εἷς φθόνον μέμψαιτό μου. b. ἄλλως· εἰ δ' ἐγώ, φησι, τὸ γενόμενον τῷ Μελησίᾳ ἐκ τῶν ἀγενείων κῦδος ἀνέδραμον τῷ ὕμνῳ, τοῦ Ἀλκιμέδοντος ἀφέμενος· οἷον, παρεκβὰς ἦλθον ἐπ' αὐτόν· ἀνέδραμον δὲ νῦν ἔφη διὰ τὸ προγενεστέραν εἶναι τὴν τοῦ Μελησίου νίκην τῆς ἐνεστώσης. ἔνιοι δὲ τὸ ἀνέδραμον ἀκούουσιν ἀντὶ τοῦ ἀναδραμοῦμαι· οἷον, εἰ τὸν ἀθλητὴν καταλιπὼν ἐπὶ τὸν ἀλείπτην ἐλεύσομαι καὶ ὑμνήσω, μηδεὶς [δὲ] με μεμψάσθω. Ὅμηρος (ρ 14)· ὁ ξεῖνος εἴπερ μάλα μηνίει. **A**

---

3 ἴσον — οὐδέν om. **C** ἴσον ἔσσεται om. **EQ** ἔσσεται οὐδέν om. **D** ‖ ἴσον ἔσεται codd. 3. 4 οὐδ' ἓν **E** 5 φασι Beck: φησι 9 καινοτέρ(ου) τοῦ τρόπου **E** ‖ τρόπῳ] προσώπῳ **D** ἀσωπῷ **C** (om. τῶν ἐγκ.) 10 ἐπίνικον **BCQ**: ἐπινίκιον **DE** 10. 11 ὑπεραπολογουμένου **E** 11 ἴσως **BE**: ἴσως ὡς **CDQ** 12 τοῖς (pr.) **BEQ**: τοῖς ἀνθρώποις **CD** ‖ ἀειδὲς **EQ** 14 ἐπιτρέπεται **E** 16 ἄλλο γὰρ ἄλλος **EQ** 19. 20 μηδὲ εἷς ego: μὴ δὲ εἷς **A** μηδεὶς εἰς Mommsen suppl. p. 113 22 παραβὰς: ego 23 προγενέστερον: **b** 25 οἷον, εἰ ego: οἱονεὶ 26. 27 ὑμνήσομαι **A**[ac] 27 δὲ seclusi 28 μηνιεῖ

BDEQ 71 c. *εἰ δ' ἐγὼ Μελησίᾳ*: εἰ οὖν καὶ αὐτὸς τῷ Μελησίᾳ τὸν ὕμνον ἐφαρμόζων ἐπὶ τὴν δόξαν αὐτοῦ ἀνέδραμον, ἣν ἔσχεν ἀγωνιζόμενος [ἐξ] ἀγενείων, μηδείς με τοῦ φθόνου τῷ λίθῳ ἀκοντιζέτω, ἀντὶ τοῦ μηδείς με διὰ βασκα-
BCDEQ νίαν κακῶς ἀγορευέτω. | Μελησίας δὲ ἀπὸ ἀθλητῶν νῦν ἀλείπτης τοῦ Ἀλκιμέδοντος. d. ἢ οὕτως· εἰ δὲ ἐκ τῶν ὕμνων τοῦ Ἀλκιμέδοντος ἐπὶ τὸ τοῦ Μελησίου κῦδος ἀνέδραμον, ὃ ἔσχεν ἐξ ἀγενείων, μηδείς μοι φθονείτω· ἐρῶ γάρ καί φημι αὐτὸν ὁμοίως ἐν τῇ Νεμέᾳ τὴν αὐτὴν ἐσχη-
BDEQ κέναι χάριν καὶ νίκην· | ταύτην δὲ εἴποιμι ἂν ἣν μετὰ ταῦτα εἰς τὴν τῶν ἀνδρῶν μάχην ἐκ τοῦ παγκρατίου ἔσχεν.

BEQ e. ἄλλως· ὡς τοῦ Μελησίου προηθληκότος καὶ τανῦν ἀλείφοντος καὶ διδάσκοντος τὸν Ἀλκιμέδοντα· ὥστε οὐ τῷ Μελησίᾳ γράφεται ὁ ἐπίνικος, ἀλλὰ τῷ Ἀλκιμέδοντι. ὁ οὖν εἰδώς, φησι, ῥᾳδίως διδάσκει, οὐχ ὁ ἀγνοῶν.

BDEQ 73. *μὴ βαλέτω με*: μηδείς μοι φθονείτω, εἰ εἰς τὸ γεγενημένον τῷ Μελησίᾳ ἐξ ἀγενείων κῦδος ἀνέδραμον τῷ ὕμνῳ ἀποσχόμενος τοῦ Ἀλκιμέδοντος.

BCDEQ 74 a. *καὶ Νεμέᾳ γάρ ἕως τοῦ ἐν παγκρατίῳ*: ταύτην δὲ τὴν μάχην καὶ τὴν νίκην ἐπὶ τῶν ἀγενείων καὶ ἐν ἀν-
BCEQ δράσιν ἔσχεν. b. ὁμοίως ἐν τῇ Νεμέᾳ τὴν αὐτὴν χάριν ἔσχε νίκης ἀγενείων κἀκεῖ παγκρατίου.

ADHQ 74 c. *καὶ Νεμέᾳ γὰρ ὁμῶς*: τὴν γὰρ αὐτὴν χάριν ὁμοίως ἐρῶ καὶ ἐν Νεμέᾳ γεγενημένην αὐτῷ· καὶ γὰρ ἐκεῖ
A νενίκηκε. | δεύτερον ἐξ ἧς πάλιν Νεμεακὴν νίκην αὐτοῦ

---

3 ἐξ ἀγενείων **B**: ἀγενείων **EQ** ἀγένειος **D**. Seclusi ἐξ 4 τῷ λίθῳ om. **E**, suppl. **E**mg ‖ με om. **E** 5 προσαγορ. **D** ‖ δὲ om. **C** ‖ ἀθλητοῦ **hb** (τῶν ἀθλητῶν **C**) 6 post Ἀλκιμέδοντος add. κεῖνα **B** 8 μοι om. **E** 9 φημι **B(C)DE**ac: φημίσω **E**pc**Q** 10 ταύτην] ταῦτα **D** ‖ ἣν] ὃν **D** 14 ἐπινίκιος **E** 15 ἀγνοῶν **A** (77): ἀθλῶν 16 l. om. **D** ‖ μοι om. **E** 17 γενόμενον **D** ‖ ἐξ **BQ**: ἐκ τῶν **DE** 18 ὑποσχόμενος **B** 19 l. om. **C** ‖ ἐκ παγκρατίου **Bv** 20 δὲ **BCQ**: δὲ αὐτὴν **DE** ‖ μάχην] χάριν Schroeder ‖ ἐπὶ] ft. τὴν ἐπὶ 22 ἀγενείων **v**: ἀγενείου ‖ παγκρατίῳ **B** 23 l. sic **A**: om. **D** ἐρέω ταύταν χάριν **HQ** 24. 25 ἐκεῖ νενίκηκε scripsi: ἐκείνην ἐνίκησε **A** ἐκεῖ νενίκηκε τὴν τῶν ἀγενείων **HQ** (cfr. sch. 76 **A**) ἐκεῖ τὴν τῶν ἀγ. νίκην γέγονε **D** 25 ft. δευτέραν ἑξῆς πάλιν

συνίστησι τοῦ ἀλείπτου τῶν νικηφόρων τούτων, εἰς οὓς τὸν ἐπίνικον ἔγραψεν. ἔστι δὲ καὶ αὐτὸς τῶν νενικηκότων τοὺς προεκκειμένους ἀγῶνας.

76 a. τὰν δ' ἔπειτα: τὴν τῶν ἀγενείων. b. τὸ ἔπειτα ἀντὶ τοῦ δή. A

76 c. τὰν δ' ἔπειτ' ἀνδρῶν μάχαν: τὴν νίκην ἐξ ἧς ἐνίκησεν ἄνδρας παγκρατίῳ. HQ

77 a. τὸ διδάξασθαι δέ τοι: ὡς τοῦ Μελησίου προηθληκότος, εἶτα νῦν ἀλείφοντος καὶ διδάσκοντος τὸν Ἀλκιμέδοντα, οὗ ἀλείπτης ἦν. διὸ καὶ ἔφη· τὸ διδάξασθαι δέ τοι εἰδότι ῥαΐτερον· ὁ γὰρ εἰδὼς ῥᾷον διδάσκει, οὐκ ἀγνοῶν. A

77 b. τὸ διδάξασθαι δέ τοι ῥαΐτερον: τὸ διδάξασθαι δέ τι ἐπιστάμενον βέλτιον καὶ εὔκολόν ἐστι, τὸ δὲ μὴ προμαθεῖν ἀπειρίαν ἔχει· τοιγαροῦν τῶν ἀπειράτων ἀνόητοί εἰσι καὶ κοῦφοι καὶ ὡς ἔτυχεν οἱ λογισμοὶ φερόμενοι. ταῦτα δέ φησιν ἐπειδὴ διδάσκαλος ἐγένετο, ἀλείφων τὸν Ἀλκιμέδοντα, καὶ ἀπὸ τούτου αὐτὸν θαυμάζει ὡς ἀπὸ πείρας καὶ ἐπιστήμης διδάσκοντα. BCDEQ

78 a. ἄγνωμον δέ: ἀνόητον δὲ διδάσκειν ἄλλους ὃ μὴ αὐτὸς οἶδεν. οὕτως ὁ μὴ προμαθών. b. ἄλλως· οὐκ ἂν εἴη ἐπιγνώμων οὐδὲ τεχνίτης ὁ μὴ προμαθών. A

80 a. ⟨κουφότεραι:⟩ ἀνόητοι, ἐλαφραί, κεναὶ τῶν ἀμαθῶν αἱ διάνοιαι. Q

80 b. ἀπειράτων φρένες: τὰς τῶν μὴ πεπειραμένων φρένας κουφοτέρας λέγων ἐπὶ τὸ αὐτὸ σημαίνει. A

81 a. κεῖνα δὲ κεῖνος: ὁ μαθὼν καὶ προαθλήσας εὐκολώτερον ἂν διδάξοι ἄλλον, κατὰ ποῖον τρόπον προβαί- A

---

6 δέ ποτ' H ‖ μάχαν om. Q 6. 7 ft. τὴν νίκην: — ἐξῆς 7 ἄνδρας s. ἄνδρα H: ἀνδράσι Qv ‖ παγκρατίῳ G: παγκράτης HQ ⟨ἐν⟩ παγκρατίῳ Schroeder cl. 74 a 12 ἢ ὁ ἀγνοῶν Schroeder 13 τοι Q: τοι τι B τι CDE ‖ ῥαΐτερον om. CQ 14 τι BC$^{1}$DE: τοι C$^{s}$GQ 16 κοῦφοι οἱ λογ. ὡς ἔτυχεν φερόμενοι Q ‖ ft. ἔτυχον 18 post Ἀλκιμέδοντα add. ὁ Μελησίας E$^{mg}$Qv 18. 19 πείρας] μοίρας D 21 αὐτοὺς A$^{ac}$ ‖ ft. ⟨ἢ⟩ οὕτως, et post προμαθών lac.; οὕτως — προμαθών del. Schroeder ‖ προμηθών A$^{ac}$
24 ἀμαθῶν ego: ἀγαθῶν 26 non intellego 28 sq. προβαίνει· οἷον τί θέλων: correxi

*νειν οἷόν τε, θέλοντα ἀπὸ τῶν ἱερῶν ἀγώνων δόξαν λαβεῖν.* b. *ἢ ὁ Μελησίας.*

**B(C)DEQ** 81 a. *κεῖνα δὲ κεῖνος ἂν εἴποι: εἴποι δ' ἂν ἀκριβῶς ἐκεῖνα τὰ ἔργα καὶ ἐμπειρότερον ἐκεῖνος ὁ μεμαθηκὼς καὶ τῇ πείρᾳ τὴν διδασκαλίαν ἀκριβώσας, τὰ τῶν ἀγωνισμάτων ἔργα, καὶ ποῖος τρόπος εἰς εὐδοξίαν ἄνδρα ὁδηγῆσαι δύναται ἐκ τῶν ἱερῶν ἀγώνων ποθεινὴν βουλόμενον δόξαν ἀποφέρεσθαι.*

**A** 83. *τίς τρόπος ἄνδρα: τίς τρόπος ἐκεῖνον τὸν ἄνδρα προάξει ⟨τὸν⟩ ἐκ τῶν ἱερῶν ἀθλημάτων μέλλοντα τὴν ποθεινοτάτην φέρεσθαι δόξαν.*

**A** 86 a. *νῦν μὲν γὰρ αὐτῷ γέρας: λείπει ἢ ἤνεγκεν ἢ περιεποίησεν. οὐ δεκτέον δὲ ὅτι τριακοντάκις Ἀλκιμέδων ἐνίκησεν, ἀλλ' ὅτι Μελησίας γυμνάσας τριάκοντα ἀθλητὰς νίκας αὐτῶν ἐδέξατο. ἦν δὲ τριακοστὸς Ἀλκιμέδων. δύναται δὲ τὸ ἑλών μετοχὴ ἀντὶ ῥήματος τοῦ ἑλεῖν.*

**BCDEQ** 86 b. *νῦν μὲν αὐτῷ γέρας: τῷ Μελησίᾳ.* c. *ἐπὶ τοίνυν τοῦ παρόντος δόξα αὐτῷ ἐστιν ὁ Ἀλκιμέδων τριακοστὸς νικητὴς ἀναδειχθείς. λέγεται γὰρ σὺν τούτῳ ἀλεῖψαι τριάκοντα μαθητάς.* d. *ἄλλως· νῦν τῷ ἀλείπτῃ Μελησίᾳ γέρας ὁ Ἀλκιμέδων περιεποίησε· τὸ γὰρ περιεποίησεν ἔξωθεν προσληπτέον.* e. *οὐ δεκτέον [δὲ] πάντως ὅτι ὁ Ἀλκιμέδων τριάκοντα νίκας ἔσχεν· ἀλλ' ὁ Μελησίας γυμνάσας ἀθλητὰς νίκας αὐτῶν ἐδέξατο τριάκοντα.*

**A** 88 a. *ὃς τύχᾳ μὲν δαίμονος: ὅστις Ἀλκιμέδων τύχῃ μὲν ἀγαθῇ δαίμονος χρησάμενος ἀνδρείας οὐ διαμαρτὼν ἐν τέτρασι παίδων ἀπεθήκατο γυίοις νόστον ἔχθιστον, τουτέστι δ' ἐποίησε παῖδας οὐχ ἡδέως οἴκαδε ἀπονοστῆσαι τῆς νίκης στερήσας· ὡς δ' παῖδας αὐτοῦ καταβεβληκότος.*

---

2 ft. *καὶ ὁ Μ.* 3 *εἴποιμι δ' ἂν* **E** 4 *ἐμπειρότερον* **EQ**: *ἐμπειρότερος* **Bv** *-τατα* **D** 5 *τὴν διδασκαλίαν* **CDEQ**: *τῆς διδασκαλίας* **Bv** 7 *βουλόμενος* **v** (corr. Beck) 10 *προαύξει*: correxi et supplevi ‖ *μέλλοντος*: ego 16 *ἑλεῖν*] ft. *εἷλεν* 18. 19 *τριακοστὸς*] *πρῶτος* **D** 19 *δειχθείς* **CE** ‖ *σὺν τούτῳ* **BCD**: *σὺν τούτοις* **Q** *αὐτοῦ* **E** 20 *νῦν*] *νῦν μὲν* **E** 21 *τὸ γὰρ περιεπ.* om. **DQ** 22 *δὲ* om. **CD?E**; seclusi 24 *τριάκοντα* post *ἀθλητὰς* trp. **Qv**; utrobique scripsit **b** 28 *ἀπονοστήσειν*: **V**

88 b. ὃς τύχᾳ μὲν δαίμονος: ὅστις Ἀλκιμέδων τῆς τοῦ δαίμονος εὐτυχίας καὶ τῆς ἀνδρείας τῆς ἰδίας οὐ διαμαρτὼν ἐν τέτρασι παίδων μέλεσιν ἐναποθέμενος τὴν ἑαυτοῦ ἰσχὺν, τοῖς ἡττηθεῖσι τὴν ἐπὶ τὴν πατρίδα ἀνακομιδὴν ἐχθροτάτην εἶναι παρεσκεύασε, καὶ τὴν γλῶτταν αὐτῶν τῆς παρρησίας ἀφείλετο, καὶ τὸ βάδισμα κρύφιον καὶ ἀπαρρησίαστον πεποίηκε· τοιαῦτα γὰρ τὰ τῶν ἡττωμένων ἀτυχήματα. c. ἄλλως· ὅστις τῆς τοῦ δαίμονος εὐτυχίας οὐχ ἁμαρτήσας, οὐκ ἀποτυχὼν δὲ οὐδὲ τῆς ἰδίας ἀνδρείας, ἐνίκησεν. BDEQ BCEQ

90 a. ἐν τέτρασι παίδων: τουτέστι τέσσαρας παῖδας ἐνίκησε καὶ ἐποίησεν οὐχ ἡδέως οἴκαδε ἀπονοστῆσαι, τῆς νίκης στερήσας· οἱονεὶ κακῶς ἀπέπεμψεν· ὡς τέσσαρας αὐτοῦ καταβεβληκότος. b. ἀπεθήκατο οὖν εἰς τὰ γυῖα αὐτῶν τῶν ἀγωνισαμένων αὐτῷ τὴν ἰδίαν δύναμιν· ἀπὸ τοῦ παρακολουθοῦντος, ἐνίκησεν αὐτοὺς, καὶ ἐποίησεν αὐτῶν τὸν νόστον ἔχθιστον· οἱ γὰρ νικηθέντες ὅταν οἴκαδε ἀπίωσιν, ἐν κατηφείᾳ εἰσίν. c. ἐχθρὰ οὖν αὐτοῖς ἡ ἀνακομιδή· οὐ γὰρ τὸν κατ' εὐχὴν νόστον ἔχουσιν, ἀλλ' ἀπεχθῆ. BCEQ B(C)DEQ

90 d. ἀπεθήκατο γυίοις: ἀπεθήκατο τοῖς γυίοις τῶν ἀνταγωνιστῶν τὴν ἰδίαν δύναμιν, τουτέστιν ἀπὸ τοῦ παρακολουθοῦντος τὸ ἐνίκησε δ' καὶ ἐποίησεν αὐτῶν τὸν νόστον ἔχθιστον. A

91 a. νόστον ἔχθιστον: ἀντὶ τοῦ φήμην κακὴν ἐποίησε παρ' αὐτοῖς· ἕκαστος γὰρ τῶν ὁρώντων ἐπὶ τῆς γλώττης· οὗτός ἐστιν ὁ νενικηκώς, ἐπιφέρει. BCDEQ

---

3 τέταρσι DEQ 4 τὴν (ante πατρ.) om. E 6 post ἀφείλετο add. καὶ τὸ κρύφιον αὐτῶν τῆς παρρησίας ἀφείλετο E || κρύφαιον E 7 γὰρ BE: om. D δὲ Q 10 ἐνίκησεν B: ἐνίκησε γὰρ CEQ 11 l. om. C || τέτρασι B: τέτ(τ)αρσι DEQ || τέσσαρας] δ' ... (lac.) E 12 ἀπονοστήσειν C ἀπονοστήσαντας Q 13 τέσσαρας] δι' E 14 οὖν] γοῦν Bv 15 ἠγωνισμένων αὐτοῦ E 16 ἐνίκησας DQ || ἐποίησας DQ 17 ἐχθίωνα D ἐχθίω Q || ὅταν — 18 ἀπίωσιν post εἰσίν DQ 18—19 in ἀπεχθῆ νόστον ἔχοντες contraxit D 20 ⟨ἐν⟩ τοῖς? Schroeder || γυίοις (alt.) Mommsen suppl. p. 116: υἱοῖς 22 τὸ ft. delend.
24 l.] ἀτιμοτέραν γλῶσσαν C recte 25 ἐποίησε παρ' αὐτοῖς om. C || ἐποίησας B || παρ' αὐτούς Bothe Pindar 2, p. 47
26 νενικηκὼς BEQ (quod non intellego): ἡττηθεὶς C τὴν ἧτταν D

A 91 b. *ἀτιμοτέραν γλῶσσαν*: οἱ γὰρ ἡττώμενοι καὶ σιωπῶσι καὶ λάθρᾳ ἀναχωροῦσιν ὡς ἀπαρρησίαστοι καὶ ἄγνωστοι τῇ πατρίδι. c. ἢ ὅτι οὐχ ὑμνοῦνται.

BE 91 d. *ἀτιμοτέραν γλῶσσαν*: ἀπαρρησίαστον.

B(C)DEQ 92. *καὶ ἐπίκρυφον οἶμον*: οἱ γὰρ νενικημένοι οὐ φανερὰς ὁδοὺς ἀπίασιν, ἀλλ' ἐκτρεπόμενοι διὰ τὸ ἐπονεί-
B(C)EQ διστον τῆς ἥττης. | καὶ ἀλλαχοῦ (fr. 229)· νικώμενοι γὰρ ἄνδρες ἀγρυξίᾳ δέδενται· οὐ φίλων ἐναντίον ἐλθεῖν.

A 93 a. *πατρὶ δὲ πατρός*: τῷ δὲ προπάτορι αὐτοῦ μένος ἐνέπνευσεν ἐναντίον τῷ γήρᾳ, τουτέστιν ἀντὶ γέροντος νέον αὐτὸν ἐποίησε καὶ εὔθυμον. καὶ Ὅμηρος (τ 360)·

αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.

b. ἢ ἐκ τοῦ ἐναντίου· ἡ γὰρ εὐθυμία τοὺς γέροντας νεάζειν ποιεῖ.

BCDEQ 93 c. *πατρὶ δὲ πατρός*: τῷ δὲ πάππῳ αὐτοῦ ἡ τῆς νίκης ἡδονὴ ἐνέβαλε δύναμιν τὴν τοῦ γήρως ἐναντίαν οὖσαν· οἱονεὶ ταῖς εὐφροσύναις καὶ ταῖς ἡδοναῖς ἀνανεάζειν πεποίηκε τὸν γεγηρακότα ἡ χαρά. 100 E

A 94. *ἀντίπαλον*: ἐτυμολογεῖται ⟨παρὰ⟩ τὸ πάλος, ἀπὸ τῶν κατὰ συζυγίαν κληρουμένων ἐν τοῖς ἀγῶσιν ἐν τῷ παλαίειν ἢ παγκρατιάζειν.

A 95 a. *Ἀίδα τοι λάθεται*: πᾶς γάρ τις ἁρμόδια καὶ καταθύμια πράξας τοῦ Ἅιδου λήθην ποιεῖται, τουτέστιν ἀθάνατα φρονεῖ διὰ τὴν παρεστῶσαν εὐφροσύνην.

BCDEQ 95 b. *Ἀίδα τοι λάθεται*: πᾶς γὰρ ἀνὴρ ἁρμόδια

---

19 EM 111, 38. EG 61, 15. Eust. Il. 419, 12, al.

---

4 καὶ ἐπίκρυφον οἶμον (οἶμον B) l. praem. BE || ἀτιμωτέραν Bv 5 καὶ om. CDQ || οἶμον B 6 φανερὰς] φαιδρὰς Q || ἀπιᾶσιν BD ἀπίεσαν E 7 γὰρ] δὲ sch. P. IX, 160 (om. ἄνδρες); om. Plut. de inim. util. 4 p. 88 8 ἀγρυξίων E || οὐ] καὶ NPU (recep. Schroeder) || καὶ οὐδὲ φίλων ἐναντίον τολμῶντες ἐλθεῖν C 13 ἢ del. b; sed ἢ ἐκ τοῦ ἐναντ. corrupta || τοῦ γέροντος A[ac] 15 l.] τὸ δὲ praem. E, ἐνέπνευσε μένος add. EQ 16 ἐναντίαν BC: ἐναντίον E ἐναντίον δύναμιν DQ 16. 17 οὖσαν om. C 19 παρὰ addidi 20 κατὰ] κατὰ τῶν A[ac] 22 ἄιδά τοι 24 ἀφροσύνην: b 25 πᾶς] ποῦ E || ἁρμοδίως CQ

*πράξας τῇ ἑαυτοῦ προαιρέσει Ἅιδου, τουτέστι τοῦ θανάτου, λήθην λαμβάνει· ἤ πού γε τῶν ἁπλῶς κατὰ φύσιν ὀχλούντων οἱονεὶ τὸ φρόνημα· τοιαύτη γὰρ ἡ τῆς φαντασίας εὐπραξία τοῖς εὖ πράττουσιν.*

97. *ἀλλ' ἐμὲ χρὴ μναμοσύναν: ἐμὲ τοίνυν χρὴ τὴν* **BCDEQ** *μνήμην ἀνεγείροντα ὥσπερ κοιμηθεῖσαν καὶ σιωπηθεῖσαν λοιπὸν (λέγει δὲ τῶν προγόνων αὐτοῦ, οἵτινές εἰσι Βλεψιάδαι οὕτω καλούμενοι . . .) οὕτω τὸν εἰς αὐτοὺς ὕμνον πληρῶσαι διηγούμενον τὸν τῶν χειρῶν αὐτῶν καρπὸν, ὅ ἐστιν ἡ νίκη· ἀνεγεῖραι δὲ τὴν μνήμην τῶν προγόνων διὰ τῶν τοῦ Ἀλκιμέδοντος νικητηρίων. Βλεψιαδῶν δὲ φυλὴ ἐν Αἰγίνῃ ἀπὸ Βλεψιάδου προγόνου Ἀλκιμέδοντος.* 101 **E**

99. *Βλεψιάδαις: Βλεψιάδαι ἡ φατρία αὐτῶν ἐστιν,* **A** *ὧν εἷς ἀπόγονος ὁ νικήσας.*

100. *ἕκτος οἷς ἤδη στέφανος: οἷστισι Βλεψιάδαις* **BDEQ** *καὶ ᾧ γένει ἕκτος ὑπῆρξε στέφανος ἤδη ἐκ τῶν ἱερῶν τούτων ἀγώνων.* 95 **E**

101 a. *φυλλοφόρων ἀπ' ἀγώνων: ἤτοι καθὸ οἱ* **ABCDEQ** *νικῶντες ἐφυλλοβολοῦντο· ἢ φύλλα τοὺς στεφάνους εἶπε, διακρίνων αὐτοὺς πρὸς τοὺς δωρίτας καὶ χρηματίτας.*

b. *φυλλίναι οἱ στεφανῖται· δωρῖται οἱ θέματα διδόντες·* **A** *ἀργυρῖται οἱ ἔχοντες χρυσᾶ ἆθλα.*

---

21—22 Poll. 3, 153. Hes. *φυλλίναι ἀγῶνες.* Lex. Bachm. 410, 9. EM 802, 38. — Plut. praec. ger. reip. 27 p. 820

---

1 *τοῦ* om. **B** 2 sqq. sensu cassa; *ἤ πού γε . . . ὀχλούντων ὑπερέχει τὸ φρ.*, tum *φαντ. ἐνέργεια κτλ.* Beck; *ὀλιγωρεῖ* pro *οἱονεὶ* cj. Schroeder 2 *ἢ] εἰ* **Q** ‖ *κατὰ* **BE**: *καὶ κατὰ* **CDQ** (prob. Schroeder) 3. 4 *εὐπραξίας φαντασία* **CDQ** (*φαντασίας* ante *εὐπρ.* del. **Q**); prob. Schroeder 5 *χρὴ τοίνυν* **CDE** 6 *ἀνεγείραντα* **Q** ‖ *κομηθεῖσαν* **E** 7 *λέγει* — 8 *καλούμενοι* alieno loco inserta 7 post *αὐτοῦ* add. *διὰ τῶν τοῦ Ἀλκιμέδοντος νικητηρίων* **E**, sed del. 8 lac. indicavi 9 *διηγούμενος* **DEQ** ‖ *ὅ] ὅς* **Bv** 10 *νίκα* **E** ‖ *μνήμην* **B**: *νίκην* **CDEQ** *μνήμην ἢ τὴν νίκην* **v** 11 *δὲ* om. **D** 15 *ἕκτος* om. **DE** 19 *νικῶντ ς ἐφυλλοβολοῦντο* **CEQ**: *νικ. ἐλιθοβολοῦντο* **B** *νικ. ἐφυλλοφοροῦντυ* **D** *φυλλοφοροῦντες* **A** (om. *νικ.*) 20 *πρὸς* — *χρηματίτας* om. **D** ‖ *δωρίτας* **AC**: *δωριήτας* **BQv** (corr. Beck) *δωρηίτας* **E** ‖ *καὶ* om. **E** ‖ *χρηματίτας* **A**: *χρηματιστὰς ἀγῶνας* **V** 21 *φυλλίναι* ego (cfr. Lobeck proll. p. 213): *φυλλῖδαι* **A** *φυλλῖται* **b** ‖ *θέματα* **b**: *θρέμματα*

BCDEQ 102 a. ἔστι δὲ καί τι θανόντεσσιν: ἔστι δὲ καὶ τοῖς τετελευτηκόσιν ἔννομον καὶ δίκαιον μέρος ἀποδιδόμενον, τὸ τῶν ἐπαίνων λέγει.

A 102 b. θανόντεσσι μέρος: καὶ τοῖς ἀποθανοῦσι μεμέρισται, καὶ οἱ ἀποθανόντες κοινωνοῦσι τῆς τῶν ἐγκωμίων γραφῆς.

B^gl 103. (καννόμον:) ἤτοι κατὰ νόμον.

BCDEQ 104. κατακρύπτει δ' οὐ κόνις κεδνὰν χάριν: τὴν τῶν συγγενῶν ἀγαθὴν χάριν οὐ κρύπτει κόνις, ἀλλ' ἐν φανερῷ κειμένη καὶ τῶν τεθνεώτων ἐφικνεῖται. πρὸς γὰρ τοῦτο τὸ πᾶν λέγει, τὸν μὲν λόγον ἐν τῷ καθόλου τιθείς, τείνων δὲ πρὸς ἐκεῖνο, διὸ τῆς νίκης τούτου ὁ προθανὼν Ἰφίων μετέχει καὶ συνήδεται.

A 105 a. συγγόνων κεδνὰν χάριν: τὴν τῶν συγγόνων ἀγαθὴν χάριν οὐ κρύπτει κόνις, ἀλλὰ ἐν φανερῷ κειμένη καὶ εἰς τεθνεῶτας ἀφικνεῖται· πρὸς γὰρ ⟨τοῦτο⟩ τὸ πᾶν λέγει. b. καὶ γὰρ οἱ προαποθανόντες συγγενεῖς τοῦ Ἀλκιμέδοντος μετειλήφασι τῆς ἐπὶ τῇ νίκῃ δόξης, ὡς εἶναι διὰ τὴν τούτου δόξαν ἀθανάτους αὐτούς.

A 106 a. Ἑρμᾶ δὲ θυγατρός: Ἰφίων πρόγονος Ἀλκιμέδοντος· οἱ δὲ ὅτι πατὴρ αὐτοῦ. b. εἰδωλοπεποίηκεν Ἑρμοῦ θυγατέρα τὴν ἀγγελίαν· ἄγγελος γὰρ οὗτος καὶ διάκτωρ. ὅθεν ἀκούσας ὁ Ἰφίων τῆς τοῦ Ἑρμοῦ θυγατρὸς Ἀγγελίας εἴποι τῷ Καλλιμάχῳ, ὡς καὶ τούτῳ συγγενεῖ ὄντι καὶ προτετελευτηκότι. c. κόσμον δὲ Ὀλυμπίᾳ, τὴν νίκην. d. Ἰφίων πατὴρ Ἀλκιμέδοντος τεθνεώς· Καλλίμαχος δὲ εἷς τῶν συγγενῶν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἀκούσας Ἰφίων τὴν ἀγγελίαν εἴποι ἂν Καλλιμάχῳ. e. ἄλλως· ποιητικῶς ἀναπλάττει τῆς ἀγγελίας. ἢ ἴσως ὡς αἴσθησιν ἐχόντων τῶν τεθνεώτων λέγει. f. ὁ δὲ νοῦς· παρὰ δὲ τῆς

---

1 l. CDEQ: ἔστι καὶ θανόντεσσιν Bv 2 τελευτηκόσιν BD ‖ μέρος om. E 6 γραφῆς ego: ταφῆς 8 κεδνὰν χάριν om. CD 9 οὐ om. E 10 τεθνηκότων Q ‖ ἀφικνεῖται E 12 ἐκεῖνον CDQv ‖ τούτου om. E 14 κενεὰν 16 supplevi ex V 20 ἕρμα 24 συγγενεῖ ὄντι V: συγγειτνιῶντι A 25. 26 τῇ νίκῃ 28 Καλλίμαχος 29 ἀναπλ. τ. ἀγγ. corrupta; aut ἀναπλ. τὰς ἀγγ. aut ἀναπλ. . . . . . (lac.) τῆς ἀγγ. cj. Schroeder

τοῦ Ἑρμοῦ θυγατρὸς ἀκούσας ὁ Ἰφίων εἴποι ἂν Καλλιμάχῳ τῷ συγγενεῖ αὐτοῦ . . . ἐκ τοῦ Ὀλυμπιακοῦ ἀγῶνος ὁ Ζεύς. Ἰφίων δὲ καὶ Καλλίμαχος κατὰ μέν τινας ⟨ἁπλῶς συγγενεῖς⟩ τοῦ Ἀλκιμέδοντος, κατὰ δὲ ἐνίους ὁ Ἰφίων μὲν πατήρ, Καλλίμαχος δὲ θεῖος. g. ὅτι δὲ ὁ Ἑρμῆς καὶ ἐπουράνιος καὶ ἐπίγειος καὶ ὑποχθόνιος δηλονότι καὶ κῆρυξ θεῶν ἐν οὐρανῷ καὶ ἐν γῇ· καὶ ὅτι ὑποχθόνιος, μαρτυρεῖ Ὅμηρος (ω 1)·

Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο.

Ἀγγελία δὲ ὄνομα κύριον τῆς θυγατρὸς Ἑρμοῦ.

106 h. ἀκούσας Ἰφίων: ὁ Ἰφίων πρόγονός ἐστιν Ἀλκιμέδοντος [οὗτος]. i. εἰδωλοπεποίηκεν Ἑρμοῦ θυγατέρα τὴν ἀγγελίαν· ἄγγελος γὰρ ὁ θεὸς οὗτος. ἀκούσας οὖν, φησιν, ὁ Ἰφίων τῆς τοῦ Ἑρμοῦ θυγατρὸς Ἀγγελίας ἐννέποι τῷ Καλλιμάχῳ, ὡς καὶ τούτῳ συγγενεῖ ὄντι καὶ προτετελευτηκότι. τί ἂν οὖν ἐννέποι; τὸν κόσμον τὸν ἐν Ὀλυμπίᾳ, τουτέστι τὴν νίκην. ἡ γὰρ ἑνὸς νίκη πᾶν τὸ γένος κοσμεῖ. k. Ἰφίων καὶ Καλλίμαχος κατὰ μέν τινας ἁπλῶς συγγενεῖς τοῦ Ἀλκιμέδοντος, κατὰ δέ τινας Ἰφίων μὲν πατὴρ αὐτοῦ, Καλλίμαχος δὲ θεῖος. 113g D B(C)DEQ

110. ἐσλὰ δ' ἐπ' ἐσλοῖς: ἀγαθὰ ἐξ ἀγαθῶν καὶ καλλίστων παρέχειν αὐτοῖς βούλοιτο ὁ Ζεύς. τὸ δὲ θέλοι εὐκτικῶς. BCDEQ

111 a. ὀξείας δὲ νόσους: διὰ τὰς ἀλγηδόνας. Ὅμηρος (Λ 269)· ABCDEQ

ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα.

---

5 Eust. Il. 561, 34

---

2 lac. indicavi 3 supplevi ex V 4 ἐνίως A[ac] 5 Καλλιμαχ(ου? sine acc.)· ὁ δὲ υἱός: V || δὲ (alt.) ft. delend. 9 ἀγγελ(ία) 10 l.] om. E Ἑρμᾶ δὲ θυγατροί (-ός v) Qv 11 οὗτος B οὗτος δὲ Q: om. CD ὅτι E ft. recte || εἰδωλ. δὲ Ἑρμοῦ CD 14 ἐννέποι ἂν b 15 ἂν om. Bv || τὸν κόσμον — 16 νίκην CDEQ: τὴν νίκην· ταύτην γάρ φησι τὸν κ. τ. ἐν Ὀλ. Bv 19 θεῖος] seq. in E [ἀ]λλ' ἀριστάρματον· ὁ νοῦς· ἀλλ' ἐξοχώτατον ἐκ τῶν ἁρμάτων γέρας ἐν (i. e. sch. P. V 39 init.), inducto ornamento del. 20 ἐσθλὰ et ἐσθλοῖς (C)Dv 21 αὐτοῖς om. B || δὲ om. B || θέλει E 22 εὐκτικόν C 23 διὰ A: ὀξείας εἶπε τὰς νόσους διὰ V 24 Ὅμηρος om. A 25 ἔχοι Bv ἔχει C

b. ἢ ὀξείας διὰ τοὺς πυρετούς. Ἄρατος (Ph. 333)· ὀξέα
BCDEQ σειριάει. c. καὶ ἀποκωλύοι αὐτῶν τὰς ἐπιπόνους καὶ ὀξείας
νόσους. d. ὀξεῖαι δέ εἰσιν αἱ ἐπικίνδυνοι.
A 113 a. εὔχομαι: εὔχομαι μὴ γενέσθαι νέμεσιν αὐτοῖς
μηδὲ φθονηθῆναι περὶ τῶν καλῶν μηδὲ νέμεσιν παρακολουθῆσαι. b. εὔχομαι τῷ Διὶ ἐπὶ τῇ τῶν καλῶν αὐτῶν
μοίρᾳ μὴ ἐπιθεῖναι διχόβουλον καὶ ἐναντίαν νέμεσιν.
BCDEQ 113 c. εὔχομαι ἀμφὶ καλῶν: εὔχομαι μὴ γενέσθαι
νέμεσιν αὐτοῖς, τουτέστι μὴ φθονηθῆναι περὶ τῶν καλῶν.
d. διχόβουλον δὲ τὴν νέμεσιν τὴν ἐπιφθονοῦσαν καὶ ἐναντία ποιοῦσαν οἷς βουλευόμεθα. e. οἷον τὴν διχάζουσαν
BEQ ἀφ' ἡμῶν | καὶ χωρίζουσαν τὰς βουλάς. f. ἢ τὴν ἐναντία
βουλευομένην τοῖς ἤδη προκατωρθωμένοις ὑφ' ἡμῶν. 115 D
BDEQ g. ἄλλως· εὔχομαι δὲ τῷ αὐτῷ Διὶ ἐπὶ τῇ τῶν καλῶν
μοίρᾳ νέμεσιν καὶ βασκανίαν μὴ ἐπιβαλεῖν. 110 D
A 114 a. διχόβουλον: τὴν ἐπίφθονον καὶ ἐναντίαν οὖσαν οἷς βουλόμεθα. b. τουτέστι τὴν διχάζουσαν ἀφ' ἡμῶν
καὶ χωρίζουσαν τὰς βουλάς.
BCDEQ 115 a. ἀλλ' ἀπήμαντον: ἀλλ' ἵνα ἀβλαβῆ τὸν βίον
αὐτῶν διάγων ὁ Ζεὺς καὶ φυλάττων, αὐτοὺς ἐπαίροι εἰς
δόξαν καὶ τὴν πατρίδα αὐτῶν Αἴγιναν.
A 115 b. ἀπήμαντον: ὁ Ζεὺς ἐπάγων ἀπήμαντον βίον
αὐτούς τε αὔξοι καὶ τὴν Αἴγιναν.

PQ Τέλος Ἀλκιμέδοντος.

---

1 ὀξείας om. V  2 ἀποκωλύει CQ ἀποκλύοι E  4 νέμ(ε)σ(ιν) A^ac: νέμεσις A^pc  6 αὐτῶν ego: αὐτὸς  8 l. om. D  9 αὐτῶν CDQ  10 ἐπιφθονοῦσαν BE: ἐπὶ φθόνον CD ἐπίφθονον Q  11 οἷον BQ: ἢ CD ἢ corr. ex οἱ E  12 διαχωρίζ. Qv ‖ τὰς BQ: πρὸς E  13 προκατωρθωμ. GQ: προκατορθωμ. B προκατορθουμ. E  14 τῷ αὐτῷ] αὐτῷ τῷ Q  15 μοίρᾳ νέμεσιν Bv: μοίρᾳ νεμέσει E νεμέσει μοῖραν D νεμέσει καὶ μοίρᾳ Q, om. καὶ  20 αὐτῶν] αὐτοῖς E ‖ καὶ φυλ. ὁ Z. C  21 αὐτοῖς E  23 αὔξοι scripsi: αὔξει Red., ἄξει A

## Scholia in Olympionicarum carmen IX.

*Ἐφαρμόστῳ Ὀπουντίῳ παλαιστῇ.* ABCDEQ

*Τοῦ θ' εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ις'.* DEQ τὸ α' ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον. τὸ β' ἰωνικὸν δίμετρον καταληκτικὸν εἰς τροχαϊκὴν συζυγίαν. τὸ γ' Φαλαίκειον ἀντισπαστικόν. τὸ δ' Γλυκώνειον, οἷόν ἐστιν ἀντισπαστικόν. τὸ ε' ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον. τὸ ϛ' ὅμοιον τῷ δ'. τὸ ζ' ἰωνικὸν δίμετρον βραχυκατάληκτον. τὸ η' ὅμοιον τῷ δ' καὶ ϛ'. τὸ θ' ὅμοιον τῷ ζ'. τὸ ι' περιοδικόν, ἐπίτριτος τροχαῖος. τὸ ια' ὅμοιον τῷ ζ' καὶ τῷ θ'. τὸ ιβ' Γλυκώνειον. τὸ ιγ' ὅμοιον τῷ ζ' καὶ θ' καὶ ια'. τὸ ιδ' ἰαμβικὸν δίμετρον καταληκτικόν. τὸ ιε' ἐπιωνικὸν ἄτακτον, β' σπονδεῖον ἔχον. τὸ ιϛ' ἐπιωνικὸν καθαρὸν δίμετρον ἀκατάληκτον.

ἡ δὲ ἐπῳδὸς κώλων ι'. τὸ α' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ β' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ γ' ἀναπαιστικὸν δίμετρον καταλῆγον μιᾷ συλλαβῇ. τὸ δ' ἰωνικὸν καταλῆγον εἰς τροχαϊκὴν συζυγίαν δίμετρον ὑπερκατάληκτον. τὸ ε' δακτυλικὸν ἐφθημιμερές. τὸ ϛ' προσοδιακὸν τρίμετρον καταληκτικόν· α' ἰωνικὸς ἀπὸ μείζονος, β' χορίαμβος, γ' ἰωνικὸς ἀπ' ἐλάσσονος. τὸ ζ' τρίμετρον

---

2 post ις' add. ἡ δὲ ἐπῳδὴ κώλων (ἐστὶ) ι' EQ   3 ὑπερκατάληκτον D: καταληκτικόν E ὑπερκ. εἰς δισύλλαβον Qv
4 post γ' add. ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον D   5 φαλάγκιον E ‖ ἀντισπαστικόν om. D   7 ὅμοιον τῷ ubique v: ὁμοίως τῷ ubique EQ ὁποῖον τὸ fere D   8 δ' καὶ om. D ‖ καὶ τῷ ϛ' Q   9 περιοδ. (s. χοριαμβικὸν) ἢ ἐπίτρ. Pauw ‖ ἐπίτριτος τροχαῖος Dv: ἐπίτριτον τροχ(αϊκόν) E ἐπίτριτον τροχαῖον Q   10. 11 τῷ ζ'—ια' E: τὸ ζ' D τῷ θ' καὶ τῷ ια' Q
12 β' σπονδεῖον ἔχον D: α' σπ. ἔχον E σπ. ἔχει τὸν β' Q
14 τῆς ἐπῳδῆς τὰ κῶλα EQ ‖ ἐπῳδὸς v: ἐπῳδὴ D   14. 15 ὑπερκατάλ. D   15 ἰαμβικὸν D^s EQ: ἀναπαιστικὸν D^1   16 καταλῆγον DQ: καταληκτικὸν E   17 item ‖ τροχαϊκῇ συζυγίᾳ, om. εἰς, Q   17. 18 ὑπερκατάλ. post col. ε' trp. E   19 ἰωνικοῦ DQ   20 χοριάμβου DQ ‖ ἰωνικὸν D ἰωνικοῦ Q ‖ τρίμετρον Qv: δίμετρον DE

ἐπιωνικὸν βραχυκατάληκτον. τὸ η´ διπλοῦς τροχαῖος ⟨καὶ διπλοῦς ἴαμβος⟩. τὸ ϑ´ ἰωνικὸν δίμετρον βραχυκατάληκτον ἀδιάφορον κατὰ τὴν ἄρχουσαν. τὸ ι´ ἀντισπαστικὸν ἐννεασύλλαβον Σαπφικὸν πλεονάζον τοῦ Γλυκωνείου μιᾷ συλλαβῇ.

A 1 a. τὸ μὲν Ἀρχιλόχου μέλος: Ἀρχίλοχος ἐλθὼν εἰς Ὀλυμπίαν μέλος ἐποίησεν εἰς Ἡρακλέα ἔχον οὕτως (fr. 119)·

τήνελλα καλλίνικε χαῖρε ἄναξ Ἡράκλεις,
αὐτός τε καὶ Ἰόλαος, αἰχμητὰ δύο.

b. τὸ ἑξῆς τοῦ λόγου· τὸ μὲν Ἀρχιλόχου μέλος τὸ φωνᾶεν ἐν τῇ Ὀλυμπίᾳ ἤρκεσεν ἡγεμονεῦσαι παρὰ τὸν Κρόνιον λόφον κωμάζοντι Ἐφαρμόστῳ. e. Ἀρχίλοχος τῷ Ἡρακλεῖ ὕμνον . . . ἀπορήσας κιϑαρῳδοῦ διά τινος λέξεως τὸ μέλος ἐμιμήσατο. συντάξας οὖν τοῦτο τὸ κόμμα· τήνελλα, οὕτως τὰ ἑξῆς ἀνεβάλλετο, καὶ αὐτὸς μὲν τὸ μέλος τῆς κιϑάρας ἐν μέσῳ τῷ χορῷ ἔλεγε, τὸ τήνελλα, ὁ δὲ χορὸς τὰ ἐπίλοιπα. ἐκ τούτου τὸ λοιπὸν οἱ ἀποροῦντες κιϑαρῳδῶν τούτῳ τῷ κόμματι ἐχρῶντο τῷ τήνελλα. τὸ δὲ ὅλον οὕτως·

τήνελλα καλλίνικε χαῖρε ἄναξ Ἡράκλεις,
αὐτός τε καὶ Ἰόλαος, αἰχμητὰ δύο.
τήνελλα καλλίνικε χαῖρε ἄναξ Ἡράκλεις.

d. τριπλόον δὲ διὰ τοῦτο εἶπεν, ἐπειδὴ τρὶς ἐλέγετο τοῦτο τὸ κομμάτιον τοῖς νικῶσι. κωμάζει δὲ πρὸς τὸν τοῦ Διὸς βωμὸν ὁ νικήσας μετὰ τῶν φίλων, αὐτὸς τῆς ᾠδῆς ἐξηγούμενος. e. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὁ μὲν τοῦ Ἀρχιλόχου πεποιημένος ὕμνος ἐδυνάστευσε ῥηϑῆναι κατὰ τοῦτον τὸν ἀγῶνα· ὁ δὲ ὑπ' ἐμοῦ γενόμενος ῥηϑήσεται.

---

5 sch. Ar. av. 1764

---

1 τὸ η´ — 2 βραχυκατάληκτον om. D  1 τροχαῖος] σπονδεῖος Pauw  1. 2 καὶ διπλοῦς ἴαμβος add. v  3 διάφορον E ‖ τὴν om. EQ  3. 4 ἐνvασυλλ. E  5 sqq. De toto hoc sch. 1 cfr. Sybel Herm. V (1870) 192—204  12 ὕμν(ον) A ὕμνου Sybel p. 198 ‖ lac. indicavi; diss. p. 32 ποιήσας suppl. Sybel  13 συντάξας b ex V: ἀνατάξας A προτάξας Bergk ‖ κομμάτιον Sybel p. 198  21 τρὶς Bergk: τρίτον  24 μὲν ⟨ὑπὸ⟩ τοῦ?

1 f. *τὸ μὲν Ἀρχιλόχου μέλος:* ὁ Ἀρχίλοχος πρὸ τούτων τῶν λυρικῶν γενόμενος, θελήσας ὕμνον ἀναβαλέσθαι εἰς Ἡρακλέα ἐν τῇ Ὀλυμπίᾳ, ἀπορήσας κιθαρῳδοῦ διά τινος λέξεως μιμήσασθαι τὸν ῥυθμὸν καὶ τὸν ἦχον τῆς κιθάρας ἐπεχείρησε. συντάξας οὖν τοῦτο τὸ τήνελλα οὕτω τὰ ἑξῆς ἀνεβάλλετο. καὶ αὐτὸς μὲν τὸν ἦχον τῆς κιθάρας ὑποκρινόμενος ἔλεγεν ἐν μέσῳ τὸ τήνελλα καὶ τὰ ἐπίλοιπα, οἷον καλλίνικε χαῖρε ἄναξ Ἡράκλεις, καὶ εἴ τι ἕτερον, οἷον αὐτός τε καὶ Ἰόλαος, αἰχμητὰ δύο, τήνελλα. τὸ λοιπὸν οἱ ἀποροῦντες κιθαρῳδοῦ τούτῳ τῷ κόμματι ἐχρῶντο, τρὶς αὐτὸ ἐπιφωνοῦντες. κεκράτηκεν οὖν ἐπὶ πάντων νικηφόρων παρ' αὐτὸν τὸν καιρὸν τῆς νίκης ἐπᾴδεσθαι τὸ κόμμα. καὶ τοίνυν ἐπὶ τοῦ Ἐφαρμόστου νικήσαντος τοῦτο ἐλέχθη. BCDEQ

g. ὁ δὲ λόγος· τὸ μὲν τοῦ Ἀρχιλόχου μέλος, οἷον τὸ τήνελλα καλλίνικε, φωνηθὲν καὶ προλεχθὲν ἐν τῇ Ὀλυμπίᾳ, ὅπερ μέλος ἔχον τὸ καλλίνικος τρίτον ἐλέγετο μετὰ πλήθους καὶ χοροῦ, ἐξήρκεσε παρὰ τὸ Κρόνιον ὄρος ἐν τῇ Ὀλυμπίᾳ καθηγήσασθαι καὶ προρρηθῆναι τότε χορεύοντι καὶ κωμάζοντι σὺν τοῖς ἑταίροις τῷ Ἐφαρμόστῳ. h. ἄλλως· ὁ μὲν BDEQ

1—9 Tzetzes Chil. I 685: ὡς τοῦτο τοῦ Παρίου δὲ τοῦ Ἀρχιλόχου μέλος, ἐν ᾧπερ καὶ νενίκηκεν, ᾄσας ἐν Ὀλυμπίᾳ, μόνῳ τῷ στόματι λαλῶν, ὡς τῆς χορδῆς κοπείσης. ὅπερ καὶ Πίνδαρός φησι τοῦτον ὑπερθαυμάζων. τὸ μέλος δ' ἄκουε λοιπὸν αὐτοῦ τοῦ Ἀρχιλόχου· τήνελλα. καλλίνικε χαῖρε ἄναξ Ἡράκλεις, αὐτός τε καὶ Ἰόλαος, αἰχμητὰ δύο.

2 ἀναλαβέσθαι B ἀναβάλλεσθαι D 3 ἀπορήσας Gerhard ex A: ἑνὸς V οὐκ ἐνόντος h. Quae seq. licenter mutavit Sybel 5 προτάξας Bergk ‖ τοῦτο B (cfr. A 266, 13) τούτῳ $E^{ac}$: τούτῳ $CDE^{pc}Q$ ‖ τηνελᾶ B (ᾶ corr. ex ὰ?) ‖ οὕτω — 7 τήνελλα om. C 5 τὰ BE: τὸ D καὶ τὰ Qv 7 sqq. confusa 7 τὸ τήνελλα μέσῳ Q, om. ἐν ‖ τηνελλᾶ B (item 9) ‖ τὰ λοιπὰ Bv 8 χαῖρε καλλίνικε E ‖ εἴτι] ἔτι $E^1$ 9 καὶ] καὶ ὁ Bv ‖ αἰχμητὰ B: αἰχματὰ 10 κιθαρῳδῶν C (cfr. A 266, 16) ‖ κόμματι BEQv: ὀνόματι CD ‖ τρὶς Bergk: τρίτον 11 ἐπὶ om. B ‖ πάντων τῶν νικ. V ‖ παρ' BE: τὸ παρ' CDQ 12 αὐτῷ τῷ καιρῷ $E^{ac}$ 14 λόγος Bv: λέγει CDEQ ‖ τοῦ BD: τὸ CE om. Q ‖ τήνελλᾶ hinc ubique B 16 τρὶς Sybel 17 τῇ om. CD 19 ἑταίροις CDQ: ἑτέροις BE

ὑπ' Ἀρχιλόχου, φησί, λεχθεὶς ὕμνος ἤρκεσεν· ὁ δ' ὑπ' ἐμοῦ
BCDEQ νῦν γεγονὼς ῥηθήσεται. | ἔθος δὲ ἦν κωμάζειν τὴν νίκην
ἑσπέρας τοῖς νικηφόροις μετ' αὐλητοῦ· μὴ παρόντος δὲ αὐ-
λητοῦ εἷς τῶν ἑταίρων ἀνακρουόμενος ἔλεγε· τήνελλα καλ-
BCEQ λίνικε. i. ἄλλως· τὸ μὲν Ἀρχιλόχου μέλος, ὃ τοῖς νικῶσι
τὰ Ὀλύμπια ἐπῄδετο, ἦν τρίστροφον, κοινῶς δυνάμενον
ἁρμόζειν ἐπὶ παντὸς νικηφόρου διὰ τὸ κατὰ τῆς πράξεως
αὐτῆς ψιλὸν ἔχειν τὸν λόγον, μήτε δὲ ὄνομα μήτε ἰδίωμα
BEQ ἀγωνίσματος. ἐφυμνίῳ δὲ κατεχρῶντο τούτῳ· | τήνελλα καλ-
λίνικε. τῷ οὖν Ἐφαρμόστῳ, φησίν, ἐπήρκεσε παραχρῆμα
κατὰ τὴν Ὀλυμπίαν τοῦτο τὸ μέλος κωμάζοντι σὺν τοῖς
BCDEQ ἑταίροις. k. τὸ δὲ τριπλόος ὅτι τρὶς ἐπεκελάδουν τὸ καλ-
λίνικε. οὐ καθόλου δὲ τρίς, ἀλλ' ὅτι τριπλῆν ἔχει τὴν στρο-
φὴν καὶ πάλιν ἀναλαμβάνεται. Ἐρατοσθένης δέ (p. 226
Bernh.) φησι μὴ ἐπινίκιον εἶναι τὸ Ἀρχιλόχου μέλος, ἀλλ'
ὕμνον εἰς Ἡρακλέα· τριπλόον δὲ οὐ διὰ τὸ ἐκ τριῶν στροφῶν
συγκεῖσθαι, ἀλλὰ διὰ τὸ τρὶς ἐφυμνιάζεσθαι τὸ καλλίνικε.
BDEQ | περὶ δὲ τοῦ τήνελλα Ἐρατοσθένης φησὶν ὅτι ὅτε ὁ αὐλη-
τὴς ἢ ὁ κιθαριστὴς μὴ παρῆν, ὁ ἔξαρχος αὐτὸ μεταλαβὼν
ἔλεγεν ἔξω τοῦ μέλους, ὁ δὲ τῶν κωμαστῶν χορὸς ἐπέβαλλε
τὸ καλλίνικε, καὶ οὕτω συνειρόμενον γέγονε τὸ τήνελλα καλ-
λίνικε. ἡ δὲ ἀρχὴ τοῦ μέλους ἐστίν· ὦ καλλίνικε χαῖρε
ἄναξ Ἡράκλεες.

BCDQ 2. φωνᾶεν Ὀλυμπίᾳ: οἱ μὲν προσγράφουσι τῷ ᾱ τὸ ῑ
καὶ ἀκούουσι φωνῇ, τὸ τῇ φωνῇ λεχθέν· οἱ δὲ ἀπόστροφον
τιθέντες ἐν τῷ ᾱ τὸ φωνηθὲν καὶ πολυθρύλλητον ἀκούουσιν.

---

1 φησὶ om. D 3 ἐς πέρας v (corr. Pauw) 4 προανακρουόμενος E 5 ὃ] ἢ E 5. 6 τοῖς νικηφόροις τῶν Ὀλύμπων Q 6 κοινῶς — 9 καλλίνικε post 21 τὸ καλλίνικε trp. Sybel p. 196 7 διὰ τὸ om. E ‖ κατὰ] καὶ Qv 9 κατεχρῶντο BQ: κατ' αὐτὸ ἐχρῶντο (C)E 10 φησὶν om. E 11 τοῖς om. B 12 τρὶς om. E ‖ ἐπεκελάδουν B(E)Q: ἐκελάδουν CD 13 δὲ om. Q 17 τρεῖς E^pc 18 δὲ om. E 19 αὐτοῦ E 20 ἐπέβαλε Bv 21 συνειρημένον E 22 χαῖρε om. E 24 φωνᾶεν Ὀλ. Q: φωνᾶ ἐν Ὀλ. B φωνᾶεν C φωνᾶ s. φωναῶν D ‖ τῷ BCQ: εἰς τὸ D ‖ τὸ om. D 25 φωνῇ (pr.) om. Cv 26 τιθέντες ἐν τῷ ᾱ B²C: τιθέναι ἐν τῷ ᾱ Q τιθέναι ἐν τῷ ᾱ καὶ D τίθενται ἐν τῷ ᾱ καὶ B¹

3a. *καλλίνικος ὁ τριπλόος κεχλαδώς*: τρὶς ὑμνοῦν- **BCDEQ** το οἱ νικηφόροι, ἅμα τῇ νίκῃ καὶ ἐν τῷ γυμνασίῳ καὶ ἐν τῇ πατρίδι. b. ἢ ὁ πολλάκις λεγόμενος τῇ νίκῃ. c. ἢ ἐπειδὴ τρία ἰαμβεῖά εἰσιν. d. ἄλλως· *τριπλόος*, ὁ πλή- **BCEQ** θων, οἱονεὶ πλήθει λεγόμενος, ὑπὸ τοῦ πλήθους ᾀδόμενος. e. ἢ ὁ ἁβρυνόμενος καὶ πολλάκις ᾀδόμενος. τοῦτο λέγει κεχλαδώς. f. ἄλλως· *τριπλόος*: ἀκαταλλήλως τῷ μέλος τὸ τριπλόος ἐπήγαγεν ὁ Πίνδαρος, οὐδετέρῳ προσπλέξας τὸ ἀρσενικόν. ἀλλὰ ῥητέον πρὸς τὴν διάνοιαν αὐτὸν ἀπηντηκέναι· Ἀρχιλόχου μέλος ὁ ὕμνος, εἶτα ὕμνος ὁ τριπλοῦς. g. *τριπλόος* δὲ ἤτοι ὁ τρὶς ἐπᾳδόμενος, ἢ τρί- **BEQ** στροφος ὢν κατὰ Ἀρίσταρχον. h. στροφῇ δὲ καὶ ἀντι- **BDEQ** στρόφῳ τὰ τῶν λυρικῶν σύγκειται ποιήματα.

3i. *ὁ τριπλόος κεχλαδώς*: ὁ μετὰ πλήθους κελάδων· **A** ἢ πληθύει τὰ μέλη. k. [*κωμάζοντι φίλοις*:] πλειόνων οὐσῶν ἀντιστρόφων καθ' ἑκάστην στροφὴν ἔφη ὅτι τρὶς ἐπεκελάδουν καλλίνικε λέγοντες. οὐ καθόλου δὲ τρὶς, ἀλλὰ καὶ τριπλῆν ἔχειν τὴν τροπὴν καὶ πάλιν ἀναλαμβάνεσθαι τοῦτον τὸν τρόπον. l. βέλτιον δὲ ὅτι τρὶς ἐπῇδον λέγειν τὸ ἐφύμνιον οἱ κωμασταί· λέγω δὲ τὸ τήνελλα καλλίνικε.

---

15 EM 645, 29: *ὄχλος παρὰ τὸ χλῶ ῥῆμα . . . ὅθεν καὶ τὸ παρὰ Πινδάρῳ ἐν Ὀλυμπιονίκῃ, τριπλόος ὁ κεχλαδώς, ἀντὶ τοῦ ὁ πληθύων*. Id. Orion. 122, 29 (188, 12: — *πλήθων*).

---

1 l.] *τριπλόος* **CD**; id. post *κεχλαδώς* add. **EQ** || *ὁ* **Qv**: om. **BE** || *τρὶς*] *ὅτι τρὶς* **C** 2 *ἅμη* **E** 4 *ἰαμβεῖα* **D**: *ἰάμβια* **BEQ**(**C**cp?) || *ἄλλως* — 5 *λεγόμενος*] *κεχλαδώς· πλήθων* **C** (quod ad l., recte) 4. 5 *πλήθων* (-*ων* **E**cp) *οἱονεὶ πλήθει* (-*ει* **E**cp) *λεγόμενος* **EQ**: *πλήθει λεγόμενος οἱονεὶ* **Bv** 5 *τοῦ* om. **C** 6 *ὁ* om. **B** 7 *ἄλλως* om. **C** || *καταλλήλως* **B** *ὁ καταλλ.* **C** || *τῷ*] *τὸ* **E** 8 *ὁ Πίνδαρος* ego: *ὁ τριπλόος* **BEQ** om. **C** (et Brub.) *τὸ τριπλόος* **b**, om. (cum Beckio) priore *τὸ τριπλ.* 8. 9 *συμπλέξας* **C** 9. 10 *αὐτὸν* **b** (praeeunte Beckio): *αὐτὴν* **B**(ex corr.?)**Cv** *αὐτὸ* **EQ** (Beck) 11 *τριπλος. τρίπλους* **E** || *ἤτοι* om. **E** 12 *ὢν* om. **Bv** || *κατὰ τὸν Ἀρ.* **Bv** 12. 13 *ἀντιστρόφῳ* ⟨*καὶ ἐπῳδῷ*⟩ Sybel Hermes V (1870) p. 193 13 *σύγκεινται* **B** 14 *τρίπλοος κεκλαδώς* 15 ft. *ἢ ὁ πληθύων* 16 *ἀντιστροφῶν* **A**: *στροφῶν* Bergk || *τρὶς* ego: *τρεῖς* 17 *τρὶς* Sybel p. 194: *τρεῖς* 18 *τροπὴν* **A**: *στροφὴν*? Sybel l. l. 19 *τρὶς* id. ibid.: *τρεῖς* || *λέγειν* om. Sybel p. 194; *λέγοντες* cj. Schroeder

Bgl 3 m. (*κεχλαδώς:*) ὁ λεγόμενος. ὁ ὑπὸ ὄχλου ᾀδόμενος. n. ἢ κεκλαδὼς, ὁ κελάδων.

BEQ 8 a. *ἀλλὰ νῦν ἑκαταβόλων:* τότε μὲν οὖν καὶ παρὰ τὸν καιρὸν τῆς νίκης ἐκεῖνα ἐλέχθη ἐν Ὀλυμπίᾳ· νυνὶ δὲ ἀπὸ τῶν τὰ πόρρω βαλλόντων τόξων μουσικῶν. b. τὸ δὲ ὅλον τροπή· τόξῳ μὲν γὰρ τὴν ποίησιν, βέλεσι δὲ τὰ ἐγκώμια παραβάλλει. c. ἄλλως· ἑαυτῷ παρακελεύεται· ABEQ | ἀλλὰ κατὰ τὸν ἐνεστῶτα χρόνον, φησὶν, ἀπὸ τῶν μουσικῶν τόξων ἐπινεμήθητι τοῖς ὕμνοις τὸν Δία καὶ τὴν Ὀλυμπίαν.

BEQ d. *ἑκαταβόλων* δὲ, τῶν εἰς ἅπαντα τόπον διικνεῖσθαι ποιούντων τὰ ποιήματα.

A 11 a. *ἐπίνειμαι:* ἤτοι τῷ χορῷ ἢ ἑαυτῷ παρακελεύεται ὁ ποιητής.

BCDEQ 11 b. *σεμνόν τ' ἐπίνειμαι:* ὕμνει, ἢ ὑμνηθῆναι ποίησον τὴν Πίσαν τὴν πρωτεύουσαν τῶν πόλεων. ἢ διὰ τὸν ἀγῶνα, οἷον τὴν τὸν ἀκρότατον καὶ κάλλιστον τῶν ἀγώνων ἔχουσαν. c. τὸ δὲ ἐπίνειμαι ἢ πρὸς ἑαυτὸν ἢ πρὸς τὸν BEQ χορόν. d. ἄλλως· *ἐπίνειμαι:* ἔπελθε. ἡ δὲ παρακέλευσις BCDEQ ἢ ὡς πρὸς ἑαυτὸν ἢ ὡς πρὸς τὸν χορόν. e. ἔπελθε οὖν, φησι, τὸ ἀκρωτήριον τῆς Ἤλιδος, ὅπερ ποτὲ ὁ Πέλοψ ἐξαίρετον εἴληφε παρὰ τῆς Ἱπποδαμείας νικήσας τὸν Οἰνόμαον ἕδνον.

Bgl 11 f. (*ἐπίνειμαι:*) ἔπελθε. ὕμνησον.

A 12 a. *ἀκρωτήριον Ἄλιδος:* τὴν Πίσαν λέγει. b. ἢ τὴν ἐξέχουσαν τῇ θέσει, ἢ τὴν ἐνδοξοτάτην καὶ πρωτεύουσαν.

Bgl 12 b. (*Ἄλιδος:*) τῆς Ὀλυμπίας.

---

1 sq. glossa incertum an **B**[2] 3 l. et **A** ‖ ἑκατηβόλων **A** ‖ παρὰ **EQ**: περὶ **B** 4 δὲ **BQ**: δὲ καὶ **E** 5 βαλόντων **E** 6 τόξῳ Gedicke Pind. carm. sel. p. 45: τόξον 8 φησὶν **BQ**: φημὶ **A** φασὶν **E** 9 ἐπινεμήθητι **AB**: ἐπινεμήθητί φησι **E** φησὶν ἐπινεμέθητι **Q** (-έ- et v) 10 ἑκατηβόλων **BQv** ‖ δεικνύσθαι **E** 14 ὕμνει ego: ὑμνεῖν **BCQ** νῦν ὑμνεῖν **DE** 16 ἀγώνων] ἀνθρώπων **CQ** 18 χορόν] χρόνον **B** ‖ ἄλλως om. **E** 19 ἑαυτὸν **Qv**: αὑτὸν **BE** 21 sq. ἱπποδαμείας | νικήσας | τὸν οἰνόμαον ‖ ἕδνον **B** dimidiis versuum non expletis 22 ἕδνον **B** ἕδνος **DQ** 24 Ἄλιδος **A**pc

13. *τοιοῖσδε μέλεσιν*: τοιοῖσδε ποιήμασι. τοιούτοις **CDEHQ** ὕμνοις, τοῖς νῦν, καὶ μὴ οἵοις οἱ πρότερον.

15 a. *Πέλοψ ἐξάρατο*: ὁ Πέλοψ κατὰ μέν τινας Λυ- **A** δὸς, κατὰ δέ τινας Φρὺξ ἢ Παφλαγών· κατὰ δὲ Αὐτεσίωνα (FHG IV, 345) Ἀχαιός.

15 b. *κάλλιστον ἕδνον*: ἕδνον νῦν οὐ τὸ παρὰ τοῦ **A** ἀνδρὸς διδόμενον τῇ γαμουμένῃ λέγει, ἀλλ' | ὃ αὐτὸς ἐκεί- **ADEHQ** νην λαβὼν προσεκτήσατο. c. φησὶ τῶν ἐκ τῆς Ἱππο- **ACDEHQ** δαμείας αὐτῷ περιγενομένων δώρων, ὅτε ἔγημεν αὐτὴν, τοῦτο κάλλιστον ἕδνον εἶναι, τὴν τῆς χώρας κτῆσιν. d. ἄλλως· **CDEHQ** ἄκυρόν ἐστιν ἐπὶ τῆς Ἱπποδαμείας τὸ ἕδνον· ἕδνα γὰρ διδόασιν οἱ ἄνδρες, φερνὴν δὲ αἱ γυναῖκες, παρὰ τὸ φέρειν μεθ' ἑαυτῶν.

17 a. *πτερόεντα δ' ἵει*: ἄφιε τὸν γλυκὺν ὀιστὸν καὶ **A** ἐπὶ τὴν **Πυθίαν**, φησὶ, τὸν ὕμνον ἀπὸ τῆς Ὀλυμπίας μεθιστάς. **καὶ** γὰρ ἐν Πυθίᾳ ἐνίκησε, λγ' Πυθιάδι.

17 b. *πτερόεντα δ' ἵει γλυκὺν ὀιστόν*: τροπικῶς τὸν **BCDEQ** ὕμνον. πάλιν δὲ ἢ πρὸς ἑαυτὸν ἢ πρὸς τὸν χορὸν λέγει.

c. καὶ εἰς τὴν Πυθῶνα δὲ ἵει καὶ πρόπεμπε τὸν πτερό- **BDEQ** εντα ὀιστόν. πάλιν δὲ τῇ τροπῇ κέχρηται. παρακελεύεται δ' ἑαυτὸν ἀπὸ τῆς Ὀλυμπίας βαλεῖν τοῖς τῶν ἐγκωμίων βέλεσι καὶ τὴν Πυθῶνα κατὰ σκοποῦ. ἐνίκησε δὲ ὁ Ἐφάρ-

---

3 Tzetzes ad Lyc. 150. sch. O. I 37  6—8 et 9—13 sch. α 276. β 53  12 EM 790, 43. 49. EG 551, 6. Orion. 160, 11

---

1 τοιοῖσδε π.] ἢ π. **E** ‖ τοιούτοις] τοιοῖσδε **E**  2 τοῖς νῦν om. **E**  4 ἀπεσίωνα: **b**  6 l. (ἄλλως·) σεμνόν (τ') ἐπίνειμαι ἀκρωτήριον Ἄλιδος **V** ‖ τὸ παρὰ **b**: παρὰ τὸ  7. 8 ὃ προσεκτήσατο (ὁ) Πέλοψ λαβὼν τὴν Ἱππ. **V**  8 φησι] φησὶ δὲ **CQv** ‖ ἐκ **V**: om. **A**  9 ἔγημεν **V**: ἔστηκεν **A**  10 τῆς **A**: ἐκείνης τῆς **V** (τῆς χ. ἐκείνης **D**) ‖ κτῆσιν **ADE**: κλῆσιν **H** κτίσιν **CQv** (corr. Beck) ‖ ἄλλως om. **EH**  11 ἄκυρον Boissonade Herodian. Epimerism. p. 283: ἄκαιρον ‖ ἐστιν **CDQ**: δ(ὲ) **EH**  11. 12 διδόασιν **CHQv**: δίδωσιν **E** ἔδιδον **D** (post ἄνδρες trp.)  12 φερνὴν **DEH**: φερνὰς **CQv** (sch. α 276) ‖ αἱ om. **E**  14 ὀιτὸν  16 Πυθίᾳ] πυθίδι **A** (-δι ft. ex corr.) ‖ τριακοστῇ **b** ex **V** ‖ πυθίδι **A**; ft. Πυθιάδα  18 λέγει **BE**: τρέπει τὸν λόγον **CDQv**  19 τὴν **DEQ**: τὸν **B**  21 δ' ἑαυτὸν **B**: δὲ αὐτὸν **E** δὲ αὐτὸ **DQ**

μόστος καὶ Ὀλύμπια, ὡς προεῖπον, καὶ Πύθια, ἑβδομηκοστῇ ὀγδόῃ Ὀλυμπιάδι.

Bgl 17 d. (ἴ ε ι :) πέμπε.

BCDEQ 18 a. Π υ θ ῶ ν ά δ' ὀ ι σ τ ό ν: ἀντὶ τοῦ καὶ τὴν Πυθῶνα ὕμνει. b. καὶ πρὸς τὴν Πυθῶνά, φησιν, ἀφίει τὸν γλυκὺν ὀιστὸν, ὅ ἐστι τὸν ὕμνον, ἀπὸ τῆς Ὀλυμπίας μεταβάς. καὶ γὰρ Πύθια ἐνίκησεν ὁ Ἐφάρμοστος τὴν λʹ Πυθιάδα.

BDEQ 18 c. ο ὔ τ ο ι χ α μ α ι π ε τ έ ω ν: οὐ γὰρ δὴ εὐτελῶν οὐδὲ μικρῶν λόγων ἀπάρξῃ περὶ τῶν τοῦ ἀνδρὸς παλαισμάτων

ABDEQ λέγων καὶ τῇ κιθάρᾳ ἐπὶ τούτοις χρώμενος. d. οὐ τοιούτων λόγων ἐφάψῃ κατὰ τοῦτον τὸν ὕμνον, οἳ ἂν πέσοιεν χαμαὶ, ἀλλὰ τοὐναντίον ἐνδόξων καὶ δυναμένων πανταχοῦ

A διικνεῖσθαι. e. χαμαιπετῆ δὲ κυρίως ἐστὶ δόρατα ἢ βέλη, ὅταν ἀποτυχόντα τοῦ σώματος χαμαὶ πέσῃ.

A 21. φ ό ρ μ ι γ γ' ἐ λ ε λ ί ζ ω ν: ἀντὶ τοῦ τῇ κιθάρᾳ τὸν ἐπίνικον προσᾴδων.

B(C)DEQ 22 a. κ λ ε ι ν ᾶ ς ἐ ξ Ὀ π ό ε ν τ ο ς: ποίου, φησὶν, ἀνδρός; τοῦ ἐκ τῆς Ὀποῦντος· ἵν' ᾖ, τοῦ Ἐφαρμόστου· ἐκεῖθεν γὰρ τὸ γένος ἔχει.

A 22 b. α ἰ ν ή σ α ι ς ἓ κ α ὶ υ ἱ ό ν: τῇ διαιρέσει οὕτω· τὸ αἰνήσαις, ἐχόμενον δὲ τὸ ἕ· τοῦτο δὲ τὸ ἕ προενεκτέον ἐγκλίσει καὶ δασυντέον, ἵνα σημαίνῃ· ἐπαινέσας αὐτὴν, τὴν Ὀποῦντα, καὶ τὸν υἱὸν δὲ αὐτῆς τὸν Ἐφάρμοστον, καθὸ

---

1 προεῖπον **BE**: προεῖπε **DQv**. Sch. O. II 70 d. 82 a conferri iubet Schroeder proll. p. 60 2 ὀγδόῃ scripsi ex pap. Oxyrh. CCXXII, 1, 37 (cj. iam Hermann ap. **h**); τρίτῃ codd. 4 l.] ἄλλως **DQ** ‖ Πυθῶνα δ' **B(C)E** ‖ ἀντὶ — 5 ὕμνει om. **C** ‖ ἀντὶ τοῦ καὶ om. **DQ** ‖ καὶ **B**: κατὰ **E** 5 φησιν om. **CDQ** ‖ ἴει **DQ** τρέπε **C** 6 τὸν om. **E** 7 καὶ γὰρ] καὶ γὰρ καὶ Ὀλύμπια καὶ **C** ‖ τὴν λʹ Πυθιάδα **DEQ**: τῇ τριακοστῇ Πυθιάδι **B** om. **C** 8 l. et **A**; om. **D** 10 λόγων **E** ‖ τούτῳ **B** ‖ οὐ — 11 ὕμνον **V**: οὐ τοῦτον ὑμνῶν **A** 11 κατὰ — ὕμνον om. **D** ‖ οἳ **BEQ**: οἷον **D** οὐκ **A** ‖ ἂν πέσοιεν scripsi: ἂν πέσοι **A** πέσοιεν ἂν **E** πέσειεν ἂν **B** πέσειαν ἂν **Q** πέσει ἂν **Dv** 12 τοὐναντίον om. **V** ‖ ἐνδόξων καὶ om. **D** ‖ δυναμένων **A**: δυνατῶν **V** ‖ πανταχόθ(εν) **A** 14 ὅταν ego: ὅτι 17 Ὀπέοντος **E** ‖ ποίου] πόρου **E** 20 οὕτως **A**ac? 21 προενεκτέον ego: προσενεκτέον 21. 22 ἐγκλίσει Mommsen suppl. p. 120: ἐγκλήσει 22 δασυντέον id. ibid.: δασύνοντας 23 τὸ Ἐφάρμ.

*πατρὶς αὐτοῦ ἐστιν.* c. *δύναται δὲ καὶ τὴν ἡρωίδα λέγειν, υἱὸν δὲ τὸν Ὀποῦντα.*

22 d. *αἰνήσαις ἓ καὶ υἱόν: ἓ ἀντωνυμία· κεῖται γὰρ* BCDEQ *ἀντὶ τοῦ αὐτήν, τὴν Ὀποῦντα· υἱὸν δὲ τὸν πολίτην λέγει.*

e. *ἄλλως· τὴν πόλιν Ὀποῦντα καὶ τὸν υἱὸν αὐτῆς τὸν* BDEQ *νικηφόρον· υἱὸν δὲ ἀντὶ τοῦ πολίτην.* f. *δύναται καὶ αὐτὴν τὴν ἡρωίδα λέγειν, υἱὸν δὲ Ὀποῦντα.*

23 a. (*ἓ:*) *αὐτήν, τὴν Ὀποῦντα.* b. (*υἱόν:*) *ἤγουν* $B^{gl}$ *τὸν πολίτην.*

24 a. *ἂν Θέμις: ἣν ἡ Θέμις λέλογχεν* [*ἀντὶ τοῦ ἥν-* A *τινα*] *καὶ ἡ θυγάτηρ αὐτῆς Εὐνομία. ἐνήλλαχε δὲ τὴν πτῶσιν.* b. *Θέμιδος δὲ θυγατέρα καὶ Ἡσίοδος* (th. 901)·

*δεύτερον ἠγάγετο λιπαρὴν Θέμιν, ἣ τέκεν Ὥρας,*
*Εὐνομίην τε Δίκην τε καὶ Εἰρήνην τεθαλυῖαν.*

c. *ὁ δὲ λόγος ἐπὶ τῆς Ὀποῦντος, ὅθεν ἦν ὁ νικηφόρος.*

24 d. *ἂν Θέμις: ἥντινα Ὀποῦντα ἥ τε Θέμις καὶ ἡ* BCDEQ *θυγάτηρ ταύτης Εὐνομία ἡ τὰς πόλεις σώζουσα κεκλήρωται κατέχειν·* | *ἥτις Εὐνομία μεγάλην δόξαν ἔχει.* 27$^{d}$ CDQ BDEQ

27 a. *θάλλει δ' ἀρεταῖς: ἡ Ὀποῦς θάλλει ταῖς ἀρε-* A *ταῖς ἔν τε Πυθοῖ καὶ Ὀλυμπίᾳ. τὸ δὲ ἶσον ἀντὶ τοῦ κοινῶς.* b. *παρά τε τὸ σὸν ῥέεθρον, Κασταλία, καὶ τὸ τοῦ Ἀλφεοῦ.*

27 c. *θάλλει δ' ἀρεταῖς: βρύει δὲ καὶ αὔξεται ταῖς* BDEQ *τῆς νίκης ἀρεταῖς* [*ἡ Ὀποῦς*] *ἔν τε τῇ Κασταλίᾳ πηγῇ ἐν Πυθοῖ* | *καὶ ἐν ταῖς τοῦ Ἀλφειοῦ ποταμοῦ . . . . , τουτ-* BCDEQ *έστιν ἐν τῇ Ὀλυμπίᾳ· ἀφ' ὧν, ἤτοι ποταμῶν ἢ τόπων, αἱ νῖκαι καὶ τὰ ἄνθη τῶν στεφάνων τὴν ἔνδοξον τῶν Λοκρῶν*

---

3 l. om. D (*τὸ δὲ ἓ* id.) 5. 6 *τὸν νικ.* DQ: *νικ.* BE 6 *δὲ ἀντὶ*] *ἀντὶ* Q ‖ *δύναται*] *δύναται δὲ* Dv ‖ *καὶ* om. D 10 *ἃν* $A^{ac}$ 10. 11 *ἀντὶ τοῦ ἥντινα* seclusi 11 *αὐτῆς* ego: *αὐτοῦ.* Q. s. ad *οἱ* pertinent 14 *τε* (pr.) om. 16 l. *θυγάτηρ* add. EQ 19 sq. cfr. Mommsen suppl. p. 121 19 *ἡ* ego: *ἣ* ‖ *Ὀποῦς θάλλει* Bergk N. Jahrb. 117, 39: *ὅπως θάλλῃ* 21 ⟨*ἢ*⟩ *παρὰ* Bergk l. l. 23 l.] *ἄλλως* DQ ‖ *αὔξεται* BE: *αὔξει* (*ἡ*) *Ὀποῦς ἐν* DQ 23. 24 *ταῖς ἀρεταῖς ταῖς τῆς νίκης* B(v) 24 *ἡ Ὀποῦς* om. DEQ 25 *καὶ* om. E ‖ *ταῖς* ⟨*ῥοαῖς*⟩ Lehrs p. 26; *ποταμοῦ* ⟨*ῥοαῖς*⟩ Bergk N. Jahrb. 117, 39; potius scrib. *ποταμοῦ* ⟨*προχοαῖς*⟩

μητέρα τὴν Ὀποῦντα ἐπέρχονται καὶ ὑψοῦσι τὴν καλλίδεν-
δρον· ἀφ' οὗ δηλοῖ τὴν εὔγειον. 32D 31Q 34C d. θάλλει δ'
ἀρεταῖς: ἡ Ὀποῦς θάλλει ταῖς ἀρεταῖς τῆς Κασταλίας, ἀντὶ
BDEQ τοῦ τῆς Πυθοῦς· κρήνη γάρ ἐστιν ἐν Πυθῶνι. | τὰ γὰρ
Πύθια ἐνίκησε καὶ τὰ Ὀλύμπια. 27$^{c}$ CDQ

BEQ 31. ἐπαείροντι: ὑψοῦσι. μετεωροῦσιν. ὑμνοῦσιν.

A 32a. ματέρ' ἀγλαόδενδρον: μητέρα τοῦ Ἐφαρμόστου
τὴν Ὀποῦντα, καθὸ μητέρας τὰς πατρίδας λέγουσι. Μᾶτερ
ἐμά, τὸ τεόν, χρύσασπι, φησὶ τὴν Θήβην (J. I, 1). b. μητρό-
πολις δὲ τῶν Λοκρῶν ἡ Ὀποῦς.

BDEQ 32c. ματέρ' ἀγλαόδενδρον: ματέρα τὴν Ὀποῦντα τοῦ
BEQ Ἐφαρμόστου πατρίδα. d. μητρόπολιν δὲ τὴν Ὀποῦντα τῶν
Λοκρῶν λέγει.

BDEQ 33. ἐγὼ δέ τοι φίλαν πόλιν: ὁ νοῦς τοιοῦτος· ἐγὼ δὴ οὖν ταύτην τὴν προσφιλεστάτην Ὀποῦντα ἐκδήλοις καταυγάζων ὕμνοις πανταχοῦ ἐκπέμπω ταύτην τὴν ἀγγελίαν καὶ ἵππου παντὸς ταχυτάτου καὶ ναὸς ταχείας θᾶττον, εἴπερ τινι θείᾳ μοίρᾳ καὶ μετά τινος θείας χειρὸς τὸν ἐξαίρετον τῶν Χαρίτων κῆπον, τὸν ποιητικὸν λέγει, νέμομαι. τοῦτον δὲ νέμομαι εἶπεν, ὅτι οἶδεν αὐτὸν εὐφυῶς καὶ δυνατῶς φράζοντα, εἰ δὲ καὶ χάρις τοῖς ποιήμασιν ἐφέψεται, ὡς ἄνθρωπος ἀγνοεῖ.

A 34a. μαλεραῖς: ταῖς λαμπραῖς, παρόσον τὸ πῦρ λαμπρὸν καὶ μαλερὸν λέγεται· ὡς ἐκ μὲν τοῦ ἐπιθέτου τὸ πῦρ δηλοῦσθαι, ἐκ δὲ τοῦ πυρὸς τὸ λαμπρόν. ὁ δὲ τρόπος μετάληψις. b. λαμπρὰς δὲ τὰς ᾠδὰς διὰ τὸ δικνεῖσθαι

---

1 τὴν (pr.) om. E ‖ ὑπέρχονται E. Ft. ἐπαείροντι 1. 2 τὸ καλλίνικον δένδρον E 2 l. ἄλλως praem. B 4 ἐστιν om. DQ 6 ὑψοῦσι B: ὑψοῦσι καὶ E τὴν καλλίδενδρον ὑψοῦσι καὶ Q ‖ μετεωρίζουσιν E ‖ ὑμνοῦσαι E 7 μάτερ A$^{ac}$ μᾶτερ A$^{pc}$ 8 μάτερ A$^{ac}$ 9. 10 μητρόπολιν A$^{ac}$ 10 ὀπός 11 l. om. D ‖ μητέρα DQ$^{cp}$ ‖ τοῦ] τὴν E 14 ὁ νοῦς τοιοῦτος om. D 15 δὴ om. E 17 ταχυτάτου DEQb: ταχύτερ(ον) B ταχύτατα v ταχυτέραν h 18 καὶ om. B 19 κᾶπον B? v ‖ λέγω D ‖ τοῦτον BEQ (νέμομαι δέ, om. τοῦτον, D): τοῦτο v. Ft. τοῦτο δέ, ⟨εἰ⟩ νέμομαι 20 οἶδεν] εἶδεν E οἶδε ⟨μὲν⟩ Schroeder ‖ αὑτὸν b: αὐτὸν ‖ καὶ om. E 21 φάζοντα E ‖ καὶ om. E ‖ ἐφέψεται B$^{pc}$DQ$^{i}$: ἐφάψεται B$^{ac}$EQ$^{s}$v 22 ἀγνοῶ DQ$^{s}$ 26 λαμπρὰς b: λαμπρός

ὡς τὸ πῦρ. c. ὁ δὲ Δίδυμος ἀντὶ τοῦ μαλακαῖς· καὶ γὰρ
ἑτέρωθι (J. II, 8) μαλακοφώνους τὰς ᾠδάς φησιν.

34 d. *μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς*: λαμπραῖς, κατὰ **BCDEQ**
μετωνυμίαν. e. ἄλλως· ταῖς λαμπραῖς καὶ ἐκδήλοις. **BEQ**
f. ἐπιφλέγων δὲ ἀντὶ τοῦ ἐπαυγάζων· διόλου γὰρ τῇ τροπῇ **BCDEQ**
ὡς ἐπὶ πυρὸς ἐπέμεινε. g. λαμπρύνων. h. ἐγὼ οὖν,
φησιν, ὑμνῶν τὴν πόλιν ταύτην τὴν ἀγγελίαν πανταχοῦ
πέμψω ταχύτερον ὀξέος ἵππου καὶ νεὼς οὐριοδρομούσης, εἰ
σὺν θεοῦ βουλήσει κεχαριτωμένα ποιήματα γράφω.

36 a. *ναὸς ὑποπτέρου*: ἢ τῆς ταχείας, ἢ τῆς εὐτρε- **A**
πισθείσης ἁρμένοις. ⟨Ὅμηρος·⟩ τὰ πτερὰ νηυσὶ πέλονται
(λ 124).

36 b. *ναὸς ὑποπτέρου*: ταχείας. c. ἢ διὰ τὰς κώ- **BEQ**
πας. Ὅμηρος (λ 124)· τὰ πτερὰ νηυσὶ πέλονται. d. *ἀγ-
γελίαν δὲ τὴν περὶ τῆς νίκης*.

38 a. *εἰ σύν τινι μοιριδίῳ*: εἰ σύν τινι μηχανῇ παρὰ **A**
Μοιρῶν δεδομένῃ μοι τῶν Χαρίτων ἐπινέμομαι κῆπον καὶ
μὴ παρὰ φύσιν βιάζομαι. b. ἄλλως· εἴπερ τινι θείᾳ μοίρᾳ
τὸν ἐξαίρετον τῶν Χαρίτων κῆπον (τὸν ποιητικὸν λέγει)
καρποῦμαι τοῦτον. οἶδε γὰρ αὐτὸν εὐφυῶς μὲν γράφοντα,
εἰ δὲ χάρις τοῖς ποιήμασιν ἐπακολουθήσει, ἀγνοεῖ.

38 c. *μοιριδίῳ παλάμᾳ*: δαιμονίᾳ μηχανῇ καὶ **BCEQ**
τέχνῃ.

39 a. *Χαρίτων κᾶπον*: τὴν ποιητικὴν λέγει, δι' ἧς **CDEQ**
ἔστι χαρίσασθαι. b. ἄλλως· κᾶπον: τὸν ποιητικόν. **BEQ**

---

1 Hes. μαλερόν. μαλερὰς φρένας. Eust. Il. 691, 52
10 Hes. ὑποπτέρον.

---

3 ἐπιφλ. ἀοιδ. om. **CD** ‖ λαμπραῖς] καὶ διαδήλοις καὶ λ. **C** 4 ἀδήλοις **E** 5 γὰρ **BE**: δὲ **CDQ** 6 ἐπέβαινε **E** 8 ταχυτέραν **Q** ‖ νεὼς **BE**: νηὸς **DQ** νηὸς ὀξείας καὶ ταχείας **C** ‖ ἀεροδρομούσης **Q**[1] 9 κεχαρισμένα v 11 supplevi ex **V** ‖ νηυσὶ Hom.: κυσὶ **A** 14 τὰ] τὴν **E** ‖ πλέονται **E** 15 post νίκης add. καὶ ναὸς ὑποπτέρου· ἐγρ(άφη) ·:· **B** (ἐγρ(άψαμεν) Mommsen suppl. p. 124) 20 αὐτὸν **b**: αὐτὸν 22 δαιμονίῳ τῇ μηχανῇ **E** 25 ἔστι om. **EQ** ‖ ἄλλως· κᾶπον **EQ**: Χαρίτων κᾶπον **B**

BCDEQ c. ὅτι δὲ πάροικοι ταῖς Μούσαις αἱ Χάριτες, καὶ Ἡσίοδος μαρτυρεῖ (th. 64)·

πὰρ δ' αὐταῖς Χάριτές τε καὶ Ἵμερος οἰκί' ἔχουσιν.

BDEQ 40. κεῖναι γὰρ ὤπασαν: αἱ Χάριτες τὰ ἐν τῷ βίῳ
BCDEQ τερπνὰ τοῖς ἀνθρώποις παρέσχον· | ἀγαθοὶ δὲ καὶ σοφοὶ καὶ ἀνδρεῖοι ἄνθρωποι κατὰ βούλησιν τοῦ δαιμονίου καὶ θεῶν γίνονται. Χαρίτων μὲν γὰρ ἔργον οἶδε τὸ τὰ πράγματα χαριέντως ἀποτερματίζειν, Μοιρῶν δὲ καὶ εἱμαρμένης
BCEQ τὸ δυνατούς τινας κατὰ ἀνδρείαν καὶ | συνετοὺς κατὰ φρόνησιν γίνεσθαι. λεληθότως δὲ ὁ Πίνδαρος διὰ τὸ ἀνεπαχθὲς τὰ ἴδια ἐπεξεργάζεται ἐγκώμια.

BCEQ 42. κατὰ δαίμον' ἄνδρες: ἀγαθοί, φησιν, ἄνδρες
BCDEQ κατὰ ἀνδρείαν καὶ | σοφοὶ κατὰ σύνεσιν ἐκ θεοῦ μοίρας ἐγένοντο. τοῦτο δὲ παραδεικνὺς παραβάλλει τὸν Ἡρακλέα, ὅτι εἰ μὴ κατὰ θεοῦ μοῖραν ἐγεγόνει τοιοῦτος, οὐκ ἄν ποτε ὑπέστη ἀντιστῆναι Ἀπόλλωνι καὶ Ποσειδῶνι καὶ Ἅιδῃ Ἡρακλῆς.

BCDEQ 43. ἐπεὶ ἀντίον πῶς ἂν τριόδοντος ἕως θνᾳσκόντων: τίνες εἰσὶν αἱ αἰτίαι δι' ἃς ἐπολέμησε τοῖς τρισὶ θεοῖς ὁ Ἡρακλῆς; πρὸς τὸν Ποσειδῶνα μὲν προϊστάμενον Πυλίων. ἐπολέμει γὰρ Ἡρακλῆς τοῖς Πυλίοις διὰ ταύτην τὴν αἰτίαν. ἀνελών τινα Τραχίνιον καὶ φεύγων τοῦ φόνου τὸ μύσος ἔρχεται πρὸς Νηλέα ἐπὶ τῷ καθαρθῆναι τοῦ φόνου. ὡς οὖν οὐκ ἐπέτρεψεν, ἐκίνησε πρὸς Νηλέα πόλεμον. ὁ οὖν Ποσειδῶν ὡς ὑπὲρ παιδὸς ἐμαχέσατο τῷ Ἡρακλεῖ· Νηλεὺς γὰρ καὶ Πελίας Ποσειδῶνος υἱοί. πρὸς δὲ Ἀπόλλωνα οὕτω καὶ διὰ τοιαύτην αἰτίαν. εἰς γὰρ τὴν Πυθῶνα παρεγένετο

---

1 δὲ] δὴ E ‖ πάροικοι CDEQ: παροικοῦσι Bv ‖ καὶ om. E 4 αἱ] αἵτινες Lehrs p. 26 6 ἄνθρωποι om. C 9 δυνατὸν E ‖ συνετοὺς] συνετοὺς δὲ E 10. 11 τὸ ἀνεπαχθὲς BC id., sed τὸ ἀν in ras. E: τὸ ἐπαχθὲς Q 11 ἀπεργάζεται C ἐπεργ. Q 13 κατὰ ἀνδρείαν om. E 14 τοῦτο] τοῦ E 17 Ἡρακλῆς om. CD 18 ἂν τριόδοντος om. D ἂν om. E 20 ὁ om. C(D)Q 22 Τράχινον E 24 ἐπέστρεψεν E ‖ ἐκίνησε BE: ἐνίκησε Q[i] ἐνείκησε Q[s] συνεῖρε D ἐνέστησε C 26 καὶ Πελίας BCE: καὶ Πηλεὺς Πελίας καὶ DQ καὶ Πελίας Τυροῦς καὶ b 26. 27 οὕτω καὶ — αἰτίαν B: διὰ τοῦτο CDE διὰ τὸ τί Q 27 — p. 277, 4 cfr. Thom. 319, 18 27 τὴν] τὴν γῆν (?) Q

μαντευσόμενος περί τινος. ἔφησεν οὖν αὐτῷ ἡ Πυθία μὴ παρεῖναι τὸν θεὸν μηδὲ χρησμῳδεῖν. ὀργισθεὶς δὲ ἐπὶ τούτῳ Ἡρακλῆς ἥρπασε τὸν μαντικὸν τρίποδα καὶ πρὸς αὐτὸν εἵλετο τὴν μάχην. πρὸς δὲ τὸν Ἅιδην διὰ τοῦτο. ἐπιταχθεὶς γὰρ ὑπὸ τοῦ Εὐρυσθέως τὸν Κέρβερον κύνα ἀγαγεῖν, εἶτα διακωλυόμενος ἐτόλμησε καὶ πρὸς τὸν Ἅιδην. αἵ δὲ μάχαι αἵ πρὸς τοὺς θεοὺς ἐν διαφόρῳ χρόνῳ τῷ Ἡρακλεῖ γεγόνασιν.

44 a. πῶς ἂν τριόδοντος: ἰδίως κἀν τούτοις ὁ **ACDEHQ** Πίνδαρος Ἡρακλέα γράφει τοῖς τρισὶ πολεμῆσαι θεοῖς. δεδόσθω γὰρ αὐτῷ, φησιν ὁ Δίδυμος, περὶ τὴν ὑπὸ Νέστορι Πύλον συστῆναι τὴν μάχην, Ὁμήρου τὴν ἐν Ἅιδου πύλην νεκύων πύλον εἰρηκότος (Ε 397)· ἐν πύλῳ ἐν νεκύεσσι βαλών. εἴη δ' ἂν ὁ Πίνδαρος τὰ καὶ τόποις καὶ χρόνοις διεστῶτα εἰς ἕνα καιρὸν ἄγων ἕνεκα τοῦ μειζόνως ἢ ὡς ἔσχε ταῖς ἀληθείαις τὸν Ἡρακλέα ἐπαινεῖν. Ἀπόλλωνι μὲν γὰρ Ἡρακλῆς ἐν Πυθῶνι περὶ τοῦ τρίποδος μάχεται, | τῷ Ἅιδῃ **A** δὲ ὅτε τὸν Κέρβερον ἀνήγαγε, Ποσειδῶνι δὲ ἀμύνοντι Πύλῳ.

44 b. ἄλλως· ἐπεὶ ἀντίον πῶς: ἐπεὶ εἰ μὴ ἐκ θεῶν **BDEQ** ὑπῆρχε τὰ κάλλιστα τοῖς ἀνθρώποις, πότε ἂν ἠδυνήθη

---

4—6 sch. BT *E* 395    12 sch. A *E* 397

---

1 ἔφησε(ν) **CDEQ**: ἔφη **Bv**    2 δὲ **BC**: om. **DEQv** οὖν **b** Thom.    3 ὁ Ἡρ. **Bv**    5 γὰρ om. **CD** ‖ ὑπὸ τοῦ Εὐρ. post ἀγαγεῖν **Bv** ‖ ὑπὸ **BD**: ἀπὸ **EQ** παρ' (om. τοῦ) **C**    6 ἐπολέμησε Gedicke Pind. carm. sel. p. 48    7 διαφόροις χρόνοις **D**
9 l. om. **V** (ἄλλως **Q**) ‖ κἀν τούτοις **A**: κἀνταῦθα **V** (κἀντεῦθεν **E**)    10 τὸν Ἡρ. **V** ‖ γράφει **A**: φησὶ **V**    11 αὐτῷ **V**: αὐτὴν **A** ‖ ὑπὸ scripsi: ἐπὶ **A** ὑπὸ τῷ **V**    12 Πύλον (-ην) **V**: Πύλῳ **A** ‖ συστῆναι **V**: στῆναι **A** ‖ τὴν μάχην **A**: τὸν πόλεμον **V**
13 νεκύων πύλον om. **V** ‖ εἰρηκότος **A**: εἰπόντος **V**    14 ἂν **AE**: ἂν νῦν **CDHQ** ‖ τὰ καὶ τόποις om. **A**    15 μείζονος **A** ‖ ἢ — 16 ἐπαινεῖν **A**: ἢ ἐσχάταις ἀληθείαις τὸν Ἡρ. ἔχειν (om. **C**) ἐπαινεῖν **CEQ** ἢ ἐσχ. ἔχειν (ἔχει **v**) τὸν Ἡρ. ἐπ. ἀληθείαις **GHv** om. **D**    16 Ἀπόλλων **A** ‖ γὰρ om. **A**    17 ὁ Ἡρ. **V** ‖ ἐν Πυθοῖ **V** ‖ μάχεται περὶ τοῦ τρίποδος **V** (περὶ τοῦ τρ. om. **D**), add. οὐκ ἀμύνων τῇ Πύλῳ    18 Ποσειδῶνα: **b**    19 ἄλλως: ἐπεὶ ἀντίον πῶς **EH**: ἐπεὶ ἀντίον **B** ἄλλως **Q** om. **D**    20 ὑπῆρχε ego: ὑπάρχει ‖ πότε] πόθεν Lehrs p. 26

BEQ Ἡρακλῆς τῷ ῥοπάλῳ ἀντιμάχεσθαι | πρὸς τὴν τοῦ Ποσειδῶνος τρίαιναν καὶ νικῆσαι; ἡνίκα ὁ Ποσειδῶν στὰς περὶ τὴν Πύλον διεκώλυε τὸν Ἡρακλέα καὶ ἐπολέμει.

Amg 44 c. τὸν Ἡρακλέα φασί τινα Τραχίνιον πεφονευκέναι, εἶτα εἰς Πύλον ἀποδημήσαντα τῆς πατρίδος πρὸς τὸ τοῦ μιάσματος καθαρθῆναι μὴ παραδεχθῆναι ⟨ὑπὸ⟩ τοῦ τῆς Πύλου τοῦ Νέστορος Νηλέως ἄρχοντος. ἐπὶ τούτῳ διωκόμενον ἆραι χεῖρας κατὰ τοῦ ἄρχοντος. τοῦ δὲ Νηλέως υἱοῦ Ποσειδῶνος τυγχάνοντος, ἐπὶ ἐκδικήσει τοῦ παιδὸς ἐλθεῖν, καὶ οὕτως Ἡρακλέα θάρσους ἐμπλησθέντα τολμῆσαι καὶ κατ' αὐτοῦ καίπερ θεοῦ τυγχάνοντος τῇ οἰκείᾳ δυνάμει χρήσασθαι.

CDEQ 46. ἀνίκ' ἀμφὶ Πύλον: ὅτι παρακήκοεν Ὁμήρου λέγοντος (Ε 397)· ἐν πύλῳ ἐν νεκύεσσι. διὸ καὶ μεμυθολόγηκε τὰ περὶ τὴν Πύλον τοῦ Νέστορος. Ὅμηρος δὲ οὐκ ἐν Πύλῳ λέγει τῇ πόλει, ἀλλ' ἐν πύλῃ τῇ τοῦ Ἅιδου φησὶν αὐτὸν μάχεσθαι.

A 48. ἤρειδεν: εἰ μὴ γὰρ ἦν ἐκ θεῶν τοῖς ἀνθρώποις τὰ ἀγαθά, πότε ἂν Ἡρακλῆς τῷ ῥοπάλῳ πρὸς τὴν τρίαιναν ἐμάχετο Ποσειδῶνι, ὅτε Ποσειδῶν ἐκώλυεν Ἡρακλέα ἐν τῇ Πύλῳ μαχέσασθαι; πρὸς δὲ Ἀπόλλωνα Ἡρακλῆς ἐμαχέσατο ὅτε ἐπελθόντι Ἡρακλεῖ πυθέσθαι ἡ Πυθία ἔφη μὴ ἐνδημεῖν τὸν θεόν, ὁ δὲ ἀνήρπασεν αὐτοῦ τὸν τρίποδα. πρὸς δὲ τὸν Ἅιδην ἐμαχέσατο ὅτε ἀπεστάλη τοῦ Κερβέρου χάριν παρὰ τοῦ Εὐρυσθέως.

CDEQ 50 a. οὐδ' Ἀίδας ἀκινήταν ἔχε ῥάβδον: τῇ ῥάβδῳ

---

13 sch. AT Ε 397

---

2 περὶ V: παρὰ BEQ 3 καὶ ἐπολέμει ⟨πρὸς αὐτὸν ὁ Φοῖβος⟩ Lehrs p. 26 4—12 in mg. A m. rec. 4 Τράχινον: b 6 suppl. b 7 ⟨τῆς⟩ τοῦ Νέστορος b 7. 8 exspectes ὀργιζόμενον vel simile quid 9 ἐκδικῆσαι: b 13 sch. 46—59 a B absunt (folio deperdito?) ‖ Πύλου E ‖ παρακήκοεν EQ: παρήκουσεν CD παρακηκόει h ‖ Ὁμήρου λέγοντος E: om. D Ὅμηρος λέγουσιν C Ὅμηρος λέγων Q 14. 15 μεμυθολόγηται C 16 τῇ πόλει om. D ‖ τῇ τοῦ V: τῇ DQ τοῦ CE 20 ἐκώλυεν ego: ἔκλυεν 22 ὅτε ἐπελθόντι ego: ὅτι ἀπελθόντι 26 Ἅιδος E ‖ ἔχε ῥάβδον om. DQ ἀκιν. ἔ. ῥ. om. C ‖ ἔχει E

κέχρηται καθάπερ ὅπλῳ τινί, βίαν μὲν οὐδεμίαν παρεχομένῃ, καθάπερ ἢ τριόδους ἢ ξίφος ἢ δόρυ, ἀλλὰ δυνάμει συνεχρῆτο θελκτικῇ καὶ μαλακτικῇ τῆς ψυχῆς· ταύτῃ γοῦν φησι καὶ τὰς ψυχὰς αὐτὸν κατάγειν. ἐπὶ τοῦ Ἡρακλέους οὖν ὁ Ἅιδης ἐργῳδίᾳ τῆς ῥάβδου ταύτης οὐδὲν ἠδύνατο δρᾶσαι διὰ τὸ τὴν δύναμιν αὐτῆς ὑπὸ τοῦ Διὸς ἀμβλύνεσθαι. ἀπὸ κοινοῦ δὲ τὸ εἰ μὴ κατὰ δαίμονα ἄνδρες ἐγένοντο, οὐκ ἂν οὐδὲ ὁ Ἅιδης ἀσθενῆ καὶ ἀκίνητον διαμαχόμενος Ἡρακλεῖ εἶχε τὴν ῥάβδον, | ἐν ᾗ ῥάβδῳ τὰ τῶν CEQ ἀνδρῶν σώματα ἀσθενῆ ποιῶν οὕτως εἰς τὸν κοῖλον τόπον [τοῦ Ἅιδου] κατάγει τῶν τελευτώντων. b. ὅτι [δὲ] κηλητικὴ ἡ ῥάβδος καὶ κατεργάσασθαι δύναται, | Ὅμηρός φησιν CDEQ ἐπὶ τοῦ Ἑρμοῦ (ε 47)·

εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει
ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει.

53. *κοίλαν ἐς ἀγυιάν*: ὡς παρὰ τὸ αἴθω αἴθυια AB$^{gl}$EQ καὶ παρὰ τὸ μύω μυῖα, οὕτω καὶ παρὰ τὸ ἄγω ἀγυιά. | λέγοι AB$^{gl}$ δ' ἂν οὖν τὸν Ἅιδην, ὅτι ἐκεῖ ἄγονται οἱ ἄνδρες.

54 a. *ἀπό, στόμα, ῥῖψον*: ἀπόρριψόν μοι τοῦτον τὸν DEQ

---

16 Herodian. I 281, 23. Steph. Byz. ἀγυιά. EM 14, 21. EG 7, 39. Lex. Bachm. 17, 1. Orion. 22, 17

---

1. 2 παρεχομένου E 2 καθάπερ — δόρυ om. D 3 θελητικῇ καὶ μαντικῇ E ‖ ἀμαλακτικῇ Q 4 αὐτὸν κατάγειν v: αὐτῶν κατάγειν CEQ κατάγειν αὐτόν D 5 οὖν — ἐργῳδίᾳ] διὰ γοῦν D ‖ ἐργῳδίᾳ CQ: ἔργῳ διὰ Ev ‖ οὐδὲν CEQ: ὁ Ἅιδης οὐκ D 6 διὰ — ἀμβλ.] ἀμβλυνομένης παρὰ τοῦ Διὸς τῆς δυνάμεως αὐτ(ῆς) D ‖ αὐτῆς EQ: αὐτοῦ Cv 6. 7 ἀμβλύνεσθαι C$E^{2mg}$: om. $E^{1}$ ἀμβλυνθῆναι Qv 7 τὸ om. Qv 7. 8 ἐγένοντο C: ἐγίνοντο DQv om. E 8 οὐκ ἂν om. E ‖ καὶ — 9 Ἡρακλεῖ om. D 8 ἀκοίμητον E (corr. $E^{2mg}$) 9 τὴν om. Qv 10 οὕτως om. C ‖ τὸν om. C 11 τοῦ Ἅιδου κατάγει E$Q^{pc}$ κατάγει τοῦ Ἅιδου C$Q^{ac}$; seclusi τοῦ Ἅιδου ‖ τῶν τελευτώντων om. Q ‖ δὲ om. E: δὲ καὶ CQ 11. 12 θελκτικὴ b' 12 καὶ Ὅμηρος, om. φησιν, D 14 δὲ om. DE ‖ τῇ τ' C: ἦτ' D τῇ ἦτ' EQ 15 ὑπνόοντας E 16 ἐς AE: πρὸς Qv ‖ ὡς AB: ὥσπερ EQv ‖ αἴθυα et 17 μύα E 17 καὶ (pr.) AB: οὕτω καὶ Ev οὕτω G ‖ οὕτω καὶ AB: καὶ EQv 17. 18 λέγοι δ' ἂν οὖν B: λεγοιεν ἂν $A^{ac}$ λέγοιεν οὖν $A^{pc}$ λέγοι ἂν οὖν b

λόγον, ὦ στόμα. παῦσαι τοῦ λέγειν τοιαῦτα περὶ θεῶν· τὸ γὰρ βλασφημίας ἐχόμενα λέγειν περὶ θεῶν ἀλλότριον τοῖς **CDEQ** σοφοῖς, ἀνοήτοις δὲ οἰκεῖον. b. σοφία μὲν [γὰρ] οἶδε τὸ γινώσκειν τὰ παλαιὰ καὶ ταῦτα ἑρμηνεύειν τεχνικῶς διασκευάζουσα, τὸ δὲ πρὸς λοιδορίαν ἕλκειν τὰ διηγήματα οὐχ ὅσιόν ἐστιν, ὡς διορίζεται. διὸ ἐχθρὰν σοφίαν αὐτὴν ὀνομάζει.

**EQ** 56. *ἐπεὶ τό γε λοιδορῆσαι*: διότι ἄνδρα ὄντα τὸν Ἡρακλέα τριῶν θεῶν ἀπέδειξεν ὄντα βελτίονα.

**$\mathrm{AB^{gl}}$** 57 a. *ἐχθρὰ σοφία*: τὸ ἄκρᾳ ἐπὶ σοφίᾳ καυχᾶσθαι πάντα μανίας μετέχει. b. τὸ δὲ *ὑποκρέκει* ὑποτερετίζει· οὕτω γὰρ ἔνιοι διηγήσαντο, ἀπὸ ⟨τῶν⟩ τῆς κιθαρίσεως κρεγμῶν. πρότερον γὰρ ἐπαφώμενοι τῆς κιθάρας ὑποκρέκουσιν, ἔπειτα τέλεον κιθαρίζουσιν.

**EQ** 58. *τὸ καυχᾶσθαι παρὰ καιρόν*: τὸ γοῦν ἐπὶ ταῖς οὕτως ἀκαίροις ⟨καὶ⟩ οὐκ ἀναγκαίαις διηγήσεσι καυχᾶσθαι καὶ σεμνύνεσθαι μανίας ὅμοιόν ἐστιν. τοῦτο δὲ εἴρηκε παρόσον ἀσεβεῖν δόξει, ἐὰν τὸν Ἡρακλέα ἐγκωμιάζῃ ἐπὶ τῷ τοὺς θεοὺς νενικηκέναι.

**DEQ** 59 a. *μανίαισιν ὑποκρέκει*: συμφωνεῖ. οἷον ἐνδόσιμόν **CDEQ** ἐστιν. b. ἄλλως· *ὑποκρέκει*: ὑπηχεῖ. προσέοικεν. ὑποκρέκειν γὰρ κυρίως ἐστὶ τὸ ἠρεμαίως ὑπηχεῖν ἐν τῷ ἁρμόζειν τὴν κιθάραν. c. ὑποτερετίζει οὖν, ἐνδόσιμόν ἐστι μανίᾳ.

---

21 Suid. ὑποκρεκόντων?

---

1 τοιαῦτα om. **E** ‖ τὸ — 2 θεῶν om. **D** 2 βλασφημίας **E** (cj. iam Lehrs p. 27): βλασφήμως **Qv** 3 ἐπεὶ τό γε λοιδορῆσαι sch. b praem. **C** ‖ γὰρ om. **CD** 4. 5 διασκεδάζουσα **E** 5 διηγήματα **CDE**: ποιήματα **Qv** 6 ὡς **Qv**: om. **CDE** 7 τὸν **Qv**: τῶν **E** 8 ἀπέδειξεν **Qv**: ἀπέδειξα **E** 9—13 gl. **B** m. rec. 9 σοφίῃ (pr.) **A** ‖ ἄκρᾳ] ft. ἀκαίρως 10 πάντα corrupt. vid. ‖ ὑπερεθίζει **AB**: **V** (22) 11 οὕτω — διηγήσαντο om. **B** ‖ τῶν addidi ex **V** 12 κρεγμῶν scripsi cl. 281, 1: κρικῶν **A** τῶν κρεκῶν **B** 15 ἀκαίροις καὶ οὐκ ἀναγκαίαις **h**: ἀκαίροις οὐκ ἀναγκαίαις **E** ἀκαίροις καὶ ἀναγκαίαις **G** ἀκαίρως καὶ ἀναγκαίαις **Q** et (om. καὶ) **v** ἀκαίρως ἐνηνεγμέναις Lehrs p. 27 17 δόξει **E**: δείξει **Qv** (corr. **h**) ‖ ἐὰν τὸν **Qv**: ἑαυτὸν, **E** ‖ ἐγκωμιάζειν **E** 20 ὑπέχει **E** 22 ὑποτερ. — μανίᾳ om. **C** ‖ ἐνδόσιμον **D**: ἐνδόσιμος **EQv**

ἡ μεταφορὰ οὖν ἀπὸ τῶν τῆς κιθάρας κρεγμῶν. πρότερον γὰρ τῆς κιθάρας ἐφαπτόμενοι ὑποκρέκουσιν.

60 a. μὴ νῦν λαλάγει: μὴ λέγε τοῦτο ὅτι οἱ θεοὶ A μετέχουσι τῶν πόνων καὶ μάχης. φιλόθεος γὰρ ὁ Πίνδαρος.

60 b. μὴ λαλάγει: ἀντὶ τοῦ θορύβει. c. μὴ τοίνυν BCDEQ τὰ τοιαῦτα φλύαρει, ἀλλ' ἀπόρριψον καὶ ἔα καὶ μὴ μέμνησο πολέμων καὶ μαχῶν. τὰ γὰρ τοιαῦτα κεχώρισται τῶν θεῶν καὶ πόρρω ἐστίν.

62 a. φέροις δὲ Πρωτογενείας: ὑμνοῖς τὸ τῆς Πρω- A τογενείας ἄστυ τὴν Ὀποῦντα. b. Πρωτογενείας καὶ Λοκροῦ κατ' ἐπίκλησιν Ὀποῦς· ἡ δὲ Πύρρα καὶ Δευκαλίων ἐκ τοῦ Παρνασσοῦ ἐλθόντες ἐν τῇ λάρνακι πρῶτον ᾤκησαν ἐν τῇ Ὀποῦντι πλησίον Παρνασσοῦ. ἔνιοι οὐκ ἐν Ὀποῦντί φασι Πύρραν οἰκῆσαι. ὁ γὰρ Ἀπολλόδωρος οὕτως γράφει· οἰκῆσαι δὲ ἐν Κύνῳ τὸν Δευκαλίωνα λέγεται, καὶ τὴν Πύρραν ἐκεῖ τετάφθαι φασίν· ἱστορεῖ δὲ ταῦτα καὶ Ἑλλάνικος (FHG I, 48). δυσχεραίνοι δὲ ἄν τις, πῶς τινές φασι Πύρρας καὶ Δευκαλίωνος εἶναι Πρωτογένειαν, τοῦ Πινδάρου ἐξ Ὀποῦντός τινος Ἠλείου λέγοντος αὐτὴν γεγενῆσθαι. ὁ δὲ Ἑλλάνικος (l. c.) και τὴν λάρνακα οὐ τῷ Παρνασσῷ φησι προσενεχθῆναι, ἀλλὰ περὶ τὴν Ὄθρυν τῆς Θεσσαλίας.

62 c. φέροις δὲ Πρωτογενείας: φέροις δὲ μᾶλλον, BCDEQ ὦ στόμα, καὶ λέγοις τὰ περὶ τῆς πόλεως τῆς ἀπὸ Πρωτο-

---

12 Strab. IX 425

---

1 κρεγμῶν C: κρεμῶν D κρουμῶν E (ου ex corr.) Qv κρουμάτων Toup emend. in Suid. III p. 263 (ed. Londin.) 2 τῇ κιθάρᾳ E ‖ ὑφαπτόμενοι Q ‖ ὑποκρέκουσιν Qv (cfr. A 280, 12. 13): ἐπικρέκουσιν CDE 4 πόνων] πολέμων b 5 l.] μὴ νῦν λ. τὰ τοιαῦτα Bv μὴ νῦν λ. Q ‖ ἀντὶ τοῦ DE: μὴ γοῦν Bv ἀντὶ τοῦ μὴ Q om. C ‖ μὴ — 6 ἔα καὶ om. C 5 μὴ τοίνυν DEQ: καὶ Bv 7. 8 καὶ πόρρω ἐστὶ (εἰσὶ Q) τῶν θεῶν BQv 8 εἰσιν CD (et Q) 9 ὕμνοις 11 ὁ ποῦς 13 ἐν Ὀποῦντί φασι b: ἐνόουν ὅτι φησὶ 14 ⟨Δευκαλίωνα καὶ⟩ Πύρραν b 15 Κύνῳ b: κοινῷ ‖ Πύρραν, ⟨καὶ τὴν Πρωτογένειαν⟩ ἐκεῖ b 16 τετάφθαι scripsi cl. Strab.: τετράφθαι A 17 δυσχεραίνοι b: δυσχεραίνοιεν ‖ φησι: b ‖ καὶ b: ὁ 19 ἡλίου: b ‖ αὐτὴν b: ἐξ αὐτὸς A[ac] ἐξ αὐτῆς A[pc] 20 οὐ τῷ b: οὕτω 21 τὴν Ὄθρυν τῆς b: τῆς ὀθρυντῆς 22 l. om. B

γενείας· λέγει δὲ τῆς Ὀποῦντος. d. ὑμνοίης δέ, φησι, τὸ
τῆς Πρωτογενείας ἄστυ. ταύτης γὰρ καὶ Λοκροῦ κατ' ἐπί-
κλησιν μὲν Ὀποῦς, γόνῳ δὲ Διός· Πρωτογένεια δὲ Δευκα-
λίωνος καὶ Πύρρας. ὁ μέντοι Πίνδαρος Πρωτογένειαν
Ὀποῦντος ἱστορεῖ ἐν τοῖς ἑξῆς.
BCDEQ 64 a. *αἰολοβρόντα Διὸς αἴσᾳ*: καλῶς τοῦ κατακλυσ-
μοῦ μεμνημένος αἰολοβρόνταν εἶπε τὸν Δία. b. *ἵνα οὖν*
BEQ *ἐν Ὀποῦντι* λέγει· ἐκεῖ γάρ [φησι] | Δευκαλίωνα καὶ Πύρ-
B ραν | οἰκῆσαι, ὧν θυγάτηρ Πρωτογένεια. Ἀπολλόδωρος δέ
(FHG I, 453) φησιν οὐκ ἐν Ὀποῦντι ἀλλ' ἐν Κύνῳ τὸν Δευ-
BEQ καλίωνα καὶ τὴν Πύρραν | οἰκῆσαι. c. ἄλλως· *ἵν' αἰολο-*
*βρόνται* ἔνθα, ἐν ᾗ Ὀποῦντι κατὰ βούλησιν τοῦ Διὸς ὅ
BCDEQ τε | Δευκαλίων καὶ ἡ Πύρρα ἀπὸ τοῦ ὄρους τοῦ Παρνασοῦ
καταβάντες κατῴκισαν ἑαυτοῖς οἰκίαν. ὅτε γὰρ ὁ κατακλυσ-
μός, ἀνῆλθον εἰς τὸν Παρνασόν· ὄρος δέ ἐστι πάντων
ὑψηλότατον. Πρωτογένεια δὲ κατὰ μέν τινας Προμηθέως,
κατὰ δὲ ἐνίους Ὀποῦντος τοῦ ἐν Ἤλιδι ποταμοῦ. ἐκ ταύ-
της καὶ Διὸς Ὀποῦς ἡ πόλις τῶν Ὀπουντίων. ἵν' οὖν
δείξῃ τὸ εὐγενὲς τῆς μητρὸς, λέγει τὴν πόλιν τῆς Ὀποῦντος
Πρωτογενείας.
BCDEQ 68 a. *ἄτερ δὲ εὐνᾶς ὁμόδαμον κτησάσθην λίθι-*
*νον γόνον*: οἱ προειρημένοι Δευκαλίων τε καὶ Πύρρα χωρὶς

---

17 sch. Ap. Rh. IV 1780

---

1 ὑμνοίης — 2 ἄστυ om. **C** 2 sq. ἐκ ταύτης γὰρ γίνεται Ὀποῦς, κατ' ἐπίκλησιν μὲν Λοκροῦ **b** 3 τῷ γόνῳ **v** 3. 4 post Δευκαλίωνος add. Ἰαπετοῦ γὰρ Προμηθεὺς καὶ Ἐπιμηθεὺς δὲ **D** 6 ἵν' αἰολ. Δ. αἴσᾳ **Bv** ‖ Διὸς] δὶς **E** 7 αἰολοβρόντα **EQ** 8 ἐν τῇ Ὀπ. **DEQ** ‖ λέγει **BC**$E^{cp}$ λέγῃ **D**$Q^{pc}$**v** (corr. Beck) λέγω? $Q^{ac}$ ‖ φησι om. **CDEQ**; seclusi ‖ Δευκαλίων (τε) καὶ Πύρρα **CD** 9 δὲ om. **v** 11. 12 ἵν' αἰολοβρ. om. **B** 14 μετῴκισαν $C^{pc}$**D** 14 sq. ὅτε γὰρ εἰς τὸν Π. ὁ κ. ἀνῆλθον **D** 15 ἀνῆλθεν (**C**)**Qv** (corr. Oxon.) 16 sq. Πρ. μὲν κατά τινας, om. δὲ, **E** Πρ. μὲν κατὰ μέν τινας **Q** 17 τοῦ — 18 Ὀπουντίων om. **Q** 17 τοῦ om. **B** ‖ ποταμοῦ] ποτὲ **E** 18 τῶν Ὀπ. om. **D** 19 λέγειν **B** ‖ τῆς (alt.) **BDQ**: τοῦ **C** om. **E** 20 Πρωτογένειαν **C** 21 ὁμόδαμον — 22 γόνον om. **CDQ** κτησάσθην λ. γόνον om. **E** ‖ οἱ προειρ. ⟨δὲ⟩ Lehrs p. 27 ‖ τε om. **E**

κοίτης καὶ μίξεως ὅμοιον καὶ ἴσον γένος δήμου ἐποιήσαντο ἐκ λίθων βολῆς. οἱ γὰρ πεμπόμενοι εἰς τὰ ὄπισθεν λίθοι παρ' αὐτῶν ἄνθρωποι ἐγένοντο. διὰ τοῦτο καὶ λαοὶ οἱ ὄχλοι ἀπὸ τοῦ λᾶας. b. *Πύρρα δὲ ἡ γυνὴ Δευκαλίωνος.* ἐξάδελφοι οὗτοι· Ἰαπετοῦ γὰρ παῖδες Προμηθεὺς καὶ Ἐπιμηθεὺς δύο ἀδελφοί· καὶ ἐκ μὲν Προμηθέως Ἕλλην, ἀφ' οὗ καὶ Ἕλληνες, καὶ Δευκαλίων· Πύρρα δὲ [ἡ Δευκαλίωνος γυνὴ] θυγάτηρ Ἐπιμηθέως.

70 a. *λίθινον γόνον:* κοινὰ τὰ περὶ Δευκαλίωνα καὶ **A**
Πύρραν. καὶ ὅτι τοὺς λίθους κατόπιν ῥίπτοντες ἀνθρώπους ἐποίουν, μαρτυρεῖ Ἀκουσίλαος (FHG I, 100).

70 b. *[ἐπέων σφίσιν οἶμον:]* Ἐπίχαρμος (fr. 122 K.) **A**
ἀπὸ τῶν λάων τῶν λίθων ὠνομάσθαι λαούς φησιν. ὁ δὲ Φιλόχορος (FHG I, 386) ἀπὸ Κέκροπος· οὗτος γὰρ βουλόμενος τὸ τῶν Ἀθηναίων γένος πληθυνθῆναι ἐκέλευσεν αὐτοὺς λίθους λαβεῖν καὶ ἐνεγκεῖν εἰς τὸ μέσον· ἐξ ὧν ἔγνω δισμυρίους αὐτοὺς ὄντας. ἀπὸ Κέκροπος οὖν φησι τοὺς ὄχλους ⟨λαοὺς⟩ ὠνομάσθαι. (72.) *ἐπέων οἶμον* δὲ τὸν ὕμνον.

70 c. *κτησάσθαν λίθινον γόνον:* Ἐπίχαρμος (l. c.) **BCDEQ**
ἀπὸ τῶν λίθων λαοὺς τοὺς ὄχλους ὠνομάσθαι φησίν. Φιλόχορος (l. c.) δέ φησι Κέκροπα βουλόμενον τὸ τῶν Ἀθηναίων γένος ἐπιγνῶναι κελεῦσαι αὐτοὺς λίθους εἰσφέρειν καὶ βάλλειν

---

3 Apollod. 1, 7, 2, 5. sch. A *A* 126. Ap. soph. 107, 1. EG 362, 31. EM 553, 11 6 sch. Ap. Rh. III 1086 14 et 21 Eust. Il. 23, 35

---

1 *δήμου* om. **CDQ** 2 *λίθου* **CE** 3 *ὄχλοι ⟨ὠνομάσθησαν⟩* Lehrs p. 28 4 *λᾶαν* **DE**$^{ac}$**Q** ‖ *ἡ* om. **CDQv** ‖ *καὶ* ante *ἐξάδ.* add. **D** 5 *οὗτοι* (**C**)**DEQ**: *οὕτως* **Bv** *δὲ οὕτως* Brub.— *Πύρρα δὲ γυνὴ Δευκαλίωνος ⟨καὶ Δευκαλίων⟩ ἐξάδ. οὕτως* Beck
5 *παῖδες* om. **CDQ** 6 post *Προμηθέως* add. *καὶ Κλυμένης* **v** *καὶ Κλυμένης Δευκαλίων, ἐξ οὗ* add. **h** (tum 7 *καὶ Δευκ.* omittendum fuit) 7 *ἡ Δ. γυνὴ* om. **CDEQ** 8 *Ἐπιμηθέως ⟨καὶ Πανδώρας⟩* **b** 12 *ἐγχάρμην:* **V** 13 *λαῶν* **A**$^{ac}$ 14 *βουλευόμενος:* **V** 17 *φησι* **A**$^{ac}$**V**: *φασι* **A**$^{pc}$ 19 l. om. **Bv**, add. *καὶ ὁ μὲν* ‖ *κτισάσθαν* **E** 20 *ὠν(ὀν-* **CD**)*ομάσθαι φησίν* **CDQ**: *ὠνομάσθαι* **E** *φησὶν ὠνομάσθαι* **B**. Ft. *φησίν* del.
21 *Κέκροπον* (**C**$^{1}$)**D** *Κέκροπ(α)* **E**$^{cp}$ ‖ *τὸ τῶν Ἀθ. γένος* **B** (cfr. **A** 15): *τὸν τῶν Ἀθ. δῆμον καὶ τὸ πλῆθος* **CDEQv** 22 *ἐπιγνῶναι* suspectum ‖ *αὐτοὺς* **B** (cum **A**): *αὐτὸν* (**D**)**EQ** om. **C**

εἰς τὸ μέσον, ἐξ ὧν ἐπιγνῶναι δισμυρίους αὐτοὺς ὄντας. ἀπὸ Κέκροπος οὖν φησι τοὺς ὄχλους λαοὺς ὀνομασθῆναι.

BEQ d. ἄλλως· ὅτι κατηκολούθησε τοῖς μυθογράφοις εἰρηκόσι λαοὺς τοὺς ἀνθρώπους προσωνομάσθαι διὰ τὸ ἐκ λίθων γενέσθαι·

ἐκ δὲ λίθων ἐγένοντο βροτοί, λαοὶ δὲ καλέονται.

BCQ e. διό φησιν ὁ Πίνδαρος ἄνευ συνουσίας αὐτοὺς κτήσασθαι λίθινον γόνον.

BDEQ 72 a. ἔγειρ' ἐπέων σφιν οἶμον λιγύν: τὸν τῶν
BCDEQ ἐπέων λιμένα. καθόρμισον εἰς τὸν ὕμνον τοῦτον. b. τοῖς ἀπὸ Δευκαλίωνος καὶ τοῖς Λοκροῖς. c. ὡς τοῦ νικηφόρου
DEQ ἀπογόνου ὄντος Δευκαλίωνος. d. ἄλλως· ἐπέων οἶμον:
BDEQ ὁδόν. e. τὸν δὲ κατὰ Δευκαλίωνα λόγον ὡς κοινὸν ὄντα παραιτεῖται λέγειν. φησὶν οὖν· ἔγειρε καὶ ἵστα καὶ παῦε
B(C)DEQ τὴν ὁδὸν ταύτην τὴν ἠδεῖαν τῆς μυθολογίας | (λιγὺν δὲ εἶπε τῇ ἀκοῇ μόνῃ)· προσήκει γὰρ ἐπαινεῖν οὐ τὰ παλαιὰ διηγήματα, ἀλλὰ παλαιὸν μὲν οἶνον ἐπαίνει, λόγων δὲ νεαρῶν καὶ προκειμένων τὰς ὑποθέσεις καὶ τὰ ἄνθη (ἄνθη δὲ νῦν τὰς πράξεις). εἶτα πάλιν ὃ παρῃτήσατο ἐκ περιουσίας λέγει. 75 B

A 74 a. ἄνθεα δ' ὕμνων: παρὰ τὸ Ὁμηρικόν (α 351)·

---

21 Eust. Od. 1421, 47

---

1 δυσμυρίους CD? (chart. perfor.) EQ$^{ac}$ 2 Κρέκοπος B || φησι Bv (cfr. A 283, 17): om. CDEQ 3 ὅτι om. Bv || κατηκολούθησε B: -σαν E -κε Q 4 παρωνομάσθαι Beck (tacite) h 6 λαοὶ δὲ καλέονται BE$^{2mg}$ λαοὶ δὲ καλεῦνται Q$^{ac}$ λ. δὲ καλεῦντο Q$^{pc}$: γόνου ὄντος Δευκαλίωνος E (cfr. infra 12) 9 l. et C || σφιν οἶμον λιγύν om. E οἶ. λ. om. D λιγύν om. CQ || οἶμον et οἶμον B 10 τοῖς — 12 Δευκαλίωνος post l. inser. DQ; tum ἄλλως add. D, ἄλλως· ἔγειρ' ἐπέων add. Q 10 post λιμένα dist. Beck || τοῖς — 11 Λοκροῖς et h. l. habent DQ || τοῖς BDQ: τὸν E τοὺς h 11 τοῦ Λοκροῦ h || ὡς — 12 Δευκ. hic om. DEQ (frustulum servavit E post 70 d, cfr. ad 6) 12 post ἐπέων add. φησιν E 13 ὁδόν om. D || ὄντα om. DEQ 14 καὶ ἵστα] lac. D 15 τῆς] τὴν τῆς E 16 εἰπὲ E 17 ἐπαίνει B: ἐπαινεῖν DEQ 18 προκειμένων B: προλεγομένων DEQ || τὴν ὑπόθεσιν E 20 λέγει B: διηγεῖται DQ om. E 21 παρὰ τὸ Ὁμηρικόν scripsi: πάντα τὰ Ὁμηρικὰ

τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι,
ἥτις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται.

b. δοκεῖ δὲ τοῦτο πρὸς τὸ Σιμωνίδειον εἰρῆσθαι· ἐπεὶ ἐκεῖνος ἐλασσωθεὶς ὑπὸ Πινδάρου λοιδορίας ἔγραψε κατὰ τοῦ κρίναντος ἀγαθῶν εἰδέον ἐπειδὴ ἐκεῖνος εἶπεν (fr. 75)· ἐξελέγχει ὁ νέος οἶνος οὔπω πέρυσι δῶρον ἀμπέλου· ὁ δὲ μῦθος ὅδε κενεόφρων: κούρων δὲ, διὰ τοῦτο ὁ Πίνδαρος ἐπαινεῖ παλαιὸν οἶνον.

74 c. ἄνθεα δ' ὕμνων νεωτέρων αἴνει: Ὅμηρος BCDEQ (α 351)·

τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι,
ἥτις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται. 79ᵃ B

d. ἄλλως· ἄνθεα ὕμνων τὰς ὑποθέσεις. ταῦτα δὲ αἰνίττεται πρὸς Σιμωνίδην. 74ᶜ B 79ᵃ EQ

75. νεωτέρων· λέγοντι: ἐπανάληψιν ποιεῖται τοῦ B(C)DEQ λόγου· λέγει γὰρ τὴν πρώτην πλημμύραν τοῦ ὕδατος Δευκαλίωνος. 74ᵈ B 79ᵃ CD 78ᶜ E 79ᵇ Q

78 a. ἄμπωτιν ἐξαίφνας: ἄμπωτιν λέγει τὸ πεδίον A τὸ γενόμενον ἐκ τῆς πλημμύρας τοῦ ὕδατος ἀναποθέντος, ἄντλον δὲ τὸ ὕδωρ καὶ τὴν χύσιν τοῦ ὕδατος, ἣν ἡ ἄμπωτις ἐξήρανεν. Ὅμηρος (ο 479)· ἄντλῳ δ' ἐνδούπησε.

b. τὸν δὲ κατακλυσμὸν γενέσθαι τινὲς διὰ Πέλοπος ἀνελόντος Ἄζανα, τινὲς δὲ διὰ τὸ περὶ τὸν Λυκάονος παῖδα ἀσέβημα ὑπὸ Λυκάονος δὲ διὰ τὴν κρεουργίαν. τὸν δὲ Δία βουλόμενον καθᾶραι τὴν γῆν τοῦ ἄγους κατακλύσαι.

---

20 Hesych. ἄντλον.

---

1 ἐπικλείουσαν ἄνθρωποι 2 νεοτάτη 4 ἔγρα(ψε) 5 ἀγαθῶν εἰδέον A prave: ἀγαθῶν ᾠδῶν b Ἀγαθοκλέους Bergk; an Ἀγαθωνίδου? ‖ ft. ἐπεὶ δὲ 6 ὁ (pr.) del. Gerhard ‖ οὔπω] οὐ τὸ Gerhard ‖ ἀμπέλ(ου) 7 post μῦθος dist. A ‖ ὅδε b: ὁ δὲ ‖ κούρων δὲ del. b 9 l. sic EQ: ἄνθεα δ' ὕμνων D om. BCv, add. καὶ ante Ὅμηρος Bv 12 om. D ‖ ἥτις] ἤ κεν E 13 ἄλλως om. BCv ‖ ἄνθεα δ' ὕμνων Bv ‖ τὰς om. DE 13.14 πρὸς Σιμ. αἰν. Bv 15 l. ἔγειρ' ἐπέων Bv λέγοντι μάν C ‖ ἐπανάληψιν ποιεῖ(ται) (C)DEQ: ἐπανάληψις Bv 16 λέγει DEQ: διηγεῖται Bv 16. 17 Δευκαλίωνος ft. delend. 21 δ' ἐπούδησε 23 τὸν ego: τοῦ 22—24 verba ἀνελόντος Ἄζανα et κρεουργίαν nescio quo modo permutata sunt; porro 24 δὲ διὰ deleri iubet Schroeder

BCDEQ 78 c. ἄμπωτις: ἄμπωτιν νῦν λέγει τὸ γενόμενον πεδίον ἐκ τῆς τότε πλημμυρίδος ἀναποθέντος τοῦ ὕδατος. d. τὸν δὲ κατακλυσμὸν γεγενῆσθαι οἱ μὲν διὰ τὸ Πέλοπος ἄγος ὅτι ἐκρεουγήθη· οἱ δὲ διὰ ⟨τὸ περὶ⟩ τὸν Λυκάονος παῖδα Ἄζανα ἀσέβημα ὑπ' αὐτοῦ τοῦ Λυκάονος, τοῦ Διὸς βουλομένου πάντα τῆς γῆς ἀποκαθᾶραι ἀσεβήματα. 79^c BQ 79^b E e. ἄμπωτιν: ἀνάποσιν. f. ἄμπωτις δὲ κυρίως ἡ αἰφνίδιος ὑποχώρησις ἡ ἐκ πλημμύρας τῶν ἐν θαλάσσῃ ὑδάτων,

BCEQ | ὡς ἐν Λιβύῃ λέγεται. g. τέχναις δὲ μηχαναῖς καὶ βουλήσεσι Διός. 78^c BQ 79^b CD 79^c E

BCDEQ 79 a. ὕδατος σθένος: τὴν ῥύσιν λέγει τοῦ ὕδατος, ἣν ἡ ἄμπωτις ἀνεξήρανε. Ὅμηρος (ο 479)· ἄντλῳ δ' ἐνδούπησε πεσοῦσα. 78^e B 78^c CD 75 EQ

CDEQ 79 b. ἄντλον: τὸ πλῆθος τοῦ ὕδατος, τὴν χύσιν, παρὰ τὸ ἀντλεῖσθαι. 78^e EQ

BCDEQ 79 c. κείνων δ' ἔσαν χαλκάσπιδες ὑμέτεροι πρόγονοι: λοιπὸν ὡς πρὸς τὸν Ἐφάρμοστον· ἀπ' ἐκείνων δὴ ἦσαν οἱ πρόγονοι ὑμῶν οἱ πολεμικώτατοι, ἐξ ἀρχῆς

---

3 sqq. Tzetzes ad Lyc. 72 (p. 365 M.): ὁ κατακλυσμὸς, ὡς ληροῦσι, γέγονε διὰ τὴν Πέλοπος κρεουργίαν . . . . ἢ διὰ Ἀξάονα (Ἄζανα scrib.) τὸν Λυκάονος καὶ τὸ τῶν Λυκάονος παίδων ἀσέβημα ὅτι τὸν Νύκτιμον κατατεμὼν ἔθυσε τῷ Διί. 9 cfr. Diod. 3, 40, 9. Eust. ad Dion. Per. 198. EM 86, 50. EG 46, 22

---

1 l. EQ: om. CD ἄλλως Bv ‖ νῦν om. Bv ‖ γενόμενον BEQ: λεγόμενον CD 2 πλημμύρας Bv 3 τὸ om. E 4 ὅτι ἐκρεούργησεν E (ὅτι et C) ‖ suppl. b ex A 5 Ἄζανα Bv: Ἀξανά D ἀράν(α?) E αὐξᾶναι Q lac. C ‖ ἀσέβημα — Λυκάονος om. B τοῦ Λυκ. om. Q 6 πᾶσαν τὴν γῆν E ‖ ἀνακαθάραι E ‖ ἀσεβήματα om. CDEQ 7 sch. 78e om. D ‖ ἄμπωτιν CEQ: ἀλλὰ Ζηνὸς τέχναις ἄμπωτιν· ἤτοι Bv ‖ ἀνάπωσιν Ev ‖ δὲ om. CD 7. 8 αἰφνιδία CD 9 ὡς om. E 10 βουλήσει Bv 11 ὕδατος σθένος CDEQ: ἄντλον ἑλεῖν: ἄντλον τὴν χύσιν καὶ Bv (79 a et 79 b glossae sine l., quas in unum contraxit B) 12 ἐξήρανεν CD ‖ post ἀνεξήρ. add. παρὰ τὸ ἀντλεῖσθαι Bv, om. Ὅμηρος 12. 13 δ' ἐδούπησε CQ (cfr. A 285, 21) 13 πεσών B 14 ἄντλον τὴν χύσιν τοῦ ὕ. τὸ πλ. Q ‖ λύσιν D 16 l.] ὑμέτεροι πρόγονοι (C)D κείνων δ' ἦσαν χαλκ. Q ‖ ἔσαν Bv: ἦσαν EQ 17 post Ἐφάρμ. add. φησιν Bv ‖ ὑπ' v 18 δὴ BEQ: δὲ CD ‖ ὑμῶν BQ: οἱ ὑμῶν D ἡμῶν CE ‖ ἐξ ἀρχῆς om. Q

*γενόμενοι ἐκ τῆς γενεᾶς τοῦ Προμηθέως.* ¦ *Ἰαπετοῦ γὰρ Προμηθεύς,* BCEQ *ἐξ οὗ [καὶ Κλυμένης] Δευκαλίων, ἐξ οὗ Πρωτογένεια.* [¦ *πάλιν Ἰαπετοῦ Ἐπιμηθεύς, ἐξ οὗ καὶ Πανδώρας Πύρρα·* B *Πύρρας δὲ καὶ Δευκαλίωνος Πρωτογένεια*], | *ἧς καὶ Διὸς* BCEQ *Ὀποῦς· ἐξ οὗ Ὀποῦντος οἱ ὄντες ἀπόγονοι τῆς κόρης τῆς Πρωτογενείας καὶ τοῦ ἀρίστου Κρονίδου [τουτέστι] τοῦ Διός, διὰ παντὸς τῆς αὑτῶν γῆς βασιλεύοντες.* $82^{g}$ B

79 d. *ἐναντίωμα δὲ κατὰ τὴν γενεαλογίαν ἐμπίπτει. τὴν* BCEQ *γὰρ Πρωτογένειαν οἱ μὲν Δευκαλίωνός φασιν, οἱ δὲ Ὀποῦντος, καὶ δοκεῖ συμφωνεῖν μήτε ἡ γενεαλογία μήτε ἡ ἱστορία. ἄλλο γάρ τι ποταμὸς Ὀποῦς καὶ ἄλλο ἀνὴρ ἐξ Ἰαπετοῦ. ἵν' οὖν τὸ ἀσύμφωνον ἀπὸ τούτων λυθῇ, φασί τινες τὸν Δευκαλίωνα διώνυμον εἶναι καὶ τὸν αὐτὸν λέγεσθαι Ὀποῦντα· ὥσπερ καὶ ἐπὶ τῆς Πηνελόπης. λέγεται γὰρ Ἀρναία πρότερον καλουμένη παρὰ τῶν φύντων εἰς τὴν θάλασσαν ἐκριφῆναι, εἶτα ὑπό τινων ὄρνεων πηνελόπων λεγομένων εἰς τὴν χέρσον ἐξενεχθῆναι, καὶ οὕτως ἀναληφθεῖσαν ὑπὸ τῶν γεννησάντων ὀνομασθῆναι Πηνελόπην ἀπὸ τῆς τῶν ὀρνίθων ὁμωνυμίας, καὶ τραφεῖσαν διώνυμον εἶναι τὸ λοιπόν.* $86^{d}$ B

---

14—19 Tzetzes ad Lyc. 792

---

1 *γινόμ.* E ‖ *τοῦ*] *τῆς τοῦ* Q (*τοῦ* supra vs.) v ‖ post *Προμηθέως* seq. in D 81 cum. l. *Ἰαπετονίδης*; hoc (*Ἰαπετιονίδος*) nescio unde in textum recepit b; tum Lehrs p. 28 *τῆς Ἰαπετιονίδος* cj., del. *τοῦ Προμηθέως* 2 *ἐξ* (pr.) om. C ‖ *καὶ Κλ.* om. CEQ; seclusi ‖ *ἐξ οὗ Πρωτογένεια* del. Lehrs p. 29; sed 3 *πάλιν* — 4 *Πρωτογένεια* ex 81 interpol. B; seclusi 5 *Ὀποῦς*] *Ὀποῦντες* Q, om. *ἐξ οὗ Ὀποῦντος* ‖ *ἐξ οὗ* eras. E. Ft. *ἐξ οὗ Ὀποῦντος* del. ‖ *Ὀποῦντος* BE (-*ος* e corr. E): om. C ‖ *οἱ ὄντες* Q$E^2$ (ras.): *οἱ ὄντες καὶ* B *οἱ ἄνδρες οἱ* C ‖ *τῆς κόρης* om. B 6 *καὶ* om. CEQ ‖ *τουτέστι* om. (C)EQ; seclusi 7 *αὐτῶν* Q? v: *αὑτῶν* BC$E^1$ *ἑαυτῶν* $E^2$ 8 *δὲ*] *δὲ μάλιστα* E ‖ *ἀναλογίαν* E 10 *μήτε* (pr.)] supra -*τε* add. *λε* (*ών* supra) $B^2$(B?) 11 *ποταμὸς*] *πάππος* cj. h ‖ ft. ⟨*ὁ*⟩ *ἐξ Ἰαπετοῦ* 12 *τούτων* Bv: *τούτου* $C^1$ *τοῦ τοιούτου* $C^2$EQ 14 *Ἀρναία* Tzetzes (recepi monente Scheer per litt.): *Ἀρνέα* BCE *Ἀρνέαν* Q 15 *καλουμένην* CQ 15. 16 *ἀπορριφῆναι* Qb (*ῥιφεῖσα* Tz.) 16 *πηνελοπῶν* EQ ‖ *καλουμένων* Qb 18 *ὀρνέων* Bv 19 *ὁμωνυμίας* BCE: *ἐπιμελείας καὶ ὁμ.* Qv ‖ *τοῦ λοιποῦ* B

A 80. *ὑμέτεροι πρόγονοι*: ὡς ἀπὸ Δευκαλίωνος ὄντων τῶν προγόνων Ἐφαρμόστου. τινὲς δὲ οὕτω τὰ γένη αὐτῶν· Ἰαπετοῦ καὶ .... Ἐπιμηθεύς, οὗ καὶ Πανδώρας Πύρρα Δευκαλίωνος γυνή. τούτων φησὶν εἶναι τοὺς προγόνους τῷ Ἐφαρμόστῳ.

CDEQ 81. *Ἰαπετιονίδος*: Ἰαπετοῦ Προμηθεύς, οὗ καὶ Κλυμένης γίνεται ὁ Δευκαλίων. Ἰαπετοῦ δὲ πάλιν ὁ Ἐπιμηθεύς, οὗ καὶ Πανδώρας Πύρρα. Πύρρας δὲ καὶ Δευκαλίωνος Πρωτογένεια.

BCDEQ 82 a. *κοῦροι κουρᾶν*: πληθυντικῶς εἶπεν· ἐχρῆν γὰρ ἑνικῶς εἰπεῖν· κοῦροι γὰρ κούρης τῆς Πρωτογενείας
B λέγει. 85$^{b}$ CDEQ b. *κοῦροι*: ὦ Ὀπούντιοι.

A 82 c. *καὶ φερτάτων Κρονιδᾶν*: τὸ ἑνικὸν ἀντὶ πληθυντικοῦ ἐξενήνοχεν. d. ἀντὶ ⟨τοῦ⟩ φερτάτου Κρονίδου· Διὸς γὰρ Λοκρὸς ὁ πρόγονος αὐτῶν. κουρᾶν δὲ πάλιν τῆς κόρης, τῆς Πρωτογενείας. e. ἢ ὡς καὶ Ἕλληνα φέρειν τὸ γένος ἢ ἀπὸ Δευκαλίωνος. δύναται δὲ καὶ ἀπὸ τοῦ Ὀποῦντος· Διὸς γὰρ ἦν, ὥς φησι Πίνδαρος, θέσει δὲ Λοκροῦ.

BCDEQ 82 f. *φερτάτων Κρονιδᾶν*: ἀντὶ τοῦ ἀπὸ φερτάτου Κρονίδου· Διὸς γὰρ Λοκρὸς ὁ πρόγονος αὐτῶν. 85$^{a}$ B

BCDEQ 82 g. τὸ δὲ *Ἰαπετιονίδος* φησὶ *φύτλας καὶ φερτάτων Κρονιδᾶν*, ἀντὶ τοῦ τῆς Πρωτογενείας καὶ τοῦ Διός, ἀφ' ὧν τοὺς Ὀπουντίους λέγει γεγενῆσθαι. 82$^{a}$ B 86 CDEQ

B 85 a. *πρὶν Ὀλύμπιος ἁγεμών*: πρόσθες σύνδεσμον

---

3 Πανδώραν A$^{ac}$ 5 τοῦ Ἐφαρμόστου? 6 Ἰαπετεονίδας C Ἰαπετονίδης D Ἰαπετιονίδης E Ἰαπετεονίδεις Q 7 γίνεται ὁ om. C (cfr. 287, 2) ‖ ὁ (alt.) om. CQ 10 τὸ δὲ l. praem. B ‖ κουρᾶν BDE: κουρῶν CQ 11 κοῦροι BCEQ: κούρη D. Ft. κουρᾶν, cl. 15 13 ἀντὶ] διὰ cj. b; potius scrib. πληθυντικῶς, del. ἀντὶ 14 τοῦ addidi 15 γὰρ V (21): ὁ A γὰρ ὁ b ‖ κούραν 15. 16 ⟨ἀντὶ⟩ τῆς κόρης b 16 Ἕλληνα ⟨εἰς Δία⟩? b; at 16—17 omnino corrupta 20 l.] καὶ φερτάτων B (καὶ et v) ‖ post ἀντὶ τοῦ add. τῆς Πρωτογενείας οὔσης Q 21 Λοκρὸς] Λοκρὸν E Ὀποῦς Beck 22 δὲ CDEQ: οὖν Bv ‖ Ἰαπετεονίδος (sic) BD$^{cp}$E: Ἰαπετεονίδας C Ἰαπεονίδεις Q ‖ φησὶ ante 23 καὶ trp. Bv 23 Κρονιδῶν CDQ ‖ τοῦ τῆς DEQ: τῆς Bv τοῦ C 24 ὧν CDEQ: οὗ Bv ‖ Ὀποῦντας Q

γάρ, ἵν' ᾖ συναρμοστέος ὁ λόγος τοῖς ἄνωθεν, καὶ εἰπέ·
πρὶν γὰρ Ὀλύμπιος ἀγεμών.

85 b. τὸ γὰρ παλαιὸν ὁ Ζεὺς ἀναρπάσας τὴν Πρωτο- BCDEQ
γένειαν ἥσυχος αὐτῇ ἐμίγη ἐν τῷ Μαινάλῳ ὄρει τῆς Ἀρκα-
δίας, καὶ μετὰ ταῦτα ἐγκύμονα ποιήσας ἤνεγκε τῷ Λοκρῷ,
ἵνα μὴ ὁ αἰὼν καὶ ὁ χρόνος αὐτὸν ἐξέλῃ τῆς ζωῆς ἔρημον
ὄντα παίδων [καὶ γονῆς] καὶ γένους. 79ᵈB 82ᶠCDEQ

86 a. Ἐπειῶν: Ἐπειοὺς τοὺς Ἠλείους, ἀπὸ Ἐπειοῦ τοῦ A
Ἐνδυμίωνος κληθέντας. τινὲς δὲ τὸν Ἐπειὸν Ἀεθλίου φασίν.

86 b. ἀπὸ γᾶς Ἐπειῶν: διὰ τούτων ὁ Πίνδαρος BCDEQ
τὴν Πρωτογένειάν φησιν ἐξ Ἤλιδος ἁρπασθεῖσαν εἰς Μαί-
ναλον τῆς Ἀρκαδίας ὄρος κομισθῆναι ὑπὸ Διός. 88 B
c. ἐξήλλαχε δὲ τὴν ἱστορίαν ὁ Πίνδαρος. τὴν γὰρ Πρωτο-
γένειαν οὐκ Ὀποῦντός φασιν οἱ πλείους, ἀλλὰ Δευκαλίωνος
καὶ Πύρρας. 92 B d. Ἐπειῶν τῶν Ἠλείων, ἀπὸ Ἐπειοῦ BC(D)EQ
τοῦ Ἐνδυμίωνος, ἢ τοῦ Ἀεθλίου τοῦ Ἐνδυμίωνος. e. Ὀποῦν- BCEQ
τος ἦν θυγάτηρ Ἠλείων βασιλέως, ἣν Ἀριστοτέλης (fr. 561)
Καμβύσην καλεῖ. 86ᵇB

87 a. ἁρπάσαις: ὁ Πίνδαρος τὴν Πρωτογένειαν ἀναρ- A
πασθεῖσαν ὑπὸ τοῦ Διὸς εἰς τὸ Μαίναλον τῆς Ἀρκαδίας
ὄρος κομισθῆναι, τὴν δὲ Πρωτογένειαν Ὀποῦντος τοῦ Ἠλείων
βασιλέως φησὶ θυγατέρα, ἄλλων τὴν Πρωτογένειαν Πύρρας
καὶ Δευκαλίωνος λεγόντων, ὥς Φερεκύδης φησὶν ἐν τῷ ε'
(FHG I, 85). b. ἁρπάσας οὖν τὴν Πρωτογένειαν καὶ ἔγκυον
αὐτὴν ποιήσας, ἵνα μὴ ὁ Λοκρὸς ἄτεκνος διατελοίη, δέδωκε
τῷ Λοκρῷ. ὁ δὲ Λοκρὸς τὸν ἀπὸ Διὸς καὶ Πρωτογενείας
παῖδα ὡς ἴδιον σχὼν ὠνόμασεν αὐτὸν Ὀποῦντα ὁμώνυμον
τῷ κατὰ μητέρα πάππῳ.

---

4 ἥσυχος BD: ἥσυχα C ἡσύχως E ἥσυχον Qb ‖ Μαινάλῳ B: Μαιναλίῳ DEQ (om. C) 6 ἐξέλῃ BE: ἐξέλθῃ CD ἐξάρῃ Q (ρ ex corr.) ἐξέλοι b 7 καὶ γονῆς om. CDEQ; seclusi 9 φησίν: b 10 l. om., οὖν post τούτων add. Bv (φησιν ibid. add. Q) ‖ γᾶν E 12 ὄρος om. Bv ‖ ὑπὸ τοῦ Δ. C(E) (cfr. A 87a) 13 γὰρ] δὲ B 15 ἄλλως sch. 86d praem. DQ ‖ Ἐπειῶν C(D)EQ: ἀπὸ γᾶς Ἐπ. B ‖ Ἐπειοῦ] Ἐπειοῦ τινος D, om. cett. 16 Ἐνδημίωνος utrobique CQ 17 τῶν Ἠλ. EQ 18 Καμβύσιν E Καμμύσιν C Καβύην Plut. qu. gr. 15 20 Μέναλον: b 21 κοσμηθῆναι: b 25 ἔδωκε b 28 μητεράππω: b

E[gl] 87 c. (*ἕκαλος*:) ἥσυχος. νύκτωρ.

A 88 a. *μίχθη*: μετὰ γὰρ τὸ φθαρῆναι αὐτὴν ἐγάμησεν ὁ Λοκρός.

BDEQ 88 b. *μίχθη Μαιναλίαισιν*: Μαίναλον ὄρος Ἀρκαδίας καὶ πόλις. ἐνταῦθα μιχθεὶς αὐτῇ ὁ Ζεὺς ἤνεγκε τῷ BCDEQ Λοκρῷ, | ἵν᾽ ὡς ἑαυτοῦ ἀναθρέψῃ τὸν γεννηθέντα.

A 88 c. Μαίναλος υἱὸς Λυκάονος, ἀφ᾽ οὗ τὸ ὄρος τὸ ἐν Ἀρκαδίᾳ ἱερὸν Διός.

BCEQ 89. *ἔνεικε Λοκρῷ*: Λοκρὸς ἔσχε τὸ γένος ἐκ Διός· ἀφ᾽ οὗ ἡ τῶν Λοκρῶν χώρα, ἧς Λοκρίδος μητρόπολις ἡ Ὀποῦς. 86[c] B

A 90 a. *μὴ καθέλοι μιν*: μιχθεὶς ὁ Ζεὺς Πρωτογενείᾳ καὶ ἔγκυον αὐτὴν ποιήσας δέδωκε Λοκρῷ. b. *ἵνα μὴ καθέλοι μιν αἰών*: ἵνα μὴ ἄτεκνος τελευτήσῃ. c. δέδωκεν αὐτῷ, μὴ ὀρφανεύσῃ τοῦ γένους, ἵνα ὡς ἑαυτοῦ θρέψῃ τὸν γεννηθέντα. ἐξ αὐτῆς γίνεται Ὀποῦς, ἐπίκλησιν Λοκροῦ, γένει Διὸς ὤν.

B 92 a. *ὀρφανὸν γενεᾶς*: ἄτεκνον. 94[a] B

BCDEQ 92 b. *ὀρφανὸν γενεᾶς*: λέγεται γὰρ ὁ Λοκρὸς ἄπαις γεγενῆσθαι καὶ τὸν ἐκ Διὸς συλληφθέντα ὑπὸ τῆς Πρωτο- CDEQ γενείας ἴδιον νενομικέναι παῖδα. | προεῖχε μέντοι ἡ γυνὴ ἡ Πρωτογένεια τὸ σπέρμα τοῦ Διός. 94[b] B

BDEQ 94 a. *εὐφράνθη τε ἰδὼν ἥρως θετὸν υἱόν*: εὐφράν- BCDEQ θη δὲ ὁ Λοκρὸς θεασάμενος τὸν παῖδα, | ὃς ἦν μὲν θετὸς αὐτοῦ κατὰ φύσιν, ἐκ δὲ τῆς ἀγνοίας ἴδιος αὐτοῦ ἐνομίζετο. 92[b] B b. θετὸν δὲ λέγει ὁ ποιητὴς ἐκ τοῦ ἰδίου

---

4 sch. Ap. Rh. 1, 168 7 sch. Theocr. 1, 124

---

2 ἐγάμη(σεν) A: ἔγημεν b 4 l. om. Bv add. δὲ post Μαίναλον 7 Μενέλ(αος): b 9 l. om. B, add. δὲ post Λοκρὸς 14 μιν ναίων || ἵνα Red.: εἰ A 16 Ὀποῦς E. Schwartz: ὀπτ(ῆς?) A 17 Λοκρῷ: ego 19 l.] om. Bv Λοκρῷ μὴ καθέλοι μιν. ὀρφανῶν δὲ γενεᾶς Q 20 συλληφθέντα] γεννηθέντα Q || τῆς B: τήν γε τῆς D τηυγέτης CEQ 22 ἡ om. EQ || τὸ] ὡς C 23 ἥρως θ. υἱόν om. DEQ 24 δὲ] τε Qb δέ φησιν Bv 25 αὐτοῦ (pr.) BDQ: om. CE || κατὰ φύσιν] καὶ οὐ κατὰ φύσιν υἱὸς Lehrs p. 29 || αὐτοῦ (alt.)] αὐτῷ Qb

προσώπου. [προειρήκει γὰρ ὅτι, εἶχε δὲ σπέρμα μέγιστον ἄλοχος, ἐκ Διός.] ὁ γὰρ Λοκρὸς ἴδιον αὐτὸν ἐνόμιζεν.

95. θετὸν υἱόν: ὁ Λοκρὸς δηλονότι τὸν Ὀποῦντα οὐκ **A**
ἐνόμιζεν εἶναι θετὸν υἱὸν (Διὸς γάρ), ἀλλὰ ἴδιον.

96 a. μάτρωος δ' ἐκάλεσέ νιν: κυρίως μήτρωες οἱ **A**
μητρὸς ἀδελφοί· νῦν δὲ τὸν τῆς μητρὸς πατέρα Ὀποῦντα μήτρωα. ἦν γὰρ Πρωτογενείας καὶ Διός, ἐπίκλησιν δὲ Λοκροῦ.

96 b. μάτρωος δ' ἐκάλεσσέ μιν ἰσώνυμον ἔμμεν: **BCDEQ**
ἡσθεὶς οὖν ἐκάλεσεν αὐτὸν τοῦ πρὸς μητρὸς πάππου τὸ ὄνομα. καὶ νῦν μὲν ὁ Πίνδαρος τὸν ἐκ μητρὸς πάππον μήτρωα ὀνομάζει· Ὅμηρος δὲ καὶ οἱ λοιποὶ τὸν τῆς μητρὸς ἀδελφὸν μήτρωα καλοῦσιν. φησὶν οὖν ἐν τῇ Ἰλιάδι (Π 717)·

Ἀσίῳ, ὃς μήτρως ἦν Ἕκτορος ἱπποδάμοιο,
αὐτοκασίγνητος Ἑκάβης, υἱὸς δὲ Δύμαντος.

96 c. μάτρωος δ' ἐκάλεσσέ μιν: ὁ Λοκρὸς τὸν **BEQ**
Ὀποῦντα. | ἦν δὲ ὁ Λοκρὸς Ἀμφικτύονος τοῦ Διός. καὶ **BCEQ**
ἐκάλεσε τοῦ μητροπάτορος τὸ ὄνομα. Ὀποῦς γὰρ ἐκαλεῖτο ὁ βασιλεὺς τῶν Ἠλείων, ᾧ καὶ οὗτος ὁμώνυμός ἐστιν. 99 **B**

98. ὑπέρφατον: ὑπερφυᾶ καὶ μέγαν καὶ τῷ εἴδει καὶ **B**
τοῖς πράγμασιν. 101 **B**

99 a. πόλιν δ' ὤπασεν: ἐνεχείρισεν αὐτῷ. b. ὥστε **A**
ἀπὸ Ὀποῦντος υἱοῦ τοῦ Διὸς ἡ πόλις ὠνόμασται.

99 c. πόλιν δ' ὤπασεν: ὄντι δὲ τῷ παιδὶ ἐξαιρέτῳ **BDEQ**
καὶ ἀνδρωθέντι ὁ Λοκρὸς τὴν πόλιν ἐνεχείρισε καὶ τὸν ὄχλον διαιτᾶν καὶ διοικεῖν. 98 **B**

---

5 cfr. ad sch. O. VI, 130    11 sch. BT Π 717

---

1 προειρήκει — 2 Διός om. **CDEQ**; seclusi ‖ αὐτὸν **CDEQ**: αὐτοῦ **Bv** αὐτοῦ Beck    9 ἐκάλεσε **DQ** ‖ ἰσ. ἔμμεν om. **CDEQ**    10 οὖν] οὖν ὁ Λοκρὸς **Bv** ‖ αὐτὸν] αὐτόν φησι **Bv**    11 καὶ — 15 Δύμαντος post 96 c **C**    13 καλοῦσι **Qv**: καλεῖ **BDE** ‖ οὖν **CDEQ**: γοῦν **Bv**    16 l. **E** et praem. ἄλλως **Q**: μάτρωα ἐκάλεσσεν **B** et praem. ἄλλως **v**    17 Ἀμφικτίωνος **Q**$^{1}$ ⟨Φύσκου τοῦ⟩ Ἀμφικτ. cj. Schroeder ad vs. 56, cl. Eust. Il. 277, 19. Plut. qu. Graec. 15 ‖ Διὸς] Δευκαλίωνος cj. Beck    18 τὸ om. **EQ**    19 ᾧ ὁμώνυμος οὗτος **Bv**, om. καὶ et ἐστιν    22 ἐνεχείρησεν    24 l. om. **B** ‖ πόλις **D**

BCDEQ 101. *ἀφίκοντο δέ οἱ ξένοι*: διαβοήτου δὲ τῆς τοῦ Ὀποῦντος ἀρετῆς τυγχανούσης πανταχόθεν τὰς ἰδίας αὐτῶν πατρίδας οἱ περίοικοι καταλελοιπότες πρὸς αὐτὸν ἔσπευδον. παρεγένοντο μὲν οὖν μέτοικοι πρὸς αὐτὸν ἀπό τε τοῦ Ἄργους καὶ Θηβῶν, καὶ οἱ μὲν ἐξ Ἀρκαδίας, οἱ δὲ Πισᾶται.

A 104 a. *υἱὸν δ' Ἄκτορος*: τὸν Μενοίτιον. τοῦτον δέ φησιν Ἄκτορος καὶ Αἰγίνης· ὃς [οὐκ] ἐκ Θεσσαλίας μετῴκησεν εἰς Ὀποῦντα. Πυθαίνετος δὲ (FHG IV, 487) Διὶ συνελθοῦσαν Αἴγιναν γεννῆσαι Αἰακὸν καὶ Δαμοκράτειαν, ἣν γαμηθῆναι Ἄκτορι ἐν Θετταλίᾳ καὶ τεκεῖν Μενοίτιον· ὕστερον δὲ τοῦτον εἰς Ὀποῦντα . . . · συγγενὴς γὰρ ὑπῆρχε τοῦ Λοκροῦ.

(B)CDEQ 104 b. *υἱὸν δ' Ἄκτορος*: τὸν Μενοίτιον λέγει τὸν BCDEQ Πατρόκλου πατέρα. c. ὑπὲρ πάντας τοὺς ἐνοικοῦντας ξένους ἐτίμησε τὸν Ἄκτορος παῖδα, τὸν ἐξ Αἰγίνης μητρὸς BDEQ Μενοίτιον. | Αἴγινα δὲ μήτηρ Αἰακοῦ, θυγάτηρ δὲ αὕτη B γίνεται Ἀσωποῦ τοῦ ἐν Θήβαις ποταμοῦ. d. ἀφίκοντο δέ οἱ ξένοι συνοικήσοντες αὐτῷ.

B 105. *ἐποίκων*: πάντων τῶν προειρημένων. 106[b]

BCDEQ 106 a. *Αἰγίνας τε Μενοίτιον*: Αἴγινα μετὰ τὸ τεκεῖν τὸν Αἰακὸν ἦλθεν εἰς Θεσσαλίαν καὶ ἐγαμήθη Ἄκτορι, ἐξ οὗ ἔσχε Μενοίτιον, ὃς ἐπῴκησε τὴν Ὀποῦντα ἀναστὰς ἀπὸ BDEQ Θεσσαλίας. 107 BDEQ b. τινὲς ἐκ Δαμοκρατείας τῆς Αἰγίνης καὶ Ἄκτορός φασι τὸν Μενοίτιον· ὁ δὲ Πάτροκλος Μενοιτίου ἦν καὶ Σθενέλης. 106[a] B 108 DEQ

6 sch. D Σ 9. sch. A ibid. 10. 11 20 Eust. Il. 113, 2

1 οἱ ξένοι om. Q 2 αὐτῶν om. B 3 αὐτὸν BQ: ἑαυτὸν CDE 5 καὶ τῶν Θ. DQ ‖ καὶ οἱ — Πισᾶται om. C ‖ οἱ δὲ Πισᾶται om. DEQ ‖ Πισάται Br 7 οὐκ seclusi 11 lac. indicavi; ἐλθεῖν suppl. b 13 sch. 104 b (cum l.) hic om. B; cfr. ad 15 14 ὑπὲρ πάντας CDE: καὶ ὑπὲρ π. Q ὑπὲρ π. δὲ Bv ‖ ἐποικοῦντας Mommsen suppl. p. 131 15 τετίμηκε D 15. 16 μητρός· Μενοίτιον B, add. λέγει τὸν Πατρόκλου πατέρα (= 104 b) 16. 17 αὕτη γίνεται EQ: αὐτὴ γέγονεν D om. Bv 20 l. om. BCv ‖ Αἴγινα DEQ: Αἴγινα γὰρ BCv 21 ἐς Bv 22 ἐπῴκησε B: ἐπῴκισε Q ἐποίκησε (C)DE 23 l. omisi: τοῦ παῖς ἅμ' Ἀτρείδαις Bv ἄλλως D Αἰγίνας Μενοίτιον E ἄλλως· Αἰγίνας τε Μενοίτιον Q ‖ Δημοκρ. E Δαμοκράτου Q

107 a. *τοῦ παῖς*: τοῦ Μενοιτίου παῖς ὁ Πάτροκλος ἀπὸ Σθενέλης. καὶ Μυρμιδόνα δὲ αὐτόν φησιν [αὐτὸν] Ὅμηρος (Σ 10)· Μυρμιδόνων τὸν ἄριστον. A

107 b. ὁ δὲ νοῦς· τούτου οὖν [φησι] τοῦ Μενοιτίου παῖς συστρατεύσας τοῖς Ἀτρέως παισὶν εἰς Μυσίαν κατήντησε, καὶ τῶν ἄλλων Ἑλλήνων εἰς φυγὴν τραπέντων μόνος αὐτὸς Ἀχιλλεῖ συμπαρέστη, ἡνίκα τοὺς γενναιοτάτους Ἕλληνας τρέψας καὶ νικήσας μέχρι τῶν νεῶν καὶ τοῦ πελάγους συνήλασεν ὁ Τήλεφος. 106[b] DEQ BDEQ

108 a. *Τεύθραντος*: τὴν Μυσίαν λέγει. βασιλεὺς γάρ τις τῶν ἐκεῖσε Τεύθρας γενόμενος ἀφ' ἑαυτοῦ ὠνόμασε τὴν πόλιν. ἦν δὲ ὁ Τήλεφος θετὸς παῖς Τεύθραντος· τῇ ⟨δὲ⟩ ἀληθείᾳ Αὔγης ἦν καὶ Ἡρακλέους ὁ Τήλεφος. A

108 b. Τεύθραντος πεδίον τὴν Μυσίαν λέγει. ὁ γὰρ Τεύθρας ἐβασίλευσε τῆς Μυσίας. ὅτε δὲ οἱ Ἕλληνες εἰς τὴν Μυσίαν παρεγένοντο κἀκεῖ νομίσαντες εἶναι τὴν Ἴλιον ἐπολέμουν τοῖς Μυσοῖς, ὁ Τήλεφος πάντας εἰς φυγὴν ἐτρέψατο καὶ μέχρι τῶν νεῶν ἤλασε πλὴν Ἀχιλλέως καὶ Πατρόκλου. διὰ τοῦτο [οὖν] μέμνηται τοῦ γένους τούτου ὡς ἀνδρείου. 115 Q BCDEQ

110 a. *ὅτ' ἀλκάεντας*: τὸν Μενοίτιον τὸν πατέρα Πατρόκλου ἀπὸ Αἰγίνης μητρὸς Ἀσωποῦ θυγατρός. A

b. θέλει οὖν εἰπεῖν ὅτι τούτου τοῦ Μενοιτίου παῖς σὺν τοῖς Ἀτρέως παισὶ συστρατεύσας εἰς Μυσίαν κατήντησε, καὶ Τηλέφου τοῦ Μυσῶν βασιλέως πάντας τρέψαντος εἰς φυγὴν

---

1 Apollod. 3, 13, 8, 4. sch. Ap. Rh. 1, 69. Cram. anecd. Oxon. 3, 378 2 sch. Σ 10. 11 10 St. Byz. *Τευθρανία* 15 Apollod. epit. 3, 17. sch. A *Α* 59

---

2 *Μυρμιδόνα δὲ* ego: *Μυρμιδόνες* **A** *Μυρμιδόνα* **b**, del. priore *αὐτόν* ‖ *αὐτὸν* seclusi 4 *δὲ*] *γὰρ* **Q** ‖ *φησι* post 5 *παῖς* trp. **DE**; seclusi 5 *στρατεύσας* **E** 7 *Ἀχιλεῖ* **B** 8 *τοῦ πελάγους* **B**: *τοὺς Πελασγοὺς* **DQ** *τοὺς πελασμοὺς* **E** 9 *συνήγαγεν* **D** 12 *ὁ Τεύθρας θ. π. Τηλέφου*: **b** ‖ *δὲ* addidi 14 *Τεύθραντος δὲ π.* **Bv** ‖ *λέγει* **BE**: om. **CDQ** 15 *Τεύθρας* **BEQ**: *Τήλεφος Τεύθρας* **CD** ‖ *ἐβασίλευε* **CD** 17 *ὁ*] *καὶ ὁ* **Qv** 18 *Ἀχιλλέος* **B** 19 *οὖν* **BC**: om. **DEQ**; seclusi ‖ *τοῦ*] *καὶ τοῦ* **E** ‖ *τούτου* **CDEQb**: *τοῦδε* **Bv**

μόνος Ἀχιλλεὺς καὶ Πάτροκλος ἔμειναν. ὡς ἀνδρείου οὖν νῦν τοῦ γένους μέμνηται.

ADEQ 113a. ὥστ' ἔμφρονι δεῖξαι: ὥστε παραστῆσαι τῷ
A φρονίμῳ ᾗ ἐκέχρητο ἀνδρείᾳ ὁ Πάτροκλος. b. ὥστε γνῶναι τὸν ἔμφρονα ὅτι γενναῖος ἦν ὁ Πάτροκλος ἀνθιστάμενος Τηλέφῳ.

(C)DEQ 113c. ὥστ' ἔμφρονι δεῖξαι: οὗτος ἔστη μόνος ἅμα
B(C)DEQ τῷ Ἀχιλλεῖ. d. ὥστε δυνατὸν εἶναι δεῖξαι παντὶ φρονίμῳ πρὸς τὸ γνῶναι τὴν τοῦ Πατρόκλου ἐπὶ τῇ ἀνδρείᾳ διάνοιάν τε καὶ σπουδὴν καὶ θάρσος. 119 Q

A 114. μαθεῖν Πατρόκλου: οὕτως ἔστη ἐν τῷ πολέμῳ ὥστε παντὶ ἀνθρώπῳ νοῦν ἔχοντι δειχθῆναι τὴν ἰσχὺν καὶ φανερὰν γενέσθαι.

B 114. βιατάν: ἰσχυρὸν, ἀνδρεῖον.

A 115a. ἐξ οὗ Θέτιος γόνος: ἐξ ἐκείνου, φησὶ, τοῦ χρόνου παρῄνει αὐτὸν Ἀχιλλεὺς μήποτε ἐν τῷ ὀλεθρίῳ πολέμῳ χωρὶς τῆς ἑαυτοῦ παρουσίας παρατάττεσθαι, ἀλλ' ἅμα αὐτῷ πολεμεῖν.

AB(C)DEQ 115b. ἐξ οὗ Θέτιος γόνος: θαυμάσας, φησὶν, ὁ Ἀχιλλεὺς ἐν τῇ προσβολῇ τὴν βίαν τοῦ Πατρόκλου ἀρχὴν ἔλαβε τοῦ θαυμάζειν, καὶ παρῄνει μηδέποτε χωρὶς τάττεσθαι
A τῆς πολεμικῆς αὐτοῦ τάξεως. c. ἰδίως δὲ τοῦτο τάσσει χαριζόμενος τῷ Πατρόκλῳ· Ὅμηρος γὰρ διὰ παντὸς λέγει
BCEQ αὐτὸν θεράποντα Ἀχιλλέως. d. Ὅμηρος (Π 89)·

μὴ σύ γ' ἄνευθεν ἐμεῖο λιλαίεσθαι πολεμίζειν
Τρωσὶ φιλοπτολέμοισιν· ἀτιμότερον δέ με θήσεις. 113Q

A e. ἢ οὕτως· ἐκ τῆς πρὸς τὸν Τήλεφον μάχης παρηγορεῖτο κατὰ ψυχὴν καὶ τεθαρσήκει, ὅτι τὸν Πάτροκλον εἶχε διαπαντὸς παραστάτην.

---

1 Ἀχιλεὺς 1.2 ὡς ἀνδρεῖοι οὖ νῦν τὸ γένος A: correxi ex V 5 εὔφρονα: b 7 l. B (ante 113d): ἄλλως DEQ om. C || οὗτος] οὕτως C || ἔστη CQ: ἔσται D ἔστι E || ἅμα om. CD 11 οὗτος: ego 16 Ἀχιλ(εὺς) 19 l.] οὐλίῳ μιν ἐν Ἄρει A 20 Ἀχιλεὺς AB || τὴν A: τότε τὴν V || βίαν AV: ἀξίαν v (. ίαν B charta perforata) 21 θαυμάζειν A: θαυμάζειν αὐτὸν V φιλεῖν αὐτὸν Lehrs p. 30 (non male) || παρῄνει V: παραινεῖ A || μήποτε V || τάσσεσθαι χωρὶς BCv 24 Ἀχιλ(έως) || καὶ Ὅμ. Bv 25 ἐμοῖο CEQ || λιλαίεσθαι] λιλαῖο E (cfr. A 118c) om. C 26 φιλοπολ. CEU

118 a. *σφετέρας*: ἀντὶ τοῦ τῆς ἑᾶς. B

118 b. *ταξιοῦσθαι*: παρατάττεσθαι. AB

118 c. Ὅμηρος (Π 89)· A
μή σύ γ' ἄνευθεν ἐμεῖο λιλαίεσθαι πολεμίζειν.

119 a. *εἴην εὑρεσιεπής*: τοῦτό φησιν ὅτι ἔπλασε τὰ A περὶ Πατρόκλου εἰρημένα εἰς ἔπαινον τοῦ Ἐφαρμόστου Ὀπουντίου ὄντος. b. γενοίμην, φησὶ, διαπαντὸς εὑρίσκειν δυνάμενος τρόπους καὶ διηγεῖσθαι τὰς πράξεις τῶν ἀρχαίων.

119 c. *εἴην εὑρεσιεπής*: ὡς σεμνυνόμενος τοῖς διηγή- BCDEQ μασί φησιν· εἴην δὲ λόγων καινοπρεπῶν εὑρετὴς ἐπὶ τῷ διηγεῖσθαι καὶ πρόσφορος ποιητικῇ μούσῃ καὶ τρόπῳ Μουσῶν ἁρμόδιος. d. ἄλλως· γενοίμην, φησὶ, διὰ παντὸς δυνάμενος εὑρίσκειν λόγους καὶ διηγεῖσθαι πράξεις. 122$^b$ B
e. ταῦτα δὲ λέγει διὰ τὸ πλάσασθαι αὐτὸν τὸ ἐπὶ Πατρόκλου προειρημένον ἐπαινεῖν βουλόμενος τὸν Ἐφάρμοστον Ὀπούντιον ὄντα Πατρόκλου πολίτην. 122$^c$ B

120 a. *εὑρεσιεπής*: καινολόγος. BEQ

120 b. *ἀναγεῖσθαι*: διηγεῖσθαι. B

121 a. *πρόσφορος*: κατάλληλος ἐν ποιητικῇ. ἐπιτή- A δειος. αἴτιος.

121 b. *πρόσφορος*: μέγας. διαφέρων. EQ
c. *πρόσφορος*: εὐεπίφορος ἐν ποιήμασιν. ἐπιτήδειος. BEQ ἱκανός. 123 B d. ταῦτα δέ φησιν ἐπειδὴ εἶπε τὴν περὶ EQ Πατρόκλου ἱστορίαν, ἣν οὐδεὶς εἴρηκε.

122 a. *τόλμα δὲ καὶ ἀμφιλαφής*: εἴη μοι τολμᾶν A καὶ ἀποκινδυνεύειν διαπλάσσοντι τὰ τοιαῦτα.

---

2 παρατάσσεσθαι Bv 4 γ' om. ‖ λιλαίεο 7 ὄντως: b 8 τρόπους] λόγους V (13) ‖ καὶ διηγ. V: ἐκδιηγ. A 9 εὑρησιεπής Bv 10 τῷ CDEQ: τοῦ B$^1$ τὸ B$^s$v 11 καὶ (pr.) om. C ‖ προσφόρως EQ ‖ μούσῃ om. Lehrs p. 30; et corrupt. vid. 12 ἁρμόδιος Lehrs l. l.: ἁρμοδίῳ Bv ἐναρμονίῳ CDE ἐναρμονίων Q 13 λόγον B 14 τὸ] τὸ διὰ CD 14. 15 Πατρόκλου ego: Πατρόκλῳ codd. Πάτροκλον v 15 βουλόμενος B$^s$ -ον B$^1$: om. CDEQ 16 πολίτην CDEQ: συμπολίτην Bv 20 αἴτιος] οἰκεῖος? Schroeder 21 ἄλλως praem. E 22 l. om. EQ ‖ ἐπίφορος· ἐν π. ἐπιτ. E 23 ἱκανός om. E φησιν ego: φασιν E εἶπεν Q ‖ εἶπε E: φησι Q 24 Πάτροκλον Q

B(C)DEQ 122 b. *ἀμφιλαφὴς δὲ δύναμις ἕσποιτο*: ἐμοὶ δὲ παρέποιτο ἐν τοῖς λόγοις ὁμοῦ μὲν εὐτολμία, ὁμοῦ δὲ καὶ δαψίλειά τις δυναμέως. 119ᵉ B

BCDEQ 122 c. τὸ δὲ ἀμφιλαφής κατὰ ἀντιστοιχίαν εἴρηται κατὰ ἔθος τῶν Μακεδόνων μεταθέσει τοῦ $\bar{β}$ εἰς φ· ἔστι γὰρ ἀμφιλαβής, ὅ ἐστιν ἀμφοτέραις λαβεῖν ταῖς χερσίν. τοῦτο δὲ ἐπὶ πλήθους συμβαίνει. 120 B

A 123 a. *ξενίᾳ δ' ἀρετᾷ*: ὡς οἰκείου ὄντος τοῦ Λαμπρομάχου πρὸς τὸν Ἐφάρμοστον διὰ Λαμπρόμαχόν φησι γεγονέναι τὸν ἐπίνικον καὶ δι' ἣν εἶχον προξενίαν πρὸς αὐτόν. b. *τιμάορος δὲ εἶπεν* ἀντὶ τοῦ τιμητὴς ἐσόμενος καὶ τιμῶν διὰ τῆς ἀρετῆς τοῦ ὕμνου, ὡς τοῦ Λαμπρομάχου καὶ Ἐφαρμόστου νενικηκότων Ἴσθμια τῇ αὐτῇ ἡμέρᾳ καὶ Νέμεα. μετὰ δὲ ταῦτα καὶ ἄλλα δὶς ἐνίκησεν Ἴσθμια ὁ Ἐφάρμοστος.

BCDEQ 123 c. *προξενίᾳ δ' ἀρετᾷ τ' ἤλυθον*: πρόξενος ἦν Θηβαίων Λαμπρόμαχος, δι' ὃν ἔγραψε τὴν ᾠδὴν ταύτην ἦν δὲ καὶ Ἰσθμιονίκης. δύναται δὲ καὶ τοῦ Πινδάρου
BDEQ πρόξενος εἶναι. | ὁμοῦ δὲ νενικήκασιν Ἴσθμια καὶ Νέμεα τῇ αὐτῇ ἡμέρᾳ αὐτὸς καὶ ὁ Ἐφάρμοστος. μετὰ δὲ ταῦτα ἄλλα
DEQ δὶς νενίκηκεν Ἴσθμια ὁ Ἐφάρμοστος. d. προξενίᾳ τῇ
BCDEQ φιλίᾳ. e. τὸ δὲ ἑξῆς οὕτως ἔχει· διὰ δὲ τὴν προξενίαν, τουτέστι τὴν φιλίαν, καὶ τὴν ἀρετὴν τοῦ Λαμπρομάχου ἦλθον ἐπαινέτης τῶν ἐν τῷ Ἰσθμῷ μιτρῶν, ὅτι κατὰ μίαν ἡμέραν οἱ δύο ἐνίκησαν, ὁ μὲν Ἐφάρμοστος Ὀλύμπια, ὁ δὲ

---

4—7 lex. Bachm. 81, 13. EM 91, 21. EG 48, 47. Suid.

---

1 l. E: ἄλλως Bv ἀμφιλαφής C ἀμφ. δέ D ἀμφ. δὲ δύναμις Q 2 ἐν τ. λ. παρέποιτο C(D) ‖ ὁμοῦ μὲν εὐτόλμως D ἡ Μοῦσα εὐτόλμως C ‖ δὲ καὶ CDE: δὲ BQv 4 ἀντιστοιχίαν B^{cp}E: ἀντιστοίχειαν C ἀντιστοίχαν D ἀντίστοιχ(ον) Q ἀντιστοίχου v 5 τῶν om. Bv ‖ μετάθεσις Q ‖ β] $\bar{ω}$ E^{pc} ‖ $\bar{φ}$ BCQ: τὸ $\bar{φ}$ DE 6 ἀμφιλαβής CEQ: ἀμφιλαβές BDv ‖ τοῖς E 7 πλήθη v πλήθει Oxon. 8 ἀρετά 10 ft. εἶχε 14 ἄλλα δὶς b ex V: ἄλυδις 16 ἀρετῇ EQ ‖ τ' ἤλυθον om. CD 16. 17 πρόμαχος ἦν Θηβαῖος Λ. E 17 Λαμπρ. om. D ‖ τὴν om. E 19 νενίκησαν D νενίκηκαν E 20 καὶ ὁ] καὶ D τε καὶ Q 21 προξενίᾳ D: ἄλλως· προξενίᾳ δ' ἀρετῇ τε E πρ. δ' ἀρετᾷ Q 22 δὲ (alt.) om. D 24 pro μιτρῶν lac. B

Λαμπρόμαχος Ἴσθμια. f. ἔνιοι δέ φασιν ὅτι οἱ δύο Ἴσθ- BCEQ
μια ἐν μιᾷ ἡμέρᾳ ἐνίκησαν.
125 a. *Λαμπρομάχου*: τὰ β′ μία ἐστὶ περίοδος. A
b. *μίτραισι* δὲ ταῖς νίκαις.
125 c. *Ἰσθμίαισι Λαμπρομάχου*: Λαμπρόμαχος συγ- EHQ
γενὴς τοῦ Ἐφαρμόστου, κατὰ μίαν ἡμέραν Ἴσθμια σὺν
αὐτῷ νικήσας. d. μίτραις νῦν τοῖς στεφάνοις καὶ ταῖς BCEQ
νίκαις. μίτρας γὰρ ἔνδοθεν τῶν στεφάνων καὶ διαδήματα
ποικίλα εἰώθασι συνδεῖν.
128 a. *ἄλλαι δὲ δύο ἐν Κορίνθου πύλαις*: ἐν δὲ BEQ
Ἰσθμῷ ἄλλαι δύο νῖκαι ἐγένοντο Ἐφαρμόστῳ ἑξῆς. 130 EQ
b. *χάρμαι* νῦν χαραὶ καὶ ἡδοναί· καθ' Ὅμηρον δὲ (H 218) BCEQ
αἱ μάχαι. c. ἄλλως· ἤτοι μάχαι, ἢ χαραὶ καὶ νῖκαι ἐγένοντο BEQ
αὐτῷ ἐν τῷ Ἰσθμῷ· Κορίνθου γὰρ πύλαι ὁ Ἰσθμός. 132 E 134 Q
129. *ἔπειτα χάρμα*: νῦν ἀντὶ τοῦ χαρά· Ὅμηρος δὲ A
ἐπὶ τῆς μάχης· οἱ δὲ περὶ Ἴβυκον (fr. 62) καὶ Στησί-
χορον (fr. 94) χάρμην τὴν ἐπιδορατίδα φασίν.
130 a. *τὰ δὲ καὶ Νεμέας*: καὶ ἐν τῇ Νεμέᾳ Ἐφάρ- A
μοστος ἐνίκησε· ἐν Ἀθήναις δὲ τὰ Παναθήναια.
130 b. καὶ ἄλλαι δὲ χαραὶ ἐγένοντο τῷ Ἐφαρμόστῳ ἐν BDEQ
τῷ κόλπῳ τῆς Νεμέας. ἔστι δὲ | περίφρασις ἀντὶ τοῦ ἐν BCDEQ
Νεμέᾳ. κατὰ κοινοῦ δὲ ἀκουστέον τὸ ἐγένοντο χάρμαι. 128b EQ

---

125 e. EM p. 588, 46: Μίτραι κυρίως αἱ ἀπὸ φασκίων καὶ ὡραρίων γινόμενοι στέφανοι· ἐν καταχρήσει δὲ πᾶς στέφανος μίτρα λέγεται, ὡς καὶ ἐνταῦθα. οὕτως εὗρον εἰς τὸ σχόλιον τοῦ Πινδάρου Ἐφαρμόστῳ Ὀπουντίῳ. Eust. Il. 454, 19

8 Hesych. Phot. Suid. lex. Bachm. 302, 12 12 sch. *N* 82

---

1 φασιν om. **Bv** 5 Ἰσθμ. om. **H** ‖ Λαμπρόμαχος **EQ**: οὗτος **H** 7 ἐνίκησε **H** ‖ sch. 125 d l. Ἰσθμίαισι Λαμπρομάχου μίτραις praem. **B** ‖ καὶ om. **Q** 8. 9 καὶ δ. ποικίλα om. **Q** 10 ἐν Κ. πύλαις om. **EQ** 10. 11 δὲ om., φησιν post Ἰσθμῷ add. **Bv** 11 δύο om. **E** ‖ ⟨χαραὶ καὶ⟩ νῖκαι? Lehrs p. 30 12 χάρμαι γὰρ (δὲ v) νῦν ἀντὶ τοῦ χαραὶ κ. ἡ. **Bv** ‖ καὶ om. **E** 13 μάχαι **BC**: αἰχμαί **EQ** 14 Ἰσθμίῳ **EQ** ‖ γὰρ] δὲ **Q** ‖ ὁ Ἰσθμός om. **Q** 18 τάδε **A**ac τᾶδε **A**pc 20 ὁ δὲ νοῦς praem. **Bv** ἐγένοντ' ἔπειτα χάρμαι (-μα **E**) praem. **EQ** 21 Νεμέας κατὰ κόλπον pro l. praem. **C** 22 ἀπὸ κοινοῦ **CQb** ‖ τὸ — χάρμαι om. **D** ‖ χάρμα **E** 24 ὡραρίων Sturz (Et. Gud. p. 970), Schneider ex Eustath.: ὠαρίων

A 131. *κατὰ κόλπον*: κατὰ κόλπον Νεμέας. ἐξυπακουστέον δὲ τὸ χάρμα.

A 132 a. *Ἄργει τ' ἔσχεθε*: τὰ Ἑκατόμβαια νικήσας καὶ τὰ Ἥραια ἐνίκησεν. οὗτος δὲ ἐν Ἄργει ἐτελεῖτο ὁ ἀγών.

BCDEQ 132 b. *Ἄργει τ' ἔσχεθε κῦδος ἀνδρῶν*: ἀντὶ τοῦ, καὶ ἐν Ἄργει δὲ δόξαν προσείληφεν ἀνδρῶν νικήσας τὰ Ἥραια.

DEQ c. ἀντὶ τοῦ ἐν ἀνδράσι νικᾷ ἐν Ἄργει. 134 CDE 137 Q

BCDEQ 133 a. ἀπὸ κοινοῦ [δὲ] τὸ κῦδος ἔσχε. b. ἢ τὰ Παναθήναια ἢ τὰ Ὀλύμπια. 137 CD 134e E 132 Q

A 134 a. *οἷον ἐν Μαραθῶνι*: τὰ β' μία ἐστὶ περίοδος. b. τὸ οἷον θαυμαστικῶς. ἀγωνιζόμενος γὰρ ἐν Μαραθῶνι ἔκκριτος γενόμενος ἐκ τῶν ἀγενείων προβὰς ἄνδρας ἐνίκησε. c. δύναται δὲ τὸ οἷον καὶ ψιλῶς ἀντὶ τοῦ μόνον τὸν ἀγῶνα.

BCDEQ 134 d. *οἷον δ' ἐν Μαραθῶνι συλαθείς*: [νῦν τὰ Ἡράκλεια λέγει. τοῦ δὲ οἷον] διπλῆ ἡ ἐκδοχή. τινὲς γὰρ τὸ οι̅ ψιλῶς ἀναγινώσκουσιν, ἵν' ᾖ· μόνον ἐν Μαραθῶνι ἀγενείων ἀγωνισάμενος ἡττήθη· καὶ μετεγγράψας ἑαυτὸν εἰς τοὺς ἄνδρας ἐνίκησεν. ἄτοπον δὲ τοῦτο· οὐ γὰρ ἂν ἐγκωμιάζων περὶ ἥττης ἔμελλε λέγειν. οἱ δὲ θαυμαστικῶς, ὃ καὶ βέλτιον· ὅπως δὲ καὶ οἵως ὑπέμεινεν ἐν Μαραθῶνι ἀγωνιζόμενος πρὸς τοὺς προβεβηκότας ἄνδρας, ἀποσυληθεὶς τῶν
BCEQ ἀγενείων καὶ ὑπεξελθὼν | καὶ εἰς τοὺς ἄνδρας χωρήσας, ἡνίκα περὶ ἀργυρῶν φιαλῶν προέκειτο ἀγωνίζεσθαι. 133 CDEQ

---

3 Hes. Ἑκατόμβαια.

---

3 *ἔσχεθε*] *ἐσ-* e corr. || *τὰ Ἑκατόμβαια* **b**: *τὸ Ἑκατόμβαιον* || *νικήσας καὶ* **A**: *ἢ* **b**, om. *νικήσας*. Ft. *νικήσας. ἢ τὰ Ἥρ.* 5 *κῦδος ἀνδρῶν* om. **C** *ἀνδρῶν* om. **DEQ** 6 *καὶ* om. **EQ** 7 *ἐν ἀνδράσι* **D**: *ἀνδράσι* **EQ**$^{cp}$ *ἀνδρεῖα* **b** ex Vr$^{d}$ 8 sch. 133a *καὶ ὡς παῖς ἐν Ἀθάναις* (**v**; *Ἀθήναις*? **B**) praem. **Bv** || *δὲ τὸ* **BC**: *δὲ* **DQ** om. **E**. Seclusi *δὲ* || *ἢ* **CDEQ**: *νικήσας* **Bv** *νικήσας ἢ* **b** 15 *συλᾱθείς* **B**: om. **CDEQ** || *νῦν — οἷον* om. **CDEQ**; seclusi cl. 134e.f. 17 *οι̅* **EQ**: *οἱ* **CD** *οἷον* **B** 18 *μεταγράψας* **Q** *μεταστρέψας* **C** *μετέγρα(ψεν?)*, om. *ἐνίκησεν*, **D** 19 *ἄτοπον* — 20 *λέγειν* om. **D** 20 *περὶ τῆς ἥττης* **Qb** || *θαυμαστῶς* **DE** || *καὶ* om. **B** 21 *δὲ* om. **E** || *οἷον* **E** || *ἐν τῇ Μαρ.* **Bv** 22 *βεβηκότας* **E** || *τῶν* **CDEQ**: *ἀπὸ τῶν* **Bv**

134 e. τὰ Ἡράκλεια. f. τὸ δὲ οἷον θαυμαστικόν. E

137 a. ἀμφ' ἀ ρ γ υ ρ ί δ ε σ σ ι: ἀργύρειαι φιάλαι ἆθλα ἦσαν ἐν Μαραθῶνι ἐν τοῖς Ἡρακλείοις. A

137 b. ἀμφ' ἀ ρ γ υ ρ ί δ ε σ σ ι: τοῖς ἐν Μαραθῶνι ἀγωνιζομένοις φιάλαι ἀργυραῖ δίδονται τὸ ἔπαθλον. Ἀθηναίοις δὲ ἔθος χρυσίδας καὶ ἀργυρίδας λέγειν. BCDEQ

138 a. ὀ ξ υ ρ ε π ε ῖ δ ό λ ῳ: ὀξυτάτῃ ἐπιμελείᾳ καὶ τέχνῃ. δόλῳ, παλαίσματι δολίῳ. καταγωνισάμενος τῇ παλαιστικῇ ὀξύτητι. b. τὸ δὲ ἀ π τ ω τ ὶ ἐπιρρηματικῶς. A

138 c. φ ῶ τ α ς δ' ὀ ξ υ ρ ρ ε π ε ῖ δ ό λ ῳ: τῇ ὀξυτάτῃ καὶ ἐπιμελεῖ τέχνῃ. d. ὁ νοῦς· τοὺς δὲ ἄνδρας τοὺς ἀνταγωνιστὰς αὐτοῦ τέχνῃ νικήσας ὀξυτάτῃ, [αὐτὸς] μὴ πεσὼν μήτε ὑποστὰς πτῶμα διέβαινε τὸν κύκλον τοῦ σταδίου μεθ' ὅσης βοῆς. e. ἤτοι τὸν ἀγῶνα. f. μεθ' ὅσων ἐπαίνων. BCDEQ

140 a. δ ι ή ρ χ ε τ ο κ ύ κ λ ο ν: τὸν τοῦ σταδίου ἔνθα ἠγωνίζοντο κύκλον. b. σὺν βοῇ τῇ τῶν θαυμαζόντων. A

140 c. δ ι ή ρ χ ε τ ο κ ύ κ λ ο ν ὅ σ σ ᾳ: ἀντὶ τοῦ μεγάλῃ. d. ὁ νοῦς· αὐτὸς κατὰ τὴν ἄθλησιν οὐ πεσὼν (θαυμαστικῶς) μεθ' ὅσης δὲ βοῆς κύκλον, τὸν τοῦ σταδίου φησὶ, διήρχετο. DEQ

140 e. ὅ σ σ ᾳ β ο ᾷ: μετὰ πάσης βοῆς παριόντι αὐτῷ ἐπήχουν πάντες καὶ ἐθαύμαζον. A

141 a. ὡ ρ α ῖ ο ς ἐ ώ ν: τὸ ἄκρον τῆς ὥρας καὶ τῆς ἀκμῆς ἔχων. b. οἷον καλὸς ὢν καλὰ ἔπραξεν. A

141 c. ὡ ρ α ῖ ο ς ἐ ὼ ν κ α ὶ κ α λ ό ς: νεανίας μὲν ὢν καὶ θαυμαστὸς τῷ ὀφθῆναι, ταῖς δὲ πράξεσιν οὐ καταισχύνων BDEQ

---

5 sq. Athen. 11, 502a. lex. Bachm. 141, 22

---

2 ἀργύρειαν 4 l. om., γὰρ post τοῖς add. Bv 5 δίδονται τὸ DEQ: ἐδίδοντο BCv ‖ Ἀθηναίων CDE 9 ἀπτωτὶ Bergk: ἀπτῶτι ‖ ἐπιρρηματικόν: b 10 l. om. D φῶτας δ' om. CEQ ‖ ὀξυερπεῖ Q[1] ‖ τῇ CDEQ: ἀντὶ τοῦ Bv 11 ὁ νοῦς CDE: ὁ νοῦς τούτου Bv om. Q 11. 12 ἐπαγωνιστὰς E 12 ὀξυτ. νικήσας Bv ‖ αὐτὸς om. CDEQ; seclusi 14 ἤτοι — μεθ' B: καὶ CDEQ 19 δὲ om. D ft. recte ‖ τὸν om. D ‖ φησι om. D 21 παριόντι ego: παρόντι 25 l. om. Bv καὶ καλός om. D

τὸ εἶδος. d. ὄσσᾳ δὲ βοᾷ, μεγάλῃ βοῇ. τὸ γὰρ ὄσσᾳ θαυμαστικῶς.

A 143 a. τὰ δὲ Παρρασίῳ στρατῷ: Κλεοφάνης ἐν τῷ περὶ ἀγώνων (FHG IV, 366). τῷ Ἀρκαδικῷ, ὡς ἐν Ἀρκαδίᾳ τὰ Λύκαια νενικηκότος. ἐν τῇ Ἀρκαδίᾳ γὰρ ἤγοντο τῷ Διὶ τὰ Λύκαια.

BCDEQ 143 b. τὰ δὲ Παρρασίῳ στρατῷ: ἐν τῷ δήμῳ τῆς Ἀρκαδίας. Παρρασία δὲ μέρος Ἀρκαδίας, ἔνθα τελεῖται
BDEQ Λυκαίου Διὸς ἀγών. c. τὰ δὲ ἔργα αὐτοῦ τὰ ἐν τῷ ἀγῶνι τοῦ Λυκαίου Διὸς κατὰ τὴν Παρρασίαν τῆς Ἀρκαδίας ὅπως αὐτὸν ἔδειξε θαύματος ἄξιον.

A 145 a. Λυκαίου: ἐν τῇ Ἀρκαδίᾳ, ὅπου ὁ Ζεὺς τετίμηται. b. καὶ Λύκαιος ἀπό τινος Λυκαίου.

B(C)DEQ 146 a. καὶ ψυχρᾶν ὁπότε: ἐφάνη δὲ θαυμάσιος καὶ ἡνίκα τῶν ψυχρῶν αὐρῶν καὶ τοῦ κρύους τὸ φάρμακον καὶ τὸ βοήθημα ἀπὸ τῆς Πελλήνης λαβὼν ἔφερε, τὴν χλανίδα. ταύτην γὰρ ἐλάμβανον οἱ νικῶντες. b. οἷον τρίβωνας. c. ὁ δὲ ἀγὼν ἐν Πελλήνῃ Ἕρμαια καλεῖται. 146h B

A 146 d. εὐδιανόν: εὐδίαν ποιοῦν.

DEQ 146 e. εὐδιανὸν φάρμακον: ἀπὸ κοινοῦ τὸ θαυμα-
CEHQ στὸς ἐφάνη. f. [εὐδιανὸν δὲ] ἀντὶ τοῦ ἀνάπαυσιν τὴν
BCDEQ ἀλεξάνεμον. g. ὅτι ἐν Πελλήνῃ χλαῖνα ἐδίδοτο τῷ νικῶντι

---

18 sqq. sch. Ar. Av. 1421. Strab. 8, 386. Phot. et Hesych. Πελληνικαὶ χλαῖναι. Poll. 7, 67.

---

1 ὄσσᾳ δὲ βοᾷ **DE** ὄσσᾳ βοᾷ **Q**: ὄσσᾳ βοᾷ δὲ ἀντὶ τοῦ **Bv** || βοῇ **BEQ**: φωνῇ **D** 2 θαυμαστικόν **DEQ** 3 τᾶδε **A** || Κλεοφ.— 4 ἀγώνων in fin. sch. trp. **b** 4 Ἀρκαδιακῷ: **b** 5 et 6 Λύκεια: **b** 7 τὰ δὲ om. **CDEQ** || Παρασίῳ etc. ubique **B** Παρ(ρ)ασ(σ)- varie **EQ** || τουτέστιν ἐν τ. δ. **Bv** 8 δὲ **CDEQ**: γὰρ **Bv** || τῆς Ἀρκ. **Bv** 9 sch. 143c ὁ νοῦς praem. **Bv** 10 ὅπου **D** 13 καὶ **A**: ὁ καὶ **b** || τινος **A**: ὄρους **b**; ft. τινος ⟨ὄρους⟩ 14 l. om. **B** 16 τὸ om. **EQ** || Πελήνης **BQ** Πυλλήνης **E** 17 post ἐλάμβανον add. τὴν χλανίδα **Qv** 18 Πελήνῃ **BQ** || καλεῖται **CDEQ**: ἐκαλεῖτο **Bv** 21 εὐδ. δὲ seclusi || δὲ et ἀνάπ. τὴν om. **C** 22 ὅτι ἐν Π. χ. ἐδίδοτο **EQ**: χλαῖνα γὰρ ἐδίδοτο **C(D)v** ἐν Πελήνῃ γὰρ χλ. δίδοται **B** || νικῶντι **CDEQ**: νικήσαντι **B**

χειμῶνος ὥρᾳ. 148 B h. ἄγεται δὲ Ἕρμαια καὶ Ἀπόλλωνος ἑορτὴ θεοξένια καλουμένη. 146^g B BDEQ

148 a. Πελλάνᾳ: ὅτι χλαῖνα ἦν τὸ ἔπαθλον ἐν Πελλήνῃ, εἴρηται. πεποίηται δὲ ταῦτα παρὰ τὸ Ὁμηρικόν (ξ 529)· ἀλεξάνεμον μάλα πυκνήν. b. ἤγετο δὲ ὁ ἀγὼν ἐν Πελλήνῃ τῆς Ἀχαΐας τὰ θεοξένια ἐν χειμῶνι· διὸ καὶ χλαμὺς ἐδίδοτο. A

148 c. σύνδικος: σύμψηφος. σύμφωνος. d. τὸν τῶν Ἡρακλείων δὲ ἀγῶνα βούλεται δηλῶσαι. παρὰ γὰρ τῷ κοινῷ σήματι Ἀμφιτρύωνος καὶ Ἰολάου ἄγεται τὰ Ἡράκλεια. e. ὁ δὲ νοῦς οὕτως· σύμφωνος δὲ τῶν προειρημένων ἀγώνων καὶ τὰ Ἰόλεια. f. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς ἀγῶσι συνδικούντων ἀλλήλοις. g. τύμβον δὲ λέγει τὸ κενοτάφιον. A

148 h. σύνδικος δ' αὐτῷ Ἰολάου τύμβος: μαρτυρεῖ δὲ αὐτοῦ τῇ ἀνδρείᾳ καὶ ὁ τοῦ Ἰολάου τύμβος ἐν Θήβαις. i. Ἰολάεια γὰρ λέγεται ὁ ἀγὼν ὃν ἐνίκησεν. BCDEQ | k. ἄλλως· Ἰολάου τύμβος: ὁ ἐν Θήβαις. DEQ l. τὸν τῶν Ἡρακλείων ἀγῶνα θέλων δηλῶσαι τύμβον Ἰολάου εἶπε. παρὰ γὰρ τῷ κοινῷ σήματι Ἀμφιτρύωνος ⟨καὶ Ἰολάου⟩ ὁ τῶν Ἡρακλείων ἀγὼν ἐτελεῖτο. BCDEQ

150 a. εἰναλία τ' Ἐλευσίς: ἐν Ἐλευσῖνι ἄγεται τὰ Δημήτρια. τοῦτον δὲ πρῶτον ἀγώνων φασὶν εἶναι. μετὰ γὰρ τὸ εὑρεθῆναι τὸν Δημήτριον καρπὸν εὐρωστίας οἱ ἄνθρωποι A

---

1 Paus. 7, 27, 4  22—p. 302, 3 EM 743, 25: ἢ ὅτι τετραποδιστὶ τοπάλαι περιπατοῦντες, μετὰ τὸ εὑρεθῆναι τὸν Δημητριακὸν καρπὸν ἀνέστησαν, καὶ εὐρωστίας ἐπίδειξιν ποιούμενοι δρόμον ἠγωνίζοντο. διὰ τὴν στάσιν οὖν στάδιον. εἰς τὰ σχόλια Πινδάρου.  22 sch. Aristid. p. 105 Fromm. (Aristot. fr. 637)

---

1 Ἕρμαια **DEQ**: Ἑρμοῦ **Bv**  2 λεγομένη **Qb**  5 ἀλλεξάνεμον ‖ ὁ ft. del.  6 χλανὶς **b**  11 Ἰολάεια **b**  11. 12 τ(οῖς) ἀγ(ῶσι) **A**: τῷ ἀγῶνι **b**  12 συνδιοικούντων **A**^ac^ συνδικούντων et συνδικνούντων **A**^pc^  14 l. **BEQ**: σύνδικος **C** σύνδ. δ' αὐτῷ **D**  15 δὲ om. **E** ‖ τῇ αὐτοῦ ἀνδρ. **Bv** ‖ τάφος **Bv**  16 sq. sch. 148 i post l trp. **B** ‖ Ἰολάια **Ehb** Ἰόλια **Qv** ‖ ὁ om. **E**  18 ἀγῶνα om. **D** ‖ γὰρ om. **Q**  19 suppl. **b** ex **A** (9)  20 ἐτελεῖτο **CDEQ**: ἐπετελεῖτο **B** ὃν ἐνίκησεν **v**  21 Ἐλευσίνῃ: **b**  22 τοῦτο: **b** ‖ πρώτων: **b** ‖ φησὶν: **b**  23 Δημήτρειον: **b**

ἐπίδειξιν ἐπιδειξάμενοι τοῦτον ἠγωνίζοντο, καὶ τετραποδιστὶ τὸ πάλαι περιπατοῦντες ἀνέστησαν καὶ δρόμον ἠγωνίζοντο· ἔνθεν καὶ στάδιον καλοῦσι δρόμον διὰ τὴν στάσιν.

BCDEQ 150 b. *ἐναλία τ' Ἐλευσίς*: καὶ ἡ Ἐλευσὶς δὲ ἡ πρὸς τῇ θαλάσσῃ κειμένη ταῖς ἀγλαΐαις αὐτοῦ καὶ νίκαις μαρτυρεῖ. ἄγεται δὲ αὐτόθι ἀγὼν Κόρης καὶ Δήμητρος, ὃς καλεῖται Ἐλευσίνια· οὗ ἔπαθλον κριθαί.

A 150 c. *Ἐλευσίς*: τὸν τῶν Ἐλευσινίων ἀγῶνα λέγει. ἔπαθλον δὲ κεῖται κριθαί· ἄγεται δὲ ἐν Ἀθήναις μετὰ ⟨τὴν⟩ τῶν Δημητριακῶν καρπῶν συλλογὴν τῇ Δήμητρι εὐχαριστήρια.

A 152 a. *τὸ δὲ φυᾷ*: ⟨τὸ⟩ θείᾳ φύσει καὶ μοίρᾳ πρασσόμενον καλόν ἐστιν. b. ἢ τὸ ἐξ εὐφυΐας.

BCDEQ 152 c. *τὸ δὲ φυᾷ κράτιστον ἅπαν*: τὸ δὲ ἐκ φύσεως προσὸν ἀγαθὸν καὶ θείας μοίρας κράτιστον καὶ ἐξαίρετον. λείπει δὲ τὸ ἐστίν. BCEQ d. εἰς ἑαυτὸν δὲ αἰνίττεται· ἀεὶ γὰρ ἑαυτὸν λέγει αὐτοδίδακτον.

A 153 a. *πολλοὶ δὲ διδακταῖς*: πολλοὶ δὲ ἠθέλησαν κλέος λαβεῖν διδαχθέντες καὶ μὴ ἐκ φύσεως ἔχοντες τὴν ἀρετήν.

BCDEQ 153 b. *πολλοὶ δὲ διδακταῖς*: πολλοὶ δὲ δόξαν ἑαυτοῖς ἠθέλησαν περιποιῆσαι ἀπὸ διδακτῶν ἀρετῶν καὶ ὥρμησαν καὶ ἔσπευσαν ἐπὶ τοῦτο προελθεῖν.

A 156 a. *ἄνευ δὲ θεοῦ*: ἕκαστον δέ, φησι, πρᾶγμα τὸ χωρὶς θεοῦ πρασσόμενον σιωπώμενον σοφώτερόν ἐστι· πᾶν γὰρ τὰ μὴ κατὰ θεὸν πρασσόμενον δεῖ σιγᾶν καὶ μηδενὸς λόγου ἀξιοῦν. b. οἷον σοφώτερόν ἐστι σιγᾶν ἐκεῖνα τὰ πράγματα τὰ μὴ μετειληχότα βουλῆς ἀθανάτου. c. οἷον μετὰ θεοῦ τις παραγενόμενος εἰς τοὺς ἀγῶνας ὡς ὁ Ἐφάρμοστος, οὗτος καὶ ὑμνεῖσθαι καὶ λαλεῖσθαι ἄξιός ἐστιν.

---

1 ἐπιδειξάμενοι **A**: ποιούμενοι Et. M. Ft. ptc. delend. 4 l. om. **B** ‖ εἰναλία **v** 5 καὶ ταῖς νίκαις **CE** 6 ἄγεται **CDEQ**: λέγεται **B** ‖ Δημήτερος **Br** 7 κριθαί **BC(D)Q**: θριθή **E** 9 τὴν addidi 10 καρπῶν $A^{pc}$: κακῶν $A^{ac}$ 11 φυὰ ‖ τὸ addidi ‖ θείαν φύσιν καὶ μοῖραν: ego 13 ἅπαν om. **CDEQ** 14 προσὸν om. **D** 15 δὲ (alt.) om. **C** 17 πολλοὶ (in l.)] πολὺ 20 l. om. **B** ‖ φησὶ post δὲ add. **Bv** 21 περιποιήσασθαι **Qb** 22 καὶ ἔσπευσαν om. **D** καὶ ἔσπ. — προελθεῖν om. **C** ‖ προελθεῖν **B**: om. **DEQ**

156 d. ἄνευ δὲ θεοῦ σεσιγαμένον οὐ σκαιότερον: BCDEQ
τὸ ἄνευ θεοῦ γινόμενον οὐ σκαιότερόν, φησιν, ἀλλ' ἐκ τῶν
ἐναντίων βέλτιον, σιωπώμενον. e. οἷον μετὰ θεοῦ τις
παραγενόμενος εἰς τοὺς ἀγῶνας, οἷος ὁ Ἐφάρμοστος, ὑμνεί-
σθω· | ὁ δὲ παρὰ θεόν τι πράσσων, ὡς αὐτόθεν μηδὲ νικᾶν BCEQ
μέλλων, εὐλόγως ἂν καὶ οὐ σκαιῶς σιωπῷτο. f. ἢ οὕτως· BDEQ
ἕκαστον δέ, φησι, πρᾶγμα τὸ θεοῦ χωρὶς πραττόμενον οὐ
σκαιότερόν ἐστι σιωπώμενον, οἷον σοφώτερόν ἐστι· τὸ γὰρ
μὴ κατὰ θεὸν πρασσόμενον δεῖ σιγᾶν. g. ἀντὶ τοῦ καλόν
ἐστι παρὰ βούλησιν θεοῦ τινα νικήσαντα μὴ ὑμνεῖσθαι.
h. ἄλλως· ἀπὸ κοινοῦ τὸ κλέος, ἵν' ᾖ· τὸ δὲ ἄνευ θεοῦ BCEQ
καὶ χωρὶς φύσεως θείας προσγινόμενον κλέος, τοῦτο σεσιγη-
μένον καὶ μὴ θρυλλούμενον οὐκ ἔστι σκαιότερον οὐδὲ μέμ-
ψεως ἄξιον· ὡς τοῦ ἐναντίου μέμψιν ἔχοντος, τοῦ μὴ ἐπαι-
νεῖν τοὺς φύσει ἀγαθούς· ὅπερ ἑαυτὸν λέγει ποιεῖν.
i. δύναται δὲ καὶ οὕτω νοεῖσθαι· ἕκαστον δὲ πρᾶγμα, ὃ μὴ
κατὰ φύσιν ἐστί, τοῦτο σεσιωπημένον οὐκ ἔστι σκαιόν· ἐὰν
γὰρ νόθον ὂν ἐμφανίζηται, τότε τὴν ἀδοξίαν προστρίβεται.
k. ἄλλως· πᾶν δὲ πρᾶγμα παρὰ φύσιν γινόμενον οὐχ BEQ
οὕτως ἐστὶ σιγηθὲν ἀηδὲς ὡς φαινόμενον· φανὲν γὰρ πλέον
ἐρυθριάσει καὶ ὑβρισθήσεται. l. θεὸν δὲ τὴν φύσιν φησίν. BCEQ
158 a. [ἐντὶ γὰρ ἄλλαι ὁδῶν ὁδοὶ ἕως τοῦ μελέτα:] BCDEQ
διατί δὲ οὐκ ἔστι σκαιὸν τὸ μὴ θαυμάζειν τοὺς ἄνευ θεοῦ

---

1 l. **B**: ἄνευ δὲ θεοῦ **CD** ἄνευ δὲ θ. σεσιγαμένον **EQ** ‖ σεσιγημένον **B** 2 ἄνευ] ἄνευ δὲ **Qb** ‖ φησιν om. **CD** 4 παραγινόμενος **EQ** ‖ τοὺς ἀγῶνας **DEQ** (et A 302, 28): τὸν ἀγῶνα **BCv** ‖ ὁ om. **CDEQ** (non A) 5 περὶ θεῶν **CE** ‖ αὐτόθι **E** 6 ἢ οὕτως **BE**: om. **D** ἄλλως **Q** 7 φησι om. **DQ** ‖ χωρὶς θεοῦ **DQ** (et A 302, 24) 8 σιγώμενον **EQ** 10 τινα ante παρὰ trp. **Bv** ‖ ὑμνεῖν Beck 11 κλέος] κλέος λεκτέον **v** 12 θείας φύσεως **CGQb** 13 σκαιότερον **Qv**: σκαιότητος **BE** σκαιότατον $\mathbf{C}^{cp}$ 14 τοῦ μὴ **BCQ**: τὸ μὴ **E** τοῦ Beck (tacite) 16 καὶ om. **E** 18 ὂν om. **B** ‖ ἐμφανίζεται $\mathbf{EQ}^{ac}$? 19—21 sch. 156 l ante k hab. **EQ** 19 ἄλλως **EQ**: τουτέστι **Bv** ‖ δὲ om. **Bv** 20 ἀηδὲς] αὐδὴς **E** ‖ πλεῖον **Bv** 21 post ὑβρ. add. φησιν **E**, φασιν **Q** ‖ τὸν φύσ(ει) **E** ‖ φησίν **BC**: φασίν **EQ** λέγει **v** 22 l. sic **B**: σεσιγαμένον οὐ σκαιότερον **EQ** σεσιγαμένον **CD**. Seclusi 23 δὲ om. **EQ** ‖ σκαιότερον **CQv** ‖ τὸ μὴ θαυμ. om. **D** ‖ μὴ om. **Qv** (corr. **b**); τὸ ἀτιμάζειν cj. Lehrs p. 31

μοίρας τι πράσσοντας, ἑαυτοῖς δὲ ἐπιτρέποντας; ὅτι εἰσὶν
αἱρετώτεραι καὶ προτιμότεραί τινες ἐπιτηδεύσεις ἐπιτηδεύ-
BCEQ σεων· | οἷον αἱ προσφυεῖς ἑκάστῳ καὶ οὐκ ἐναντιούμεναι
κατὰ γένεσιν καὶ φύσιν.
ABCDEQ 158 b. ἐντὶ γὰρ ἄλλαι ὁδῶν ὁδοὶ ἕως μελέτα: δεῖ
ἕκαστον τὴν δεδομένην αὐτῷ ὁδὸν ἐκ θεῶν, ταύτην ἰέναι
ACEQ καὶ μὴ παραβιάζεσθαι. c. Ὅμηρος (*N* 730)·

ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήια ἔργα,
ἄλλῳ δ' ἐν στήθεσσι τιθεῖ νόον.

BEQ d. περαίτεραι δὲ ἀμείνονες. περασιμώτεραι. ἀνυσιμώ-
ABCEQ τεραι. e. περαίτεραι: εὐοδώτεραι. δι' ὧν τις δύναται
περαιῶσαί τι. f. οἷον εἰ μὴ πέφυκας πρὸς τὸ παγκράτιον,
A πάλην ἄσκει, ἢ ἄλλο τι πρὸς ὃ εὐφυῶς ἔχεις. | οὐ γὰρ δεῖ
DEQ σε ἑνὶ προσέχειν· ἡ γὰρ ἐπιμέλεια ἡμᾶς θρέψει. g. ὁ γὰρ
ἑλόμενός τι ὥστε τηρῆσαι πάντων, ἐκεῖ εὐκλεὴς ἔσται.
B 159. ὁδοὶ περαίτεραι: πρακτικώτεραι, ἀνυστικώτεραι.
BEQ 160 a. μία δ' οὐχ ἅπαντας ἄμμε θρέψει: οὐ γὰρ
ἡ μία μελέτη καὶ τὸ ἓν ἐπιτήδευμα πάντας ἡμᾶς δύναται
τρέφειν. b. μελέτη δὲ ἄσκησις. ἐπιτήδευμα. 162[c] B
A 161 a. αἰπειναί: δυσέφικτοι.
ABCDEQ 161 b. σοφίαι μὲν αἰπειναί: τουτέστιν ἐφ' ὑψηλοῦ
καὶ προβάσεως κεῖνται αἱ σοφίαι, ὥστε εἶναι τὴν ἐπ' αὐτὰς

---

1 τι πράσσ. μοίρας **D** ‖ ἐπιφέροντας s. ἐπιπρέποντας cj. Beck 5 sqq. sch. 158 e. f. b. c **A** 5 l. **EQ**: ἐντὶ γὰρ ἄλλαι **C** ἐντὶ γ. ἄ. ὁδῶν **D** ἢ οὕτως **A** om. **B** (cfr. 303, 22) ‖ δεῖ **ADEQ** δεῖ δὲ **BCv** 6 ἕκαστον **AB**: ἕκαστος **DEQ** ἑκάστῳ **C** ‖ δεδομένην **BC**: δεομένην **A** διδομένην **DEQ** ‖ αὐτῷ om. **A** ‖ ἐκ θεῶν ὁδὸν **V** 7 παροδευάζεσθαι **Q** 9 om. **A** 10 περαίτεραι scripsi: ἕτεραι **B** αἱ **EQ** ‖ περασιμώτεραι ego: παρασιμώτεραι **E** παρασημότεραι **BGQv** 10. 11 ἀνυσιμώτεραι **G**: om. **BEQv** 11 περαίτεραι om. **V** ‖ εὐοδώτεραι δι' ὧν **A**: εὐοδ. εἰσιν ὁδοὶ δι' ὧν **B** ἄλλως δ' ὁδοὺς ἑών **E** εἰσιν ἄλλας ὁδοὺς ἰὼν **Q** ἄλλως **C** 12 τι om. **V** ‖ οἷον **A**: ὅ ἐστιν **V** ‖ πρὸς τὸ om. **A** 13 ἄσκει om. **A** ‖ πρὸς — ἔχεις **V**: πρὸς ὅ τι ἂν ἔχῃς **A** 15 ὥστε **DE**: ὥς τι **Qb** 17 ἄμμε θρέψει] ἁμέρα θρέψει **B** om. **EQ** 18 καὶ **E**: φησὶ καὶ **Bv** οὐδὲ **Qb** 19 ἄσκησίς ἐστι καὶ ἐπ. **Bv** 21 l. om. **A** ‖ ὕψους **V** 22 sq. κειμένη ἡ σοφία δυσχερῆ ἔχει τὴν ὁδόν, om. ἐπ' αὐτὰς, **D** 22 αὐτὰς **A**: αὐταῖς **V**

ὁδὸν δυσχερῆ. c. ἢ οὕτως· ὑψηλόν ἐστι καὶ ἐν μετεώρῳ BCDEQ κείμενον τὸ ἀρετὴν ἔχειν. ὡς Ἡσίοδος (Op. 289)·

τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.

d. ἢ οὕτως· αἱ μὲν σοφίαι ὑψηλαί εἰσιν καὶ πόρρω καὶ B δυσχερεῖς. 162d B

162 a. προσφέρων ἄεθλον: προσφέρων τῇ σοφίᾳ τὸν A ἆθλον. b. ἢ πρὸς τοῦτον φέρων τὸν ἆθλον, αὐτὴν τὴν σοφίαν. τὸν ὕμνον δὲ λέγει, ἔπαθλον τοῦ νικηφόρου.

162 c. τοῦτο δὲ προσφέρων: τὸ τῆς ἐμῆς σοφίας B ἐπιτήδευμα. 161 B

162 d. τοῦτο δὲ προσφέρων ἄεθλον: ἑαυτῷ ὁ Πίν- B(C)DEQ δαρος παρακελεύεται καί φησιν· ὅμως δὲ τοῦτο ⟨τὸ⟩ ἀπὸ τῆς σοφίας ἆθλον προσφέρων καὶ ἐκπληρῶν, τὸν ὕμνον, μέγα καὶ ὑπερφυὲς ἀναβόησον μετὰ εὐθαρσίας· τί δὲ ἀναβόησον; τοῦτον δαιμονίᾳ (λείπει μοίρᾳ) γεγενῆσθαι δυνατὸν ἐν ταῖς χερσὶ καὶ παντὶ τῷ σώματι ἐπιδέξιον κατὰ πᾶν μέλος· ἵνα κοῦφος ᾖ καὶ εὔστροφος καὶ ὁ λεγόμενος ὑγρὸς παλαιστής· ὃς καὶ τῷ βλέμματι ἀλκὴν καὶ δύναμιν ἐμφαίνει.

163 a. ὄρθιον ὤρουσαι: ὀξὺ καὶ μέγα. Ὅμηρος B (Λ 11)· ὄρθι', Ἀχαιοῖσιν δὲ μέγα σθένος. b. λέγει δὲ πρὸς τὸν χορὸν περὶ τοῦ νενικηκότος· βόησον ἀνατεταμένον θαρσῶν ὅτι θείᾳ μοίρᾳ ἐγένετο πρὸς ἄθλησιν οὗτος ὁ ἀνήρ. c. ἢ πρὸς ἑαυτὸν λέγει ὅτι ὥρμησα ὀξέως.

163 d. θαρσέων: θαρρῶν φώνησον ἀνατεινάμενος, ὦ A θυμὲ, ὅτι θείᾳ μοίρᾳ ἐγένετο πρὸς ἄθλησιν οὗτος ὁ ἀνήρ. περὶ δὲ τοῦ νενικηκότος ὁ λόγος.

164. δαιμονίᾳ γεγάμεν: ἀντὶ τοῦ θείᾳ μοίρᾳ γε- A γονέναι.

165 a. δεξιόγυιον: τὸν Ἐφάρμοστον λέγει· μετὰ γὰρ σῶμα A

---

2 κείμενον om. E ‖ ἔχειν BCEQ: ἔχον Dv 6 προφέρων A utrobique 12 τὸ addidi 14 μετὰ — ἀναβόησον om. Bv μετὰ εὐθ. om. D 15 τοῦτο EQ ‖ λείπει om. Bv ‖ γενέσθαι Bv γενηθῆναι C 16 ἐν DEQ: om. Bv ‖ ἐπιδ. κατὰ (καὶ κατὰ E) π. μέλος CDEQ: δεξιόν Bv 17 ᾖ καὶ BDQ: ἢ E ‖ καὶ — ὑγρὸς om. Bv 23 ὅρμησον cj. h ὅρμησαι cj. Schroeder (cl. ὄρουσαι A in textu) 25 θεῖα μοῖρα ἐγένοντο: b 29 μετὰ γὰρ σῶμα A prave: κατὰ γὰρ τὸ σῶμα b μέγα γὰρ σῶμα Schroeder

ἔχει καὶ ὑγιῆ τὰ μέλη. b. ἐπιδέξιον κατὰ πᾶν μέλος καὶ βλέποντα ἀνδρικῶς.

BEQ 165 c. ὁρῶντ' ἀλκάν: βλέποντα ἀνδρικῶς.

A 166 a. *Αἰάντειον*: τὸ ἑξῆς· Αἰάντειον βωμὸν ἔστεφε νικῶν ἐν δαιτὶ, τουτέστιν ἐν τῷ ἀγῶνι, τοῦ Ὀιλέως παιδός· ἀπὸ δὲ τοῦ ῑ τὸ ὄνομα εἶπεν· ὡς καὶ τὰ ἐν Ὀποῦντι Αἰάντεια νενικηκότος καὶ ἐστεφανωκότος τὸν Αἴαντος βωμόν. ἄγεται δὲ ταῦτα τῷ Λοκρῷ Αἴαντι ἐν Ὀποῦντι.

CDEQ 166 b. *Αἰάντειόν τ' ἐν δαιτί*: τὰ Αἰάντεια ἐν Ὀποῦντι ἄγεται· ἃ νικήσας ἐστεφάνωσε τὸν Αἰάντειον βωμὸν ἐν πανηγύρει.

BCDEQ 167. *ἐν δαιτὶ Ἰλιάδα*: ὅστις ἀνὴρ καὶ ἐν τῇ τοῦ Αἴαντος τοῦ Ὀιλέως παιδὸς πανηγύρει καὶ ἐν τῷ ἐπωνύμῳ αὐτοῦ ἀγῶνι νικήσας θυσίαις καὶ στέμμασι τὸν
B Αἰάντειον βωμὸν ἐκόσμησεν. | *Ἰλιάδα* τοῦ Ὀιλέως παιδὸς,
BCEQ τοῦ Αἴαντος τοῦ Λοκροῦ. | ἄνευ δὲ τοῦ ō εἴρηκε τὸν Ὀιλιάδην Ἰλιάδην εἰπών, ὥς πού φησι καὶ Ἡσίοδος (cfr. fr. 142).

DPQ τέλος Ἐφαρμόστου.

## Scholia in Olympionicarum carmen X.

ABCDEQ Ἀγησιδάμῳ Λοκρῷ Ἐπιζεφυρίῳ παιδὶ πύκτῃ. inscr. B

BDEQ Τοῦ ι' εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων η'. τὸ α' Ἀσκληπιάδειον ἀντισπαστικὸν ἀκατάληκτον, τοῦ α' ἀντισπάστου ἀπὸ διβραχέος ἀρξαμένου. τὸ β' χοριαμβικὸν

---

2 ἀνδρικῶς A^pc: δωρικῶς A^ac 3 ἀνδρικῶς EQ: ἀνδρεῖον Bv ἀνδρείαν Beck 5 Ὀιλέως b: Ἰολέου 12 l. E: Ἰλιάδα DQ (Ἰλιάδας? Q^pc) Ἰλιάδος C Αἰάντειόν τε B 13 Ἰλέως D || πανηγ. καὶ ἐν om. D 15 ἐκόσμησεν DEQ: κατεκόσμησε Bv, add. τὰ Αἰάντεια δὲ ἐν Ὀποῦντι ἄγεται (ex 166 b) 16 τὸν — 17 εἰπών scripsi: τὸν Ὀιλιάδ(ην) Ἰλιάδων εἰπών C τὸν (τὴν E) Ὀιλιάδην εἰπών EQ τὸν Ἰλιάδα Bv 17 ὡς — Ἡσίοδος om. B || Ἡσίοδος CFQ: Ὅμηρος E 20 παιδὶ om. A παιδὶ πύκτῃ om. DE 23 διβραχέος BQ: βραχέος D βραχείας E

τρίμετρον βραχυκατάληκτον ἀρξάμενον ἀπὸ ἰαμβικῆς καὶ λῆγον εἰς ἴαμβον. τὸ γʹ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον· ὁ τρίτος δάκτυλος πανταχοῦ. τὸ δʹ τροχαϊκὸν δίμετρον ἀκατάληκτον διῃρημένου τοῦ αʹ ποδός. τὸ εʹ δακτυλικὸν πενθημιμερές, ἢ προσοδιακὸν δίμετρον ἀκατάληκτον. τὸ ϛʹ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον, ὅ ἐστι Φερεκράτειον παρὰ συλλαβήν. τὸ ζʹ ἐπιωνικὸν τρίμετρον καταληκτικόν. ἡ αʹ συζυγία ἰωνική· ἡ βʹ ἰαμβική· εἶτα τροχαῖος, οἰκεῖος τῇ ἰωνικῇ, ⟨καὶ⟩ συλλαβή. τὸ ηʹ Γλυκώνειον· ὅπερ ἔλυσεν ἐν τῷ πέφνε Κτέατον ἀμύμονα, ἐννεασύλλαβον.

ἡ δὲ ἐπῳδὸς κώλων θʹ. τὸ αʹ χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, οὗ ἡ πρώτη συζυγία ἰαμβική ἐστι τοῦ δευτέρου ποδὸς ἀναλυομένου· εἶτα χορίαμβος· εἶτα ποὺς ἁπλοῦς. τὸ βʹ προσοδιακὸν τρίμετρον ἀκατάληκτον· αʹ τροχαῖος τοῦ αʹ ποδὸς λελυμένου· εἶτα ἰωνικὸς ἀπὸ μείζονος· εἶτα χορίαμβος. τὸ γʹ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον λελυμένον. τὸ δʹ ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον ἀπὸ ἰαμβικῆς συζυγίας λελυμένης. τὸ εʹ ἰωνικὸν τετράμετρον καταληκτικόν, τοῦ γʹ παίωνος ἀντὶ τοῦ ἀπʼ ἐλάσσονος κειμένου, ⟨εἶτα βʹ ἰωνικῶν⟩ καὶ τροχαίου καὶ συλλαβῆς.

---

1 βραχὺ **DQ** ‖ ἰαμβικῆς **v**: ἰαμβικοῦ **BDEQ** ἰαμβικῆς συζυγίας Beck 2 ἰαμβεῖον **D** ‖ ἰαμβικὸν δίμετρον **DEQ**: τρίμετρον ἰαμβικὸν **Bv** 3 ὁ — πανταχοῦ om. **Q** 4 αʹ] πρώτου καὶ τρίτου Pauw (cfr. Tz.) 4. 5 δακτυλικὸν] καταληκτικὸν **v**, add. (post πενθημ.) ἢ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. Verba δακτυλ. πενθημ. ad col. ϛʹ pertinere susp. Pauw 5 προσοδικὸν **BE** (passim) 6 βραχυκατάληκτον **v**: βραχὺ 8 συζυγία] συλλαβὴ **B**$^1$ 9 καὶ συλλαβή marg. Brub.: συλλαβῇ 10 κ[τ]εατον **B** κτον **E** lac. **Q** ‖ ἀμύμνονα **E** 12 ἐπῳδ(ὸς) **B** ἐπῳδὴ **DQ** 14 δ[ευτέρου] **B** αʹ **E** 15 αʹ — 16 τοῦ om. **D** 15.16 τροχαίου **E** 16 πρώτου **D** [αʹ?] **B** ἑνὸς **Q**(Tz.): βʹ **Ev** ‖ εἶτα] εἰς τὸ **E** ‖ ἰωνικὸς Tricl., Pauw: ἰωνικὸν **BDE** ἰωνικοῦ **Qv** 17 εἶτα χορίαμβος post col. sq. trp. **E** ‖ χορίαμβος Tricl., Pauw: χοριάμβου (etiam **E**) ‖ ἰωνικὸν **B** 19 συζυγίας] συλλαβῆς **Q** ‖ λελυμένον **v**; ἀρξάμενον, λελυμένου τοῦ δευτέρου ποδός cj. Beck ‖ τετράμετρον **DQ**Tz.**v**: δίμετρον **B** τρίμετρον **E** 20 παίωνος **D**? Pauw: παίονος **BEQv** ‖ ἀντὶ τοῦ **B**: ἀντὶ **DEQ** 21 supplevi cl. Tricl. (εἶτα ἰωνικῶν) ‖ καὶ (pr.) om. **Q** ‖ καὶ (alt.) om. **D**

τὸ ς′ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, οὗ ἀπόδοσις· ὁ γὰρ ε′ πούς ἐστι . . . . τὸ ζ′ προσοδιακὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἰωνικοῦ τοῦ ἀπὸ μείζονος ⟨καὶ χοριάμβου⟩ καὶ ποδὸς ἡμίσεος. τὸ η′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον· ὁ β′ ποὺς ἀνάπαιστος· ὁ δ′ τρίβραχυς. τὸ θ′ ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ τροχαϊκῆς [συζυγίας]. $1^b$ BDEQ

A Inscr. a. *Ἀγησιδάμῳ*: οὗτος ἐνίκησεν ἕκτην καὶ ἑβδομηκοστὴν Ὀλυμπιάδα.

B Inscr. b. Ἔθνη Λοκρῶν εἰσι τρία· Ἐπιζεφύριοι πρὸς Ἰταλίᾳ· Ὀζόλαι πρὸς τῇ Αἰτωλίᾳ· Ἐπικνημίδιοι πρὸς τῇ Εὐβοίᾳ.

BDEQ c. ἐνίκησε δὲ οὗτος ἑβδομηκοστὴν τετάρτην Ὀλυμπιάδα. metr. B $1^g$ DEQ

A 1 a. *Τὸν Ὀλυμπιονίκαν*: ὁ λόγος πρὸς τὰς Μούσας, ἢ πρὸς τοὺς τοῦ χοροῦ.

ABCDEQ 1 b. *Τὸν Ὀλυμπιονίκαν ἀνάγνωτέ μοι*: ἔοικεν ὁ Πίνδαρος ἐκ πολλοῦ συνθέμενος γράφειν τὸν ἐπίνικον ὀλιγωρῆσαι τῆς γραφῆς, αὖθις δὲ ἀποδιδοὺς αὐτῷ σὺν τόκῳ ὥσπέρ τι χρέος παλαιὸν διαλύεσθαι προσθεὶς ἕτερόν τι ᾠδάριον τὸ ἑξῆς.

AB(C)DEQ 1 c. *ἀνάγνωτέ μοι*: ἀντὶ τοῦ ἀναγνωρίσατέ μοι. d. ἀναμνήσατέ με, ὦ Μοῦσαι, ἐν ᾧ χωρίῳ τῆς φρενός μου

---

9 sch. A *B* 527

---

1 οὗ — 2 ἐστι . . . B (7—9 litt. evan., supremae duae ft. τι; cfr. Tz. τρίβραχυς γὰρ ὁ πέμπτος, ὁ τέταρτος γὰρ δάκτυλος): om. DQ ἐξ ἰωνικοῦ τοῦ ἀπὸ μείζ. καὶ ποδὸς ἡμ. (ex colo sq. iter.) E ἐξ ἰωνικοῦ v (del. Pauw) 3 suppl. Tricl., Pauw (καὶ ego addidi) 4 ἡμίσεως DE 5 ὁ δὲ δ′ EQ ‖ τρίβραχυς B: τριβραχέος $DE^{cp}Q$ 6 συζυγίας BTz.: om. DEQ. Seclusi 7sqq. cfr. pap. Oxyrrh. CCXXII, 1, 16 7. 8 ἑβδόμην: b 11 οὗτος ὁ Ἀγησίδαμος B 15 l. B: τὸν Ὀλ. CDE om. AQ 16 ἐκ A: πρὸ V ‖ συντεταγμένος A ‖ γράφειν $A^{cp}$CDEQ: γράψαι B ‖ τὸν A: αὐτῷ τὸν (C)EQ τῷ Αἰνησιδάμῳ τὸν D αὐτῷ B ‖ ἐπίνικον AC: ἐπινίκιον BDEQ 17 τῆς γραφῆς om. V ‖ ἀποδιδοὺς A: ἀποδοὺς BCDE ἀποδοῦναι Qv ‖ τόκοις Qv (B legi nequit) 18 παλαιὸν om. Q ‖ διαλύσασθαι V (δανείσασθαι Q) 19 τὸ ἑξῆς om. V (ὃ τόκον ἐπιγράφει C) 20 ἀνάγνωτε — 21 με A: τὸ δὲ ἀνάγνωτέ μοι δηλοῖ (δηλοῖ om. D; ἐστιν E ἐστιν ἀντὶ τοῦ δηλοῖ Q) (ἀνα)μνημονεύσατε καὶ ἀναγνωρίσατε V 21sq. μού ἐστιν ὁ Ἀγ. B ὁ Ἀγ. ἐστίν μου DEQ

*Ἀγησίδαμός ἐστιν.* e. *ὡς προδιατεθειμένος τὸν ἐπίνικον νῦν ἀναμνήσεως δεῖν αὐτῷ φησι. καὶ Σοφοκλῆς ἐν Τριπτολέμῳ* (fr. 540)· *σὲ δ' ἐν φρενὸς δέλτοισι τοὺς ἐμοὺς λόγους.* $1^{h}$**B** inscr. **DEQ** f. *ἔστι δὲ τροπικῶς ταῦτα.* **A**

1 g. *τὸν Ὀλυμπιονίκαν: ἀπὸ τῆς ἀρχῆς τοῦ προοιμίου ὁ Πίνδαρος δῆλός ἐστιν ὅτι πρὸ πολλοῦ μὲν ἠξίωτο γράψαι, ὑπερθέμενος δὲ νῦν ὡς ἐξ ὑπομνήσεως ἀποδοῦναι βούλεται τὸν ὕμνον.* 4 **B** **BDEQ**

1 h. *ἀναγνωρίσατέ μοι καὶ εἰς μνήμην τὴν ἐμὴν ἀγάγετε τὸν Ὀλυμπιονίκην τὸν τοῦ Ἀρχεστράτου υἱόν, καὶ εἴπατε ἐν ποίῳ μέρει μου τῆς διανοίας κεχάρακται. χρεωστῶν γὰρ αὐτῷ ὕμνον γλυκύν, ὦ Μοῦσαι, ἐπελαθόμην μέχρι τοῦ παρόντος.* $1^{g}$**B** 2 **Q** **BDEQ**

1 i. *τρία μέρη φασὶν εἶναι τῆς φρενός, λογιστικόν, μνημονευτικὸν καὶ φανταστικόν, καὶ τὸ μὲν λογιστικόν ἐστιν ἐν τῷ ἐγκεφάλῳ, τὸ δὲ φανταστικὸν ἐν τῷ μετώπῳ, τὸ δὲ μνημονευτικὸν μέσον τῶν δύο. ἔχουσι δὲ ἀμφότερα, τό τε λογιστικὸν καὶ φανταστικόν, ὥς τι ταμεῖον τὸ μνημονευτικόν, καὶ ἐναποτιθεῖσιν ἐν αὐτῷ ἅπερ ἐκεῖνο μὲν φαντάζεται, ἐκεῖνο δέ, ἤγουν τὸ λογιστικόν, λογίζεται. ἐκ δὲ τούτου, ἤγουν τοῦ μνημονευτικοῦ, ἔχομεν μνημονεύειν ἅπερ ἀνέγνωμεν καὶ ἅπερ ἐθεασάμεθα. διά τοι τοῦτο καὶ ὁ Πίνδαρος εἶπεν· ἀναγνωρίσατέ μοι, ὦ Μοῖσαι, ἐν ποίῳ μέρει τῆς φρενὸς γέγραπται, ἤγουν κεχάρακται, ὁ παῖς τοῦ Ἀρχεστράτου, ἤγουν ὁ Ἀγησίδαμος.* $4^{h}$**Q** **Q**

2 a. *πόθι φρενός: ἐν ποίῳ μέρει τῆς ἐμῆς ψυχῆς ἀπόκειται.* b. *διὰ τὸ μῆκος τοῦ χρόνου.* c. *γράφεται δὲ καὶ ἐγγέγραπται, οἱονεὶ ἐγκεχάρακται.* **EQ**

---

1 *ὡς προδιατεθειμένος* scripsi: *ὥσπερ ὁ διατεθειμένος* **A** *ὡς δὲ προδιαθέμενος ἤδη* **V** ‖ *ἐπίνικον* **AC**: *ἐπινίκιον* **BDEQ** 2 *νῦν* **V**: *νοῦν* **A** ‖ *ἀναμνημονεύσεως* **E** ‖ *φησι* om. **E** ‖ *καὶ* om. **B** 2. 3 *Τριπολέμῳ* $A^{ac}$**CDEQ** 3 *σὲ δ' ἐν* **V**: *οὐδ' αὖ* **A** *θὲς δ' ἐν* Scaliger ‖ post *φρενὸς* lac. **D** 5 l. **B**: om. **D** (add. *γοῦν* post *ἀπὸ*) *ἄλλως* **E** *ἄλλως· ἀνάγνωτέ μοι* **Q** ‖ *τοῦ* **DEQ**: *καὶ τοῦ* **Bv** 6 *ὁ Π.* om. **D** 9 l. omisi: *ὁ δὲ νοῦς* **B** *ἀνάγνωτε καὶ* **D** *ἄλλως· ἀνάγνωτέ μοι* **E** *ἄλλως* **Q** 10. 11 *ἀγάγετε*] „poterat facile in *ἀνάγετε* mutari" Beck ‖ *Ἀρχιστρ.* **DE** 11 *εἴπετε* **D** ‖ *κεχάρακται* **DEQ**: *ἐγκ[έ]χρι[σται]?* **B** 12 *αὐτῷ τὸν ὕμνον* **E** ‖ *μέχρι*] *γὰρ* **D** 14 *τρία γὰρ μέρη* **v** 18 *ὥς τι*] *ὥστε* **v** 20 *ἤγουν* om. **v** 23 *Μοῦσαι* **v** post 24 add. *χρεωστῶν γὰρ αὐτῷ ὕμνον γλυκύν, ὦ Μοῦσαι, ἐπελαθόμην* **v** 25 *ψυχῆς* **E**: *φρενὸς* **Q**

BCDEQ 4 a. *ὦ Μοῖσ', ἀλλὰ σὺ καὶ θυγάτηρ Ἀλάθεια Διός:* σὺ τοίνυν, ὦ Μοῦσα, καὶ σύ, τοῦ Διὸς θυγάτηρ Ἀλήθεια, ταῖς ἴσαις καὶ δικαίαις χερσὶν ἀποκωλύσατε καὶ ἀπείρξατε ἀπ' ἐμοῦ τὴν ἐπίπληξιν καὶ τὴν ἐπιτίμησιν ἣν ἄν τις εἰς ἐμὲ ποιήσαιτο ὡς εἰς τὸν ξένον μου καὶ φίλον ἡμαρτηκότα, ὅτι ἐψευσάμην καὶ ἐβράδυνα πληρῶσαι τὸν ὕμνον. $9^h$ C $1^1$ Q

BDEQ b. *ἀλιτόξενον:* διαμαρτάνουσαν εἰς τοὺς ξένους, ὅτι ξένου αὐτῷ ὄντος τοῦ Ἀρχεστράτου ψευσάμενος ἤλιτεν εἰς αὐτόν[, ὅ ἐστιν ἥμαρτεν].

A 6 a. *Ἀλάθεια:* τὴν Ἀλήθειαν Διός φησι θυγατέρα εἶναι, ἐπεὶ τούτῳ πρέπει τὸ ἀληθεύειν· οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλὸν οὐδ' ἀτελεύτητον (*Α* 526). b. ὁ δὲ λόγος· ἀλλὰ σύ, ὦ Μοῦσα, καὶ Ἀλήθεια τὴν τῶν ψευδῶν ἐπίπληξιν ἐρύκετε.

A 8 a. *ἀλιτόξενον:* τὴν τοὺς ξένους βλάπτουσαν. b. ὅτι καὶ οὗτος εἰς Ἀρχέστρατον ξένον ὄντα ἤλιτεν.

A 9 a. *ἐπελθών:* ὁ ἐκ πολλοῦ διαστήματος ἐλθών. b. ὁ γὰρ ἐκ πολλοῦ χρόνος παραγενόμενος τὸ ἐμὸν χρέος καταισχύνει. c. πολὺς γὰρ ὁ μεταξὺ χρόνος ἐγένετο καὶ ἦλθεν οὐκ ἐγγύθεν, ἀλλὰ μακρόθεν, ⟨ἡνίκα⟩ ἀναμνησθεὶς ἐπιτελεῖ τὴν ἐπαγγελίαν.

BCDEQ 9 d. *ἕκαθε γὰρ ἐπελθὼν ὁ μέλλων χρόνος:* ὁ προσδοκώμενος μετὰ τὴν ὑπόσχεσιν ἔσεσθαι, καθ' ὃν ἀποδίδωσι τὸν ἐπινίκιον. e. ὁ μελλητικός. f. ὁ γὰρ ἐκ πολλοῦ διαστήματος χρόνος παραγενόμενος τὸ ἐμὸν χρέος καταισχυνεῖ· οἷον βαθὺ αὐτὸ καὶ πολὺ ποιήσει χρέος καὶ αὐξηθησόμενον

---

1 *Ἀλ. Διός* om. DEQ  3 *ὑποκωλ.* $C^1$D  4 *καὶ*] *αὐτὴν καὶ* D ‖ *ἣν* BC: om. DEQ  5 *ὡς εἰς* B: *εἰς* C *ὡς* DEQ ‖ *με* E  7 *ἀλιτόξενον* Q: *τὸ γὰρ ἀλ.* DE *ἀλιτόξενον οὖν ἐνιπήν φησι τὴν* Bv  7. 8 *ὅτι ξένου* BE: *ὡς ξ.* D om. Q  8 *καὶ* ante *ψευσ.* add. D  9 *ὅ — ἥμαρτεν*] om. D *ὅτι ἥμαρτον* Q. Seclusi  11 *ἐπεὶ* ego: *ἐπὶ*  15 *βλέπουσαν*: b  16 *Ἀρχεστράτου ⟨υἱὸν⟩* b  20 supplevi ex V (311, 6)  21 *ἀπαγγελίαν*: V  22 l.] *ὁ μέλλων χρόνος* C(v)  23 *μετὰ*] ft. *κατὰ* ‖ *ἔσεσθαι* CDEQ: *ἕπεσθαι* Bv ‖ *καθ' ὃν* CDEQ: *καθότι καὶ* Bv  24 *ὁ μελλητικός* om. D ‖ sch. 9f *ἢ οὕτως* praem. B *ἄλλως* praem. E  25 post *παραγ.* sch. 9g inser. Bv ‖ *καταισχύνει* codd., v  26 *χρέος* om. C *χρέος καὶ* om. Q

τόκοις. 10 C g. ἕκαθε γάρ: ἀφ' οὗπερ ὑπεσχόμην, πρὸς BEQ
τοῦτο ἕκαθε. $9^{i}$ EQ h. ὁ γὰρ ἐπιγενόμενος χρόνος μετὰ B(C)DEQ
τὴν ὑπόσχεσιν πολὺς ὢν καταισχύνει τὸ ὄφλημα· διὰ δὲ τούτου σημαίνει ὅτι πολὺς ὁ διὰ μέσου χρόνος διελήλυθεν, εἴπερ ὁ μέλλων χρόνος οὐκ ἐγγύθεν, ἀλλὰ μακρόθεν ἐλήλυθεν, ἡνίκα μνησθεὶς ἐπιτελεῖ τὴν ἐπαγγελίαν. 13 EQ $9^{d}$ C
i. ὁ δὲ νοῦς· οὐ γὰρ ὡρισμένως οὐδὲ καθὼς ὑπεσχόμην, BEQ
ἀλλὰ πόρρω τῆς προθεσμίας ὁ τότε ὡρισμένος καὶ τότε μέλλων [προσδοκώμενος] χρόνος αἰσχύνης ἀξίαν μηνύει μου τὴν ὑπόσχεσιν καὶ ὀφειλὴν βραδύνας. $9^{h}$ EQ

10. βαθὺ χρέος: μέγιστον ὄφλημα τὸν ὕμνον λέγει. BC

11. ὅμως δέ γε λῦσαι δυνατός: ὅμως ἠρεθισμένην A
τὴν τῶν θνητῶν ἐπιμομφὴν δυνατὸς ὁ τόκος ἐστὶ λῦσαι. ὀξεῖαν γὰρ τὴν ἠρεθισμένην ἢ τὴν εὐεπίφορον· ὁ δὲ ὀφείλων ἐπιδιδοὺς τόκον ἄμεμπτος γίνεται· φιλοκερδεῖς γὰρ οἱ ἄνθρωποι.

13 a. νῦν ψᾶφον: ἀλληγορικῶς ταῦτα λέγει· προσυπ- A
ακουστέον δὲ ἔξωθεν τούτῳ. ἰδίωμα δέ ἐστι Πινδάρου οὕτως ἐλλείπειν τὸ ὥς. παραβάλλει δὲ ἀλληγορῶν τῷ τῆς θαλάσσης ῥεύματι τὴν ἑαυτοῦ δύναμιν. ὡς γὰρ ψῆφον ἐπ' αἰγιαλὸν κυλινδουμένην ἐκβρασσόμενον τὸ κῦμα κατακλύζει, τὸν αὐτὸν τρόπον, φησί, κἀγὼ τὴν ἐπικυλιομένην καὶ ἐπιφερομένην μοι μέμψιν ἐκκλύσω καθάπερ ψῆφον. b. ῥεῦμα οὖν λέγει τῶν ὕμνων τὸ πνεῦμα.

13 c. νῦν ψᾶφον ἑλισσομέναν ὅπα κῦμα κατα- BCEQ
κλύσει ῥέον: ἀλληγορικῶς ταῦτα λέγει· προσυπακουστέον

1 ἕκαθε γάρ E ἄλλως· ἕκαθεν γάρ Q: τουτέστιν B 2 sch. 9h ἢ οὕτως praem. B, ἄλλως DE, ἕκαθεν γὰρ C, ἄλλως· ἕκαθεν γὰρ (om. seq. γὰρ) Q 4 διελήλ.—5 μακρόθεν om. DQ 6 ἐπι-[τελεῖ] D (chart. perfor.; cfr. A 310, 21): ἐπετέλει BCE ἐτέλει Q 7 οὐ] οὐδὲ Qv 8 ὡρισμένος EQ 9 προσδοκ. seclusi; ὁ πρ. h ‖ μου om. E 11 λέγει δὲ τὸν ὕ. C 12 ὅμως (alt.) ego: ὅπερ A om. b 15 ἐπιδιδοὺς τόκον ego: ἐπάδων τόκων A ἀποδοὺς μετὰ τόκων b ἀποδοὺς τόκον Mommsen suppl. p. 140 ‖ γίνεται b: γρ(άφεται) A ⟨ὀπαδῶν⟩ γράφεται Mommsen l. l. 18 τούτῳ] τὸ ὥς scrib. vid., cl. V 312, 13 19 παραλαμβάνει: V ‖ ἀληγορῶν $A^{ac}$ 21 κλυζομένην: V (312, 5) 23 ἐπικλύσω: V ‖ ῥεῦμα V: πνεῦμα A

δὲ ἔξωθεν τοιοῦτόν τι ἴδωμεν, θεωρήσωμεν μήποτε κῦμα
τὴν ψῆφον δινουμένην ἐπιρρέον κατακλύσῃ. d. τινὲς δὲ
BCDEQ πρὸς τὸ κατὰ τὸν ὕμνον νοούμενον πνεῦμα. e. παρα-
βάλλει δὲ ἀλληγορῶν τῷ τῆς θαλάσσης ῥεύματι τὴν ἑαυτοῦ
δύναμιν. ὡς γὰρ ψῆφον παρ' αἰγιαλὸν κυλινδουμένην ἐκ-
βρασσόμενον τὸ κῦμα κατακλύζει, τὸν αὐτὸν τρόπον, φησί,
κἀγὼ τὴν ἐπικυλιομένην μέμψιν ἐκκλύσω ὡς ψῆφον.
BCEQ f. ἢ οὕτω· νῦν τὴν τῶν ἀνδρῶν μομφὴν ὥσπερ ψῆφον
δινουμένην κατακλύσει τὸ τῶν ὕμνων ῥεῦμα ὡς κῦμα. 15 Q
CEQ g. ἄλλως· νῦν ψᾶφον ἑλισσομέναν: νῦν [ψᾶφον] τὴν
παρὰ τῶν ἀνθρώπων μέμψιν κατακλύσει ὁ ὕμνος ὡς ψῆφον
BCEQ κῦμα, | ὅταν τὸν κοινὸν λόγον, τουτέστι τὸ ποίημα, πρὸς
CEQ χάριν ἀποτίσωμεν. h. προσυπακουστέον δὲ τὸ ὥς, ἵν' ᾖ·
ὡς ψῆφον ἑλισσομένην, οὕτω τὸ κῦμα κατακλύσει αὐτήν.
CDEQ i. ἢ οὕτως· ὥσπερ τὸ κῦμα τὴν ψῆφον ἐπιρρέον κατα-
EQ κλύζει, οὕτω καὶ τὸν ἐπίνικον ἀποδώσομεν. k. ἢ οὕτως·
BEQ λείπει τὸ ἴδωμεν ἢ θεωρήσωμεν. l. νῦν σκοπήσωμεν ὅπως
τὸ ἡμέτερον κῦμα ῥέον, τουτέστιν ἡ ἡμετέρα ποίησις, κατα-
κλύσει τὴν ἑλισσομένην ψῆφον, τουτέστι τὴν καθ' ἡμῶν
EQ ἑλισσομένην λοιδορίαν. m. ἄλλως· νῦν οὖν σκοπήσωμεν
ὅπως καθάπερ [λοιδορίαν] ψῆφόν τινα κυλιομένην τὸ τῆς
θαλάσσης κῦμα περικλύζει καὶ ἵστησιν, οὕτω στήσωμεν τὸν
παρὰ τῶν πολλῶν ψόγον, καὶ σκοπήσωμεν ὅπως τὸν κοινὸν
τοῦ παντὸς γένους καὶ πάσης τῆς πόλεως ἔπαινον προσ-
φιλῶς καὶ κεχαρισμένως ἀποτίσωμεν καὶ ἀποδώσομεν. 17[h] Q

---

1 τοιοῦτό τι B ‖ εἴδομεν καὶ θεωρ. E 2 τὴν ψῆφον δι-νούμενον BE τ. ψ. δινούμενον καὶ C δινούμενον τὴν ψυχὴν Q: corr. h 3 κατὰ] κατὰ δύναμιν E 4 δὲ] καὶ E 6.7 φησὶ κἀγὼ A(311, 22)B: κἀγώ φησι (C)DEQ 7 μέμψιν] ψῆφον ἤγουν τὴν μ. D, om. ὡς ψ. ‖ ἐκκλύσω E: ἐκλύσω BC ἐγκατακλύσω D ἐγκλύσω Q 8 νῦν BE[b]Q[b] (cfr. ad 16): νῦν ψᾶφον E[a] νῦν ψῆ-φον Q[a] om. C 9 δινουμένην om. CEQ 10 l. om. C 14 τὸ] καὶ τὸ b 15 ἢ οὕτως] ἄλλως D 16 ἐνινίκιον E ‖ post ἀποδώσομεν repet. 10 νῦν — 12 κῦμα EQ, praem. ἄλλως, add. λείπει γὰρ τὸ ὥς 17 sch. 131 ἄλλως praem. B ‖ ὅμως E 18. 19 κατακλύσει EG (ει in ras.) Q: -σῃ Bv 19 τὴν (alt.) om. E 21 λοιδορίαν del. b 22 περικλύζει GQ: ἐπικλύζει E ‖ στήτω μὲν E 25 καὶ om. E ‖ καὶ ἀποδώσομεν om. b

13 n. ἑλισσομέναν: κυλιομένην. B

14 a. ὅπα κῦμα κατακλύσει: τινὲς τὸ ὅπα ἀντὶ τοῦ ὡς νῦν παραλαμβάνουσιν. A

14 b. ὅπα κῦμα: οἱ μὲν ὅπου, οἱ δὲ ὅπως. BC

15 a. κοινὸν λόγον: Ἀρίσταρχος κοινὸν λόγον τὸν ὕμνον, οὗ πολλοὶ ἐπιθυμοῦσι· πολύκοινος γὰρ καὶ εὐεπίφορός ἐστιν εἰς τὸ λέγειν. A

15 b. κοινὸν λόγον: ἕτεροι μὲν τὸν περὶ τῶν πολλῶν λόγον· οἱ δὲ τὸν ὕμνον ἤκουσαν, ἤτοι ὅτι πλείονες αὐτοῦ μεθέξουσιν [οἱ νικηφόροι], ἢ ὅτι διὰ πολλῶν ἔσται στομάτων. BCDEQ

c. ὅπα τε κοινὸν λόγον: ὅπως τὸν ὕμνον ἀποτίσωμεν προσφιλῶς τε καὶ κεχαρισμένως τῷ ἐγκωμιαζομένῳ. 17[h] B ABCDEQ

16. φίλαν ἐς χάριν: εἰς χάριν, φησί, τοῦ νενικηκότος· ἵν' ᾖ δῆλον ὅτι καθαρεῖ καὶ ἀποτρίψει τὸ ὄφλημα. DEQ[ab]

20 Q[a] 19 Q[b]

17 a. νέμει γὰρ ἁ τραχεῖα πόλις: ἀντὶ τοῦ εὐνομεῖται· διὸ δεῖ χαρίζεσθαί με τὸν ὕμνον. b. ἢ νέμει, οἱονεὶ νομὴν καὶ λαβὴν δίδωσιν ἡ πόλις πρὸς τὸ ἐγκωμιάζειν· διό φησι· μέλει τέ σφισι Καλλιόπα, τουτέστιν ἐν μουσικῇ καὶ πολέμῳ διαφέρουσιν. c. ἢ οὕτως· ἡ ἀτρέκεια νέμει τὴν πόλιν τῶν Λοκρῶν, ἀντὶ τοῦ ἐπαληθεύει ἡ τῶν Λοκρῶν πόλις· διὸ καὶ ἐμοὶ φυλακτέον ἐστὶ τὴν πρὸς αὐτοὺς ἀλήθειαν γράφοντι τὸν ἐπίνικον καὶ ἀποδιδόντι Ἀγησιδάμῳ. ὁ δὲ Δίδυμός φησιν ἔχειν λόγον καὶ τὴν ἑτέραν γραφήν· νέμει γὰρ ἁ τραχεῖα πόλις Λοκρῶν, ἐπεὶ περὶ χάριτός ἐστιν ὁ λόγος· ἀπονέμει ἡ τραχεῖα πόλις τὴν χάριν, A

---

2 ὅπα (o rescr.) ‖ κατακλύ(σει) ‖ ὅπα 3 παραλαμβάν(ουσιν) 4 κῦμα om. C ‖ οἱ μὲν ἀντὶ τοῦ ὅπου, οἱ δὲ ἀντὶ τοῦ ὅπως λαμβάνουσι C ‖ ὅπως] ὅπερ B[ac]V 6 οὗ b: οὐ 8 l. BC: ὅπα κ. λ. DEQ ‖ περὶ QV: παρὰ ‖ τῶν om. C 9 λόγων et -ον CD 10 οἱ νικηφόροι CDEQ νικηφόροι B. Seclusi 11 l. ego: πάγκοινον δὲ λγ' A om. V πάγκοινον λόγον b ‖ ὅπως AB: ὅπου EQ (D? extrit.) ὅτι C ‖ ἀποτίσωμαι A 12 προσφιλῶς τε (τε om. A) καὶ κεχαρισμένως A(CEQ): προσφιλῆ τε καὶ κεχαρισμένον B(D) ‖ κομιζομένῳ V 13 φίλαν τίσομεν ἐς χ. Q ‖ φησὶ om. Q 14 καθάρῃ DEQ: ego ‖ ἀποτρίψῃ D 16 ἁ A[pc]: ἀ A[ac] ‖ πόλ(ις) 18 βλάβην: V (314, 13) 18. 19 τὸ ἐγκωμιάζειν b: ὃ ἐγκωμιάζει 19 μέλλει ‖ Καλλιόπα ⟨καὶ χάλκεος Ἄρης⟩? Schroeder 20 διαφέρ(ουσιν) 24 ἔχει: b 25 ἐπεὶ b: ἔτι

τουτέστιν οἶδεν ἀντιχαρίζεσθαι ἡ τῶν Λοκρῶν πόλις πρὸς
ἐγκώμια· διό φησιν· μέλει τέ σφι Καλλιόπα.
BDEQ 17 d. νέμει γὰρ ἀτρέκεια πόλιν Λοκρῶν: ἀντὶ τοῦ
BCDEQ νέμεται καὶ ἔστιν ἐν τῇ ἀληθείᾳ, | τουτέστι καὶ μεθ' ἑαυ-
BCEQ τῆς ἔχει τὴν ἀλήθειαν ἡ τῶν Λοκρῶν πόλις. | οὐ δεῖ οὖν,
CEQ φησιν, οὐδ' ἐμὲ ψεύδεσθαι. $17^{i}$ B e. νέμει γὰρ ἀτρέ-
κεια πόλιν Λοκρῶν, τουτέστιν ἀληθεύει ἡ τῶν Λοκρῶν
CDEQ πόλις. | διὸ καὶ ἐμοὶ τὴν πρὸς αὐτοὺς ἀλήθειαν φυλακτέον.
f. ἐπεὶ γὰρ περὶ χάριτός ἐστιν ὁ λόγος, φησίν· ὄπα τε
κοινὸν λόγον τίσομεν ἐς χάριν· ἀπονέμει γὰρ ἡ τραχεῖα
πόλις. g. τινὲς οὕτως· οἶδεν ἀντιχαρίζεσθαι ἡ τῶν Λοκρῶν
BCDEQ πόλις. $16Q^{b}$ h. νέμει γὰρ ἀτρέκεια πόλιν Λοκρῶν:
ἀντὶ τοῦ ἔχει νομὴν καὶ δίδωσι λαβὰς ἡ πόλις τῶν Λοκρῶν
BCEQ |πρὸς ἐγκώμια· διὸ ἐπήνεγκε· μέλει τέ σφι Καλλιόπα καὶ χάλ-
κεος Ἄρης. καὶ γὰρ καὶ ἐν τῇ μουσικῇ διαφέρουσι κἂν τοῖς
κατὰ πόλεμον· διὸ ἀφορμὰς δίδωσι τοῖς βουλομένοις. $17^{d}$ B
BCDEQ i. τραχεῖα δὲ εἰκότως ἂν λέγοιτο, λοφώδης οὖσα καὶ ἐπι-
BCEQ θαλασσίδιος. | αὐτὸς γάρ φησιν (fr. 200)· οἵ τ' ἀργίλο-
φον πὰρ Ζεφυρίου κολώναν. καὶ ὃ βούλεται λέγειν, ἔστι
τοιοῦτον· καίπερ τραχεῖα οὖσα εὐνομεῖται. διὰ τί δέ, φη-
σὶν Ἀριστοτέλης (fr. 548)· ἐπειδὴ γὰρ ἐχρῶντο τῷ θεῷ πῶς
ἂν πολλῆς ταραχῆς ἀπαλλαγεῖεν, ἐξέπεσεν αὐτοῖς χρησμὸς
ἑαυτοῖς νόμους τίθεσθαι. ὅτε καί τις ποιμήν, ᾧ ὄνομα

---

1 ἐπιχαρίζεσθαι: b 2 ἐγκώμια ego: ἐκδημίαν 3 l. DE: ἄλλως· νέμει γὰρ Q ἢ οὕτω B, om. ἀντὶ τοῦ 4 τῇ om. E || νέμεται praem., καὶ om. C 6 οὐδ' ἐμὲ ψεύδεσθαι ego: οὐδὲ μέμφεσθαι B οὐδὲ ψεύδεσθαι EQ ψεύδεσθαι C || l. E: ἄλλως· νέμεται ἀληθείᾳ C ἄλλως· νέμει γάρ Q 9 περὶ A (313, 25): πρὸς CDEQ (10 ἀπονέμει — 12 πόλις $Q^{mg}$) 10 ἀπονέμει — 11 πόλις om. C 10 τραχέα E 11 ἀντὶ τοῦ χαρίζεσθαι CD || τῶν om. E 12 l. B: ν. γ. ἀτρέκειαν πόλις Λ. Q ἄλλως· νέμει — πόλιν E ἄλλως νέμεται C ἄλλως D, om. 13 ἀντὶ τοῦ 13 ἡ πόλις λαβὰς B 14 μέλλει B || σφισι Q 15 καὶ γὰρ καὶ B: καὶ γὰρ CEQ || φέρουσι E 16 διὸ — βουλ. om. C || διὸ] διὸ καὶ Qv 18 οἵ τ' om. Q 18. 19 ἀργίλοφον $BQ^{pc}$: ἀργείλοφον CEb ἀργύρεον $Q^{ac}$ 19 πὰρ Ζεφυρίου (C)EGh: πὰρ ζεφυρίῳ Bv πανζεφύριον Q, unde πὰρ Ζεφύριον b || κολώνης C
21 ὁ Ἀρ. B?v 23 τις] εἴ τις E || ᾧ ὄνομα CE(Q): ὄνομα δ' ἦν Bv

*Ζάλευκος, πολλοὺς νόμους δυνηθεὶς εἰσενεγκεῖν τοῖς πολίταις δοκίμους, γνωσθείς τε καὶ ἐρωτηθεὶς πόθεν εὕροι, ἔφησεν ἐνύπνιον αὐτῷ τὴν Ἀθηνᾶν παρίστασθαι· διὸ αὐτός τε ἠλευθέρωται καὶ νομοθέτης κατέστη.* k. *οὐκ ἀπὸ σκοποῦ* **BCDEQ** *δὲ μουσικοὺς εἶπε τοὺς Λοκρούς· Λοκριστὶ γάρ τις ἁρμονία ἐστίν, ἣν ἀσκῆσαί φασι Ξενόκριτον τὸν Λοκρόν.* $17^{d}$ Q

18 a. *Ζεφυρίων: τῶν Ἐπιζεφυρίων. τρισσά εἰσιν ⟨ἐν⟩* **A** *Ἑλλάδι ἔθνη τῶν Λοκρῶν· Ἐπικνημίδιοι καὶ Ὀζόλαι ⟨καὶ Ἐπιζεφύριοι⟩· Ἐπικνημίδιοι μὲν οἱ μετὰ τοῦ Ὀιλέως Αἴαντος εἰς Ἴλιον παραγενόμενοι· οἳ τὸ ὄνομα παρ᾽ οὓς αἱ κνημῖδες τοῦ Ὀιλέως Αἴαντος ὅπου κεῖνται. Ὀζόλαι δὲ ὑπέρκεινται καὶ αὐτοὶ ...... ἀπὸ τῶν φυγόντων Κενταύρων ἐκλήθησαν Ὀζόλαι. τρίτον δὲ Ἐπιζεφύριοι Ἰταλοὶ μίαν πόλιν καὶ οὐκ ἐθνηδὸν οἰκοῦντες· ἀπὸ δὲ ἄκρας ὑπερκειμένης Ἐπιζεφυρίας ἐκλήθησαν Ἐπιζεφύριοι· ὧν εἷς ἐστιν ὁ νενικηκώς.*

18 b. *μέλει τέ σφι Καλλιόπα: οὐκ ἀπὸ σκοποῦ* **A** *τούτους εἶπε τοὺς Λοκροὺς μουσικούς, ἀλλ᾽ ὅτι ἔστι τις ἁρμονία Λοκριστὶ προσαγορευομένη, ἣν ξυναρμόσαι φασὶ Ξενόκριτον τὸν Λοκρόν. Καλλίμαχος* (fr. 541)*· ὃς Ἰταλὴν ἐφράσατ᾽ ἁρμονίην.*

19 a. *Κυκνέα μάχη: ὅτι τὸν Ἄρεος Κύκνον Ἡρακλῆς* **A** *φυγὼν αὖτις ἀνεῖλε, Στησίχορος* (fr. 12) *ἐν τῷ ἐπιγραφομένῳ Κύκνῳ φησίν. διὰ τὸν Ἀγησίδαμον δὲ εἰκότως ἡ*

7 sch. A *B* 527

1 *δυνηθείη* **v** ‖ *τοῖς πολ. εἰσενεγκεῖν* **Bv** 2 *τε* om. **Bv** ‖ *ἔφησεν ὅτι* **E** 3 *ἐνύπνια* **E** ‖ *παραστήσασθαι?* **B** ‖ *τε*] *τοῦ* **E** 4 *ἠλευθέρωτο* **B**. Ft. *ἠλευθερώθη* 4. 5 *ἄπο δὲ σκ.* **D** (*ἄπο* et **B**) 5 *λοκρισία*: **b** 6 *ἀσκεῖσθαι* **B** ‖ *φασι* **B** (cfr. **A** 19): *λέγεται* **CEQ** 7 *Ζεφυρίων* scripsi: *Ἐπιζεφυρίων* ‖ *τρισσοὶ*: **b** ‖ *ἐν* add. **b** 8 *Λοκρῶν* ego: *οἰκούντων* 8. 9 suppl. **b** 9 *Ὀιλέως* ego cl. 11 et 22: *Ἰολέου* **A** *Ὀιλείου* **b** 10 sq. *οἷς τὸ ὄνομα παρ᾽ ὄρους Κνημῖδος ὅπου κεῖνται* **b**. Pro *ὅπου κεῖνται* fuit *ὑπέρκεινται*; cetera non expedio 11 *Ἰολ(έως)*: ego 12 lac. indicavi ‖ *φυγόντων* corruptum; an *πυθομένων*? cfr. Strab. IX 427

14 *ἄκρας* **b**: *ἀκᾶτ᾽* 18 *τούτους* ego: *τοῦτο* 19 *προσαγορευόμενον*: **b** ‖ *φησὶ*: **b** 20 *ὅς τ᾽* **b** ‖ *Ἰταλ(ὴν)* ‖ *ἐφράσσατ᾽*: **b** 21 *ἁρμονίην* $A^{ac}$ 23. 24 *τ(ῷ) ἐπιγρα(φομένῳ)*

ἱστορία· οὗτος γὰρ καταλύειν ἤδη προηρημένος ὑπὸ τοῦ ἀλείπτου ἀνερρώσθη παραθήξαντος αὐτόν.

BCDEQ 19 b. τράπε δὲ Κυκνέα μάχα: ἐτράπη δὲ καὶ ὑπεχώρησεν ἐν τῇ πρὸς τὸν Κύκνον μάχῃ ὁ μέγιστος Ἡρακλῆς, παρορμήσαντος Ἄρεος τὸν Κύκνον. ἐμαχέσατο δὲ Ἡρακλῆς ὅτι κακόξενος ἦν Κύκνος καὶ ἐν παρόδῳ τῆς Θεσσαλίας οἰκῶν ἀπεκαρατόμει τοὺς παριόντας ναὸν τῷ Ἀπόλλωνι βουλόμενος ἐκ τῶν κεφαλῶν οἰκοδομῆσαι, καὶ αὐτῷ παριόντι ἐπιβουλεῦσαι ἠθέλησε. συστάσης οὖν αὐτοῖς μάχης ἐφυγάδευσεν Ἡρακλῆς, συμβαλλομένου Ἄρεος τῷ παιδὶ Κύκνῳ. ἀλλ' ὕστερον Ἡρακλῆς καὶ τοῦτον ἀπέκτεινε. Στησίχορος

BCEQ (fr. 12) ἐν ⟨τῷ⟩ ἐπιγραφομένῳ Κύκνῳ ἱστορεῖ. c. τοιγάρτοι διὰ τὸ καὶ τὸν Ἀγησίδαμον ἀπολήγοντα ἤδη ὑπὸ Ἰολάου ἀλείπτου ἀνερρῶσθαι εἰκότως ταῦτα ἐπηγάγετο.

BDEQ d. ἐχέτω οὖν, φησι, τῷ Ἴλᾳ Ἀγησίδαμος χάριν, ὡς Ἀχιλλεῖ Πάτροκλος παρορμήσαντι εἰς τὸν πρὸς τοὺς βαρβάρους πόλεμον. 21 Q

BEQ 20. [ὑπέρβιον Ἡρακλέα:] ὡς Ἡρακλέα τραπέντα ἀνέρρωσεν ἡ Ἀθηνᾶ, οὕτως καὶ τὸν Ἀγησίδαμον ὁ Ἰόλαος. 13e Q

A 21 a. Ἰολάῳ φερέτω χάριν: ἐτράπη μὲν ἐν τῇ μάχῃ τοῦ Κύκνου ὁ Ἡρακλῆς. ὁ Κύκνος υἱὸς ὢν τοῦ Ἄρεος ἐν τῇ παρόδῳ τῆς Θεσσαλίας οἰκῶν τοὺς παριόντας ξένους ἐκαρατόμει, ἐκ τῶν κεφαλῶν ναὸν τῷ Ἀπόλλωνι ποιῆσαι βουλόμενος. παριόντι τοίνυν τῷ Ἡρακλεῖ ἐπεβούλευσε, καὶ συστάσης μάχης ἐτράπη εἰς φυγὴν ὁ Ἡρακλῆς συλλαβομένου τοῦ Ἄρεος ὡς παιδὶ τῷ Κύκνῳ. ἀλλὰ ὕστερον αὐτὸν μόνον γενόμενον ἐνίκησεν ὁ Ἡρακλῆς. ἔοικε δὲ ὁ Ἀγησίδαμος ἡττῆσθαι πρῶτον, εἶτα ὕστερον ὑπὸ Ἰολάου παροξυνθεὶς

---

1 κακὰ λύειν: b ‖ προειρημένος: b 2 ἀνερώσθη 3 δὲ (alt.) BD: μὲν CEQ 4 ἐν om. E 5 Ἄρεως E ‖ δὲ om. Q 6 ὁ Κύκνος CD ‖ Θεσσαλίας CDQ: θαλασσίας BE 7 Ἄρει Thomas, h 9 αὐτῆς E 9. 10 ἔφυγε δείσας h 11. 12 ἱστορεῖται ταῦτα ἐν τῇ Ἡσιόδου ἀσπίδι καὶ Στησιχόρου τῷ ἐπ. Κ. C ‖ τῷ add. b (ex A 315, 23) 13 τὸ καὶ om. E ‖ ἀπολείποντα C et e cj. h 14 Ἰολάου CEQ: Ἴλα B(Thom.) ‖ ἀνερρῆσθαι E 15 Ἴλα B?DE Ἰόλα Q 18 l. om. B; seclusi ‖ ὡς B: τὸν EQ 19 Ἰόλαος EQ$^{pc}$v: Ἴλας B Μενέλαος Q$^{ac}$ 20 Ἰολ(άῳ) 28 Ἰολ(άου)

*νενικηκέναι. τῷ Ἰολάῳ, φησὶν οὖν, χάριν ἐχέτω ὁ Ἀγησί-*
*δαμος ὥσπερ Ἀχιλλεῖ Πάτροκλος.* 24

21 b. *Ἰόλᾳ φερέτω χάριν: οὕτω, φησὶ, τῷ Ἰόλᾳ χά-* BCEQ
*ριν ἐχέτω ὁ Ἀγησίδαμος ὁ πύκτης, ὥσπερ Πάτροκλος τῷ*
*Ἀχιλλεῖ. τοῖς γὰρ ὅπλοις ἠρίστευσε τοῖς ἐκείνου.*

22. *ὡς Ἀχιλεῖ Πάτροκλος: ὁ γὰρ Ἀχιλλεὺς τοῖς* A
*ἰδίοις ὅπλοις κοσμήσας Πάτροκλον καὶ παραθαρρύνας ἔπεμψεν*
*εἰς τὸν πόλεμον.* 26

23 a. *φύντ᾽ ἀρετᾷ: τὸν φύντα πρὸς ἀρετὴν σὺν θεοῦ* BC
*παλάμῃ παροξύνας τις πρὸς μέγα κλέος ὁρμῆσαι ποιήσειεν.*

b. *τὸ δὲ παλάμῃ ἀντὶ τοῦ γνώμῃ καὶ βουλῇ καὶ ἐπινοίᾳ.* C

24. *πελώριον: τὰ β′ μία ἐστὶ περίοδος ιζ′ συλλαβῶν.* 22 A

26 a. *ἄπονον δ᾽ ἔλαβον: ὡς μετὰ πόνου αὐτοῦ λα-* A
*βόντος τὴν νίκην. οἱ δὲ χωρὶς πόνου νικῶντες ἄδοξοι.*

b. *ὀλίγοι τινές εἰσιν οἳ χαρὰν ἐκτήσαντο χωρὶς πόνων.*

c. *τὸ ὀλίγοι ἀντὶ τοῦ οὐδείς* (*E* 800)·
*ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς.*

26 d. *ἄπονον δ᾽ ἔλαβον χάρμα παῦροί τινες: οὗ-* B(C)DE(
*τος μὲν οὖν, φησι, μετὰ πόνου ἔλαβε τὴν νίκην· ὀλίγοι δέ*
*εἰσιν οἱ χωρὶς πόνου νικήσαντες.* e. *ἢ οὕτως· οὐδένες* BCEQ
*χωρὶς πόνου χαράν τινος ἔσχον ἔργου.* f. *οὐδένες πρὶν* BDEQ
*ἐνεργῆσαι νικῶσί τι. ἡ δὲ νίκη τῷ βίῳ αὐτῶν ἐστι φάος.*

27. *βιότῳ φάος: [τὸ φάος] τὸ χάρμα τὸ ἀπὸ τῆς* A
*νίκης ἁπάντων τῶν ἔργων τοῦ βίου φάος εἴρηκεν.*

---

16 sch. A *E* 800

---

1 *Ἰολ(άῳ)* 2 *Ἀχιλ(εὺς) Πατρόκλῳ* 3 *Ἰόλᾳ* — 4 *πύκτης* **(C)EQ**: *φερέτω οὖν χάριν, ἤτοι ἐχέτω χάριν τῷ Ἴλᾳ Ἀγ. πύκτης* **Bv** 4 *ὡς* **Bv** 5 *ἐκείνου* **(C)EQ**: *αὐτοῦ* **Bv** ‖ post fin. sch. add. *ἅμα δὲ καὶ παρώρμησεν αὐτὸν κατὰ τῶν Τρώων* **C** 6 *Ἀχιλλεὺς*] *Ἀχιλεὺς* **A** 7 *περιθαρρύνας* 9 l. om., post *ἀρετὴν* add. *φησι* **C** 10 *παλάμᾳ* **Cv** ‖ *ὁρμήσει* **C**, om. *ποιήσειεν* ‖ *ποιήσειεν ἄν* **b** 16 *ὀλίγον:* **b** 17 *ἢ* 18 l. **B**: *ἔλαβον — τινες* om. **C** *π. τινες* om. **D** *χ. π. τ.* om. **E** *παῦροι* om. **Q** 19 *πόνους* **DE** 20 *οὐδένες* **B(Q)**: *οὐδέ τινες* **CE** 21 sch. 26 f *ἢ* praem. **B**, *ἄλλως* **EQ** ‖ *οὐδένες* **BQ**: *οὐδὲν δὲ* **D** *οὐδέ τινες* **E** ‖ *πρὶν*] *χωρὶς τοῦ* **D** 22 *τι*] *τινες* **D** ‖ *ἐνεργῆσαί τι νικῶσι* Beck 23 *βίῳ τὸ φ.* ‖ *τὸ φάος* del. **b** 24 *τῶν* om. **b** ‖ *ἔργων* scripsi: *ἐτῶν* **A** (*ἐτεῶν προπάντων* scholiastam legisse cj. Bergk, *ἐτέων πρ.* Mommsen ed. min.)

A 28a. ἐξαίρετον: προτρέπουσί με ἀεῖσαι τὸν ἀγῶνα τὸν ἐξαίρετον τῶν Ὀλυμπίων. b. δηλονότι δικαίως ᾄδεται.

BDEQ 28c. ἀγῶνα δ' ἐξαίρετον ἀεῖσαι: ἐμὲ δὲ παρώρμησαν αἱ τοῦ Διὸς θέμιδες ὑμνῆσαι τοῦτον τὸν ἀγῶνα.

B(C)D(E)Q d. θέμιδες δὲ Διὸς ὁ κατὰ θεσμὸν τῆς πενταετηρίδος πληρωθεὶς χρόνος. e. ἢ οὕτως· ἐμὲ προτρέπουσιν αἱ [Διὸς] θέμιδες ᾆσαι τὸν ἀγῶνα τὸν ἐξαίρετον τοῦ Διὸς τοῦ ἐν Ὀλυμπίᾳ.

(C)EQ f. ἄλλως· τὸ ἑξῆς· ἀγῶνα θέμιτες [δὲ] Διὸς ὦρσαν, ἐπεὶ μετὰ δικαιοσύνης ἀγωνίζονται.

BCEQ g. ἀντὶ τοῦ θέμιδες. Δωρικὴ δὲ ἡ κλίσις. Ὅμηρος (Ο 87)· Θέμιστι δὲ καλλιπαρῄῳ.

A 29a. ὃν ἀρχαίῳ σάματι: τὸ αὐτό ἐστι τό τε μνῆμα τὸ τοῦ Πέλοπος καὶ ὁ βωμός. οὐ γὰρ ἑτέρωθι μὲν ὁ Πέλοψ, ἑτέρωθι δὲ ὁ βωμός.

BCDEQ 29b. ὃν ἀρχαίῳ σάματι πὰρ Πέλοπος βωμῷ: τὸ μνῆμα τοῦ Πέλοπος τὸ αὐτὸ τῷ βωμῷ. οὐ γὰρ ἑτέρωθι μὲν ὁ Πέλοψ, ἑτέρωθι δὲ ὁ βωμός, ἀλλ' ἓν καὶ τὸ αὐτὸ χωρίον ἐστὶ σῆμα καὶ βωμός. c. ἑξάριθμον δέ, ἐπεὶ τῶν ιβʹ θεῶν ἓξ βωμοὺς κατεσκεύασεν. d. ὅντινα ἀγῶνα πλησίον τοῦ ἀρχαίου σήματος καὶ τάφου ἓξ βωμῶν ἀριθμὸν ἔχοντα [ἕκτον βωμὸν] ἱδρύσατο καὶ κατεστήσατο Ἡρακλῆς, ἡνίκα τοὺς τοῦ Ποσειδῶνος ἀνεῖλε παῖδας Κτέατον καὶ Εὔρυτον, ἵνα δυνηθῇ τῆς ὑπηρεσίας μισθὸν κομίσασθαι

9 Eust. Il. 735, 52. Od. 1618, 29, al. EM 445, 19

3 l. EQ: ἀγ. δ' ἐξ. B om. CD 4 θέμιδες — 6 Διὸς om. E 5 θέμ. δὲ Διὸς om. D ‖ θέμιτες C, om. δὲ 6 Διὸς om. D (B legi nequit); seclusi 7 τοῦ ἐν] ft. τὸν ἐν 8 ἄλλως — 9 ὦρσαν] τοῦτο δ' εἶπε C ‖ θέμιτες δὲ Διὸς E Διὸς δὲ θέμιτες Q Διὸς θέμιτες v. Seclusi δὲ 9 sqq. (sch. 28g) θέμιτες δὲ ἀντὶ [τοῦ θέμιδες] φ(ησι) ... Δωρικὴ δὲ ἡ ...... ὡς ... καὶ Ὅμ. cett. B (teste Mommseno) 10 Θέμιστι E: Θέμιτι BCQ 12 σώματι 13 γὰρ V: τὸν A ‖ μὲν V: μόνον A 14 ἑτέρωθι V: παρ' ἑτέρωθι A 15 σώματι D$E^{ac}$?$Q^{corr.}$ ‖ πὰρ Π. β. om. CDE 16 τοῦ om. DE ‖ τῷ αὐτῷ CDE$Q^{ac}$ (etiam τῷ μνήματι C) 17 τὸ om. E ‖ ταὐτὸν CQ 19 sch. 29d ὁ δὲ νοῦς praem. B, ἄλλως CD, ἄλλως. ᾧ σώματι E, ἄλλως σήματι Q 20 βωμῶν] βωμὸν $C^{pc}$D βωμοὺς $C^{ac}$ 21 ἕκτον βωμὸν secl. h ‖ κατεστήσατο CDE: κατεσκεύασεν BQv 22 ἀνεῖλε] ἔκτεινε Q

*παρὰ τοῦ Αὐγέου πλεῖστον ὄντα, καὶ παρὰ ἄκοντος αὐτὸς ἑκών.* 34[e] **B**

31 a. *βωμῶν ἑξάριθμον: ἐν τοῖς ἓξ βωμοῖς δώδεκα ⟨θεοῖς⟩ Ἡρακλῆς ἔθυεν· περὶ ὧν εἴπαμεν.* **A** b. *ἓξ γὰρ βωμοὺς ἔκτισεν Ἡρακλῆς ἡνίκα τοὺς Ποσειδῶνος παῖδας ἐφόνευσε Κτέατον καὶ Εὔρυτον.* c. *τῷ γὰρ δοκεῖν ἦσαν Ἄκτορος καὶ Μολιόνης.*

32. *[ἐκτίσσατ' ἐπεὶ Ποσειδάνιον:] Κτέατος καὶ Εὔρυτος ἀδελφοί, τῷ μὲν λόγῳ Ἄκτορος καὶ Μολιόνης, τῇ δὲ ἀληθείᾳ Ποσειδῶνος καὶ Μολιόνης. οὗτοι συνεστρατεύσαντο Αὐγείᾳ, καὶ ἐπειδὴ εἰς τὸν μισθὸν τῆς ἐκχύσεως τῆς ὄνθου ἠδικεῖτο Ἡρακλῆς, ἀποκαθάρας μὲν τὴν κόπρον, ἀποστερούμενος δὲ τοῦ συμφωνηθέντος μισθοῦ, τούτους λοχήσας ἐν Κλεωναῖς τοῦ Ἄργους ὁ Ἡρακλῆς προανεῖλεν, ἵν' εὐαλώτερος αὐτῷ μονωθεὶς ὁ Αὐγείας γένηται. ἦν δὲ ὁ μισθὸς ἡ δεκάτη τῶν βοῶν.* 34[e] **CE** **BCDEQ**

33. *Κτέατον: καὶ γὰρ Κτέατον καὶ Εὔρυτον τοὺς Ποσειδῶνος παῖδας καὶ Μολιόνης περὶ Κλεωνὰς ἐνεδρεύσας πορευομένους περὶ τὸν Ἰσθμὸν ἀνεῖλεν. ἀπέκτεινε δὲ τοὺς Μολιονίδας καὶ Ἡρακλῆς ὅπως εἰσπράξαιτο τοῦ Αὐγέου μισθόν.* **A**

34 a. *λάτριον: τὸν ἐν τῇ λατρείᾳ γενόμενον. ἐλάτρευσε γὰρ τῷ Αὐγέᾳ ἐκβαλὼν τὴν ἐν τῇ αὐλῇ κόπρον.* **A**

34 b. *ὡς Αὐγέαν λάτριον ἀέκονθ' ἑκὼν μισθὸν ὑπέρβιον πράσσοιτο: τὸ ὡς ἀντὶ τοῦ ἵνα.* **CDEQ** c. *ἀνεῖλεν οὖν τοὺς Μολιονίδας ὁ Ἡρακλῆς ἵν' εἰσπράξηται τὸν Αὐγείαν.* **BCDEQ**

---

3 *ἑξάρ.* **A**[ac] 3. 4 *δώδεκα ⟨θεοῖς⟩* **b**: *δέδωκ(εν)* **A** ‖ *Ἡρακλ(ῆς)* 6 *τῷ* **A**[s]: *τὸ* **A**[1] 8 l. **EQ**: *ἐπεὶ Π.* **D** *ἄλλως* **B** om. **C** ‖ *ἐκτίσατο* **Q** ‖ *Ποσσ(ε)ιδάνιον* **DE** ‖ *καὶ γὰρ Κτ.* **C** (cfr. **A** 17) 9 *Μολίνης* utrob. **B** 10 *οὗτοι* **BCQ**: *οὗτοι δὲ* **DE** 11 *τοῦ ὄνθου* **E** 12 *ἠδικεῖτο* **B** *ἠδικοῖτο* **Q**: *ἠδίκητο* **CDE** 14 *τοῦ*] om. **E** (ras.) ‖ *προανεῖλεν* **DE**: *ἀνεῖλεν* **BCQ** 14. 15 *εὐαλώτερον* **EQ** 15 *Αὐγέας* **B** 19 *περὶ*] *ἐπὶ*? 20 *καὶ*] *ὁ*? ‖ ⟨*τὸν*⟩ *τοῦ*? ‖ *Αἰγέου* 24 l. **EQ**: *ὡς Αὐγ.* **C** *ὡς Αὐγ. λ.* **D** ‖ *Αὐγέα* **Q** ‖ *ἄκονθ'* **E** 26 *Αὐγέαν* **B** *Αὐγέα* **Q**[b] *Αὐγείαν πολέμῳ* **E**[b] (cfr. ad 320, 5) ‖ post *Αὐγ.* add. *τὸν τῆς ὑπηρεσίας μισθόν· ἐλλοχήσας γὰρ αὐτοὺς ἀνεῖλεν* **C**

BDEQ d. λάτριον δὲ μισθὸν τὸν ἀντὶ τῆς λατρείας καὶ ὑπηρεσίας. $36^c$ BCE

BCDEQ 34 e. ὡς Αὐγέαν λάτριον: ἐλάτρευσε γὰρ αὐτῷ ὁ Ἡρακλῆς ἐκφορήσας τὴν ἐν τῇ αὐλῇ κόπρον. f. ὑπέρβιον δὲ τὸν πολύν.

BDEQ 34 g. ὅτι ἐν τῷ πρὸς Αὐγέαν πολέμῳ Ἡρακλῆς ὑπὸ τῶν Μολιονιδῶν ἁλοὺς ἔφυγε, διὸ μηνίσας αὐτοῖς τὸν περὶ Κλεωνὰς συνεστήσατο λόχον, φησὶ Μνασέας ὁ Πατρεύς. 32 $B^a$ $34^b$ C$E^a$ 42 $E^b Q^b$

B 34 h. ὡς Αὐγέαν: τὸ ὥς ἀντὶ τοῦ ὅπως.

A 36 a. λόχμαισι δὲ δοκεύσας: ὅτε Αὐγέᾳ ἐπολέμει Ἡρακλῆς διὰ τὸν μισθὸν τῆς κόπρου, εἶχε πολλοὺς συμμάχους Τιρυνθίους, οὓς οἱ Μολιονίδαι ἐφόνευσαν βοηθοῦντες Αὐγέᾳ.

B 36 b. λόχμαισι: δασέσι τόποις. 42

BEQ 36 c. λόχμαισι δὲ δοκεύσας: ἐπιτηρήσας γὰρ αὐτοὺς ἐν τοῖς συνδένδροις τόποις τῶν Κλεωνῶν ἀνεῖλεν ὁ Ἡρακλῆς
BCEQ ἐνεδρεύσας καὶ λοχήσας, | διότι πρῴην ποτὲ τὸ στράτευμα αὐτοῦ τὸ ἐκ τῶν Ἀργείων ἐν τῇ πόλει τῶν Ἠλείων καθεζόμενον ἐπολέμησαν αὐτοὶ ὑπερήφανοι τῆς Μολιόνης οὗτοι.

B(C)DEQ 37 a. ὑπὸ Κλεωνᾶν δάμασε: Δωρικῶς· ὑπὸ Κλεωνῶν.
B b. ὄνομα πόλεως Ἀργολικῆς. | c. τινὲς δὲ δῆμον Λακω-
B(C)DEQ νικόν. d. ἐδάμασε δὲ Εὔρυτον καὶ Κτέατον, ἤτοι ἀπέκ-
B τεινεν αὐτούς. e. ἐφόδῳ ἀντὶ τοῦ λόχῳ (Hom. *Λ* 151)·

---

24 sch. BT *Λ* 151

---

3 l. E: ἄλλως ὡς Αὐγ. λ. μισθόν Q λάτριον C om. B ‖ Αὐγέα EQ 5 τὴν πολλήν E ‖ post f repet. c BEQ 6—9 post 39 repet. BEQ 6 ὅτι [$B^a$]$E^a Q^a$: ὅτι δὲ $B^b$ D $E^b Q^b$ ‖ Αὐγείαν D ‖ ὁ Ἡρ. $B^b E^b Q^b$ 7 δι' οὗ $E^a Q^a$ ‖ αὐτοῖς] τὸν πόλεμον $E^b$ 7 sq. παρὰ Κλέωνα ἐστήσατο τὸν πόλεμον αὐτοῖς $Q^b$ 11 ὅτι: b 16 l. om. B ‖ post l. add. ὁ νοῦς EQ 17 ὁ Ἡρακλῆς om. B 19 Ἠλείων] Ἡρακλείων E 20 ἐπολέμησαν EQ: κατεπολ. C om. B ‖ αὐτοὶ — οὗτοι EQ (Μολίνης E, οὗτος Q): ὑπερήφανοι οἱ τῆς Μ. οὗτοι υἱοί C αὐτοὶ οἱ ὑπερήφανοι παῖδες τῆς Μ. Bv. Locus corruptus; αὐτοὶ οἱ ὑπ. τῆς Μ. υἱοί Schroeder 21 Κλεανῶν utrobique E ‖ δάμασε om. B 22 ἔστι δὲ ὄνομα BCv 23.24 ἤτοι ἀπέκτεινεν B: ἤτοι ἔκτισεν D ἀπόκτεινεν E ἀποκτείνας Qv 24 αὐτούς] αὐτοὺς ἐνέδρᾳ D (cfr. 38 b) ‖ ἐφ' ὁδῷ B

ἢ ὁδὸν ἐλθέμεν, ἀντὶ τοῦ ἐνέδραν ἐλθεῖν. f. ἀπέκτεινε δὲ αὐτοὺς | πορευομένους ἐπὶ τὸν Ἰσθμικὸν ἀγῶνα. $38^{b}$ C B(C)EQ

g. τὸ δὲ ὅτι πρόσθε ποτέ τὴν αἰτίαν ἀποδιδοὺς τοῦ γεγενημένου ὁ Πίνδαρός φησιν. $39^{a}$ C B(C)DEQ

38 a. ἐφ' ὁδῷ: διχῶς, ἐφ' ὁδῷ, ἢ ὑφὲν ἀντὶ τοῦ ἐφόδῳ, τῇ ἐνέδρᾳ. A

38 b. ἐφόδῳ: ἤτοι ἐνέδρᾳ. $37^{g}$ C

39 a. ὅτι πρόσθε ποτὲ Τιρύνθιον: τουτέστιν ὅτι πολλοὺς συστρατεύσαντας αὐτῷ ἀπέκτειναν. οἱ δὲ ἀποθανόντες ἐν τῇ μάχῃ Τελαμὼν, Χαλκώδων καὶ Ἰφικλῆς ὁ πρεσβύτατος αὐτοῦ ἀδελφός. B(C)DEQ b. Τιρύνθιον Ἀργεῖον· Τίρυνς γὰρ πόλις Ἄργους. $34^{g}$ $B^{b}$ $E^{b}$ $Q^{b}$ BEQ

40. Τελαμών· Χαλκώδων· Ἴφικλος, ἀδελφὸς αὐτοῦ. A

42 a. καὶ μὰν ξεναπάτας βασιλεὺς Ἐπειῶν: ξεναπάτην αὐτόν φησι διὰ τὴν τοῦ μισθοῦ ἀγνωμοσύνην. BCDEQ

b. ἀλλὰ μὴν καὶ ὁ περὶ τοὺς φίλους ἀπατηλὸς Αὐγέας, ὁ τῶν Ἠλείων βασιλεὺς, ἐθεάσατο οὐ πολὺ ὕστερον τὴν ἑαυτοῦ πατρίδα εἰς πλῆθος κακῶν ἐμβαλλομένην τοῦτο μὲν πυρὶ, τοῦτο δὲ σιδήρῳ, καὶ εἰς ῥεῦμα ἄτης ἐγκαθίσασαν. $46^{f}$ C

43 a. ξειναπάτας: οὐ μετ' οὐ πολὺ τῆς ἰδίας ἀπάτης καὶ ἀδικίας. b. ἄλλως· οὐ μετ' οὐ πολὺν χρόνον Αὐγείας εἶδεν ἁλισκομένην τὴν πατρίδα. A

45 a. ὑπὸ στερεῷ πυρί: διὰ τὸ κατασκάπτεσθαι τὴν πορθουμένην πόλιν [καὶ καίεσθαι]. A

---

13 Paus. 8, 14, 9; 15, 5—7

---

1 καὶ ὁδὸν v, unde καὶ ⟨Ὅμηρος·⟩ ὑδὸν b 2 ἐπὶ] εἰς E ‖ Ἰσθμιακὸν Qv ‖ post ἀγῶνα add. δάμασ' ἐφ' ὁδῷ ἀντὶ τοῦ ἐνέδρᾳ. ἐνταῦθα γὰρ ἐδάμασεν αὐτοὺς πορ. εἰς τὸν Ἰσθμιακὸν ἀγῶνα Q. Ab origine 37 d—f scholium fuit ἐδάμασε δὲ Εὔρ. καὶ Κτ. πορ. ἐπὶ τὸν Ἰ. ἀγῶνα; tum glossae varie inrepserunt 3 ποτέ B: τί ποτε DEQ 5. 6 ft. ἐφόδῳ ἀντὶ τοῦ τῇ ἐνέδρᾳ 7 ἐφ' ὑδῷ 10 post μάχῃ add. εἰσὶν οὗτοι $C^{2}$ ùh ‖ ὁ om. DE 11 πρεσβύτατον αὐτοῦ ἀδελφόν D ‖ ἄλλως· Τιρ. ἀντὶ τοῦ Ἀργ. Bv 11. 12 πόλις γὰρ Ἄ. T. E 13 l. καὶ μᾶν praem. A ‖ Τελαμών scripsi ex V: μῶν A 14 καὶ μὰν om. DEQ ‖ Ἐπ. om. E 16 Αὐγείας CE 20 οὐ μετ' οὐ A: οὐ μετὰ b 21 οὐ μετ' οὐ A: μετ' οὐ b ‖ Αὐγείας b: Ἀρίσταρχος 23 l. falsum; cfr. 45 b 24 καὶ καίεσθαι seclusi

BC 45 b. *πλαγαῖς τε σιδήρου*: διὰ τὸ κατασκάπτεσθαι ὑπὸ τῶν σκαφέων.

A 46 a. *βαθὺν εἰς ὀχετόν*: καθεζομένην εἰς τὸν βαθὺν ὀχετὸν τῆς ἄτης τῆς ἑαυτοῦ. b. ἄλλως· εἰς βάθος κακῶν.

B(C)E 46 c. *βαθὺν ἐς ὀχετὸν ἄτας*: κατὰ περίφρασιν ἄτην.

BC$^{gl}$ d. εἰς ῥεῦμα ἄτης ἐμπεσοῦσαν. 47 C | e. *ἵζοισαν δὲ*, ἐπικαθημένην.

BCDEQ 46 f. *ἐὰν πόλιν*: τὴν πόλιν φασὶ καλεῖσθαι Φύκτεον ἀπό τινος Φυκτέως, οὗ μέμνηται καὶ Ἡσίοδος (fr. 97) οὕτω·

τὴν δ' Ἀμαρυγκείδης Ἱππόστρατος, ὄζος Ἄρηος,
Φυκτέος ἀγλαὸς υἱός, Ἐπειῶν ὄρχαμος ἀνδρῶν. 45 C

A 47 a. *νεῖκος δὲ κρεισσόνων*: τῶν κρεισσόνων τὸ νεῖκος οὐ ῥᾴδιόν ἐστιν ἀποθέσθαι· ἐπὶ γὰρ τοῖς κρείσσοσι κεῖται τὸ ὅταν θέλωσι πολεμεῖν. καὶ Ὅμηρος (*A* 80)·

κρείσσων γὰρ βασιλεὺς ὅτε χώσεται ἀνδρὶ χέρηι.

BCDEQ 47 b. *νεῖκος δὲ κρεσσόνων*: παραφράζει τὸ Ὁμηρικόν (*A* 80)·

κρείσσων γὰρ βασιλεὺς ὅτε χώσεται ἀνδρὶ χέρηι.

c. ὅ ἐστι· τὸ τῶν κρεισσόνων νεῖκος οὐ ῥᾴδιον ἀποθέσθαι· ἐπὶ γὰρ τοῖς κρείττοσι κεῖται τὸ ὅτε θέλουσι πολεμεῖν.

BCDE d. ἄλλως· ἀδύνατον γάρ ἐστι τῷ ἥττονι τὸ τῶν ὑπερεχόντων κράτος ἐκκλῖναι.

A 48 a. *κἀκεῖνος ἀβουλίαις*: ἀντὶ τοῦ ὕστατος τῆς ἁλώσεως ἀπέθανεν. b. τουτέστι μετὰ τὸ ἁλῶναι τὴν πόλιν ἀπώλετο διὰ τὴν ἑαυτοῦ ἀβουλίαν.

BCDEQ 48 c. *κἀκεῖνος ἀβουλίαις*: ὁ γοῦν Αὐγείας διὰ τὴν οἰκείαν ἄνοιαν περὶ τὰ τελευταῖα τῆς ἁλώσεως περιτυχὼν

---

5 βαθὺν ἐς om. E 8 l. Q: om. BC τὰν π. E τὰν πόλεις D || φησι καλ. DEQ δὲ καλ. φασι B(C) || Φύκτεον BC: πύκτεον E φυκτέαν D$Q^{ac}$ φύκτεαν $Q^{pc}$ 9 Φυκτέος C 10 τὴν] τὰ E || Ἀμαραγκ(ε)ίδης CE 11 Φυκτέως (sic; corr. Heinsius) — ἀνδρῶν B: Φυκτεὺς ([φ]υκτές D) ὄρχαμος ἀνδρῶν CDEQ 12. 13 τὸν εἰκὸς $A^{ac}$ 13 ῥαδίως: V 15 κρεῖσσον 16 περιφράζει E 19 οὐ — 21 πολεμεῖν om. D 20 θέλωσιν ἂν C 26 l. om. BD || Αὐγέας B 27 περιτυχεῖν E

τῷ Ἡρακλεῖ οὐκ ἠδυνήθη τὸν μέγιστον καὶ χαλεπώτατον θάνατον ἐκφυγεῖν.

51 a. ὁ δ' ἄρ' ἐν Πίσᾳ ἕλσαις ὅλον τε στρατόν: BCDEQ ἐν χωρίῳ τινὶ χωριζομένῳ τῆς Ὀλυμπίας κατὰ τὴν τῶν γεωγράφων βουλὴν σταδίους τρεῖς. b. ὁ δὲ νοῦς· ὁ δὲ δὴ τοῦ Διὸς ἰσχυρότατος υἱὸς συναγαγὼν καὶ κατασχὼν ἐν τῇ Πίσᾳ, ἤτοι τῇ Ἤλιδι, τὸν ὅλον αὐτοῦ στρατὸν καὶ τὴν πᾶσαν λείαν, οὕτω λοιπὸν κατεσκεύαζε τὸ θεῖον τοῦ Διὸς ἄλσος.

51 c. ἕλσας ὅλον στρατόν: ὁ Ἡρακλῆς. BDEQ d. συνδήσας. συγκλείσας. κατασχών. καθιδρύσας. e. τὸν τοῦ D Αὐγέου λαόν.

53 a. σταθμᾶτο: περιεγράφετο. ἐσημειοῦτο. ἐχωρογράφει. ἐποίει. A

53 b. σταθμᾶτο: κατεμετρεῖτο. περιώριζε. περιεσκέπτετο. BCDEQ ἢ κατεσκεύαζεν. c. ἄλσος δὲ τὸ ἀνιερωμένον τῷ θεῷ γῆς μέρος, εἰ καὶ ψιλὸν εἴη φυτῶν.

53 d. ἄλσος: ὁ σύμφυτος καὶ ἀνιερωμένος τῷ θεῷ A τόπος.

54 a. περὶ δὲ πάξαις: περιπήξας δὲ ὁ Ἡρακλῆς τὰ A ὅπλα κύκλῳ τὸ ἱερὸν κατεβάλλετο.

54 b. περὶ δὲ πάξαις: περιπήξας δέ, φησιν, ὁ Ἡρακλῆς B(C)DEQ κύκλῳ τὰ ὅπλα ἐσταθμᾶτο τῷ πατρὶ τῷ μεγίστῳ τὸ ἱερὸν, ἀντὶ τοῦ κατεβάλλετο. 55[e] B

---

16 cfr. ad sch. O. III 31

---

1 ἀν(?)δυνήθη corr. in ἰνδυν. E 3 l. om. C ‖ ἕλσαις B: ἕλσας DEQ | ὅλον τε στρ. om. DEQ 4 ἐν χωρίῳ] ἐν Πίσ(σ)ᾳ ἐν χωρίῳ CEQ ‖ τῶν om. CDQ 5 γεωγράφου Vrat.[d] ‖ τρεῖς B (γ' A sch. 55b): τ' (vel τριακοσίους) CDEGQ ς' h 6 υἱὸς DEQ: υἱὸς Ἡρακλῆς BCv 8 κατεσκεύαζε τὸ BQ: παρεσκεύαζε τὸ D κατεσκευάζετο E κατεσκευάζετο τὸ C 10 l. DEQ: ἐν Πίσᾳ ἕλσας B ‖ ὁ Ἡρ. om. B 10. 11 συνδήσας GQ: om. BDE 13 σταθμᾶ τε 15 σταθμᾶτο BC: στ. καὶ D σταθμᾷ τὸ (τε τὸ E) ζάθεον ἄλσος EQ ‖ κατεμετρεῖτο om. C ‖ περιώρ. περιεσκ. om. DEQ

16 ἢ B: καὶ DE om. Q κατεμέτρει C 17 φυτῶν εἴη ψιλόν E 22 περὶ δὲ BD: πατρὶ μεγίστῳ EQ ‖ πάξας CEQ 24 κατεβάλετο D κατεβάλετε E

A 55 a. *Ἄλτιν: ὁ νοῦς· τὴν μὲν Ἄλτιν καθιέρωσε τῷ θεῷ, τὸν δὲ κύκλῳ τόπον συμπόσιον ἐποίησεν.* b. *οἱ περὶ Ἀριστόδημον καὶ Λεπτίνην καὶ Διονύσιον γράφουσιν Ἄλτιν. μὴ γὰρ πρέπον ἐστὶ τὴν ἄρτι πεπορθημένην Ἦλιν ἱερὰν γενέσθαι τῷ Διί· καὶ λόγον ἔχει τὸ τοῦ Διὸς ἱερὸν ἱδρύσθαι ἐν Πίσῃ. οὐ γὰρ ἐν Ἤλιδι οἱ ἐρχόμενοι ἐπὶ τὴν πανήγυριν θοινῶνται, ἀλλὰ ἐν Πίσῃ. τὸ γὰρ ἐν κύκλῳ τοῦ ἱεροῦ καταγωγαῖς διείληπτο. διῴκισται δὲ ἡ Πίσα τῆς Ὀλυμπίας γ' σταδίους. Ἄλτιν οὖν γραπτέον· οὕτως γὰρ τὸν περὶ Ὀλυμπίαν τόπον ἐκάλουν.*

BCDEQ 55 c. *Ἀριστόδημος γράφει ἀντὶ τοῦ Ἆλιν Ἄλτιν· οὕτω γὰρ τὸν περὶ Ὀλυμπίαν τόπον καλεῖσθαι, καὶ τὸν Δία ἐξ* BCEQ *ἐπιθέτου Ἄλτιον.* | *μὴ γὰρ λόγον ἔχειν τὴν ὑπ' αὐτοῦ πεπορθημένην Ἦλιν ἱερὰν καὶ καθαρὰν ποιῆσαι. ἀλλὰ μηδὲ ἱερὸν εἶναι Διὸς ἐν Ἤλιδι, ἀλλ' ἐν Πίσῃ. ἀπῳκίσθαι δὲ τὴν Πίσαν τῆς Ὀλυμπίας σταδίους ἕξ. Δίδυμος δὲ κατὰ χώραν ἐῶν τὴν γραφὴν τὸν Πίνδαρον τὴν Πίσαν Ἦλιν λέγειν φησίν· οἱ γὰρ Ἠλεῖοι ὑφ' ἑαυτοὺς ποιησάμενοι τοὺς Πισαιάτας Ἦλιν τὴν Πίσαν μετωνόμασαν. εἰ οὖν ἡ Πίσα μετέβαλε, τί ἂν εἴη ἐμποδὼν γράφειν Ἆλιν; καὶ Καλλίμαχος δὲ τὴν Ἦλιν Διὸς οἰκίον εἶπεν ἀντὶ τοῦ Πίσαν* (fr. 198)·

BCDEQ *Ἦλιν ἀνάσσεσθαι Διὸς οἰκίον ἔλλιπε Φυλεῖ·*

BDEQ *ἱερὰν δὲ τὴν Ἦλιν ἀντὶ τοῦ Πίσαν.* | *καὶ τὸν ἐν Πίσῃ δὲ Δία Ἠλεῖον εἶπε Καλλίμαχος* (fr. 99)· *Ἄλιος ὁ Ζεύς.* 58 B

---

9 Paus. V 10, 1

---

3 *Διόνυσον*: b 4 *ἐστὶ*] *εἶναι* Schroeder 6 *Πίσσῃ* etcet. A ubique 8 *διήλειπτο*: b 9 *σταδ(ίους)* ‖ *Ἄλτιν*] b: *ἄλτιον* 11 *ἄλλως* praem. B 12 *γὰρ* om. Q ‖ *καλεῖσθαι* om. Q 13 *γὰρ* B?CE: *δὲ* Q 15 *ἀποικεῖσθαι* v 17 *ἐῶν* BC: *ἐὼν* E *ἰὼν* Qv ‖ *Πινδ.* — 18 *φησιν*] *Π. τε οὕτως τὴν Π. λέγειν* E (*φησιν* om. et Q) 19 *Πισαιάτας* B: *Πισιάτας* (C)EGQ *Πισάτας* h 20 *τί εἴη ἂν* E ‖ *Ἆλιν* B: *τὴν Ἦλιν Ἆλιν* CEQ ‖ *καὶ* om. EQ 21 *τὴν* — *Πίσαν* CEQ (*Ἆλιν* Q, *οἰκίαν* E, *τὴν Πίσαν* CQ): *τὴν Ἦλιν ἀντὶ τοῦ Πίσαν Διὸς οἰκίον εἶπεν* Bv 22 *Ἦλιν* — *οἰκίον* post 23 *Πίσαν* D, om. *ἔλλ. Φ.* 22 *οἰκεῖον* C$^{ac}$v ‖ *ἔλιπε* Qv ‖ *φιλεῖ* C$^{ac}$v 23 *Ἦλιν*] *Ἦλιν εἶπεν* E 24 *εἶπεν Ἠλ. Κ. δὲ* Q ‖ *Ἄλιος* DEQ: *Ἀλεῖος* B

55 d. *Ἄλτιν μὲν ὅ γ' ἐν καθαρῷ διέκρινε*: τὴν μὲν BDEQ
Ἦλιν ἢ Ἄλτιν καθιέρωσε τῷ θεῷ, | τὸ δὲ κύκλῳ δάπεδον DEQ
αὐτῆς εἰς συμπόσιον ἐποίησεν. 57 B e. ἄλλως· Ἄλτιν τὸ BDEQ
ἄδυτον, κατὰ δέ τινας τὸν νεών, κατὰ δὲ ἐνίους ὄνομα
χωρίου. f. γράφεται Ἄλιν. τὴν μὲν Ἦλιν καθιέρωσε τῷ θεῷ, BEQ
τὸν δὲ κύκλῳ τόπον αὐτῆς εἰς συμπόσιον ἐποίησεν. 55d B
g. ἄλλως· Ἄλτιν τὸ στάδιον· ἐκλήθη δὲ οὕτως διὰ τὸ ἄλ- D
λεσθαι ἐν αὐτῷ τοὺς ἀθλοῦντας.

57 a. *κύκλῳ δάπεδον*: τὸ δὲ χωρίον τὸ κύκλῳ τοῦ BCDEQ
ἱεροῦ καταλυτήριον ἔταξεν εἶναι τῶν ἀγωνιζομένων εἰς εὐωχίαν. b. τὸ δὲ ὅλον· περιπήξας δὲ καὶ περιφράξας τόπον τὸν μὲν ναὸν καὶ τὸ ἄδυτον αὐτὸ διεχώρισεν ἐν τῷ καθαρωτάτῳ μέρει ἀνὰ τὸ μεσαίτατον· τὸ δὲ εἰς κύκλον τῆς γῆς ἢ τοῦ νεὼ καταγώγιον ἐποίησε καὶ δειπνητήριον τῶν ξένων. 55c B

58 a. *τιμάσαις πόρον Ἀλφεοῦ*: πρώτῳ τῷ Ἀλφειῷ A
ἔθυσεν ⟨ὡς⟩ ἐγχωρίῳ θεῷ· καὶ γὰρ μετὰ τῶν δώδεκα θεῶν τιμᾶται. σφόδρα δὲ αὐτὸν τιμῶσι σάλμιοι. 61. ⟨ἆς:⟩ ἀντὶ τοῦ ἕως. τοῦ ποταμοῦ γίνονται.

58 b. *τιμάσαις πόρον Ἀλφεοῦ μετὰ δώδεκ' ἀνάκτων θεῶν*: καὶ γὰρ αὐτὸς ἐγκαταριθμεῖται τοῖς ιβ' θεοῖς. BDEQ
| ὁ δὲ ἐν Ὀλυμπίᾳ βωμὸς οὐ δύναται ἐξ ἄλλου ὕδατος γε- B(C)DEQ
νέσθαι εἰ μὴ ἐκ τοῦ Ἀλφειοῦ. c. ἄλλως· Ἀλφειῷ εἰκότως B(C)EQ

---

22 cfr. Paus. 5, 13, 11

---

1 Ἄλπιν E ‖ διέκρινε om. DQ 3 ἐποίησεν EQ: καθιέρωσεν D ‖ ἄλλως· Ἄλτιν DEQ: Ἄλτιν δὲ Bv 4 κατὰ δὲ ἐνίους B: ἕτεροι δὲ D κατὰ δὲ ἑτέρους E κ. δέ τινας Q 5 γράφεται Ἄλιν EQ: γράφε δὲ καὶ Ἄλιν, ἵν' ᾖ B; id., sed γράφεται δὲ καὶ v 6 αὐτοῦ Bv 7. 8 ἅλεσθαι 9 l. om. B ‖ τὸ κύκλῳ] τοῦ κ. E 10 ἱεροῦ CDEQ: ναοῦ Bv ‖ τῶν] τῶν ξένων τῶν Q 11 περιπτήξας E 12 τὸ] τὸν E ‖ αὐτοῦ D 13 εἰς κύκλῳ CDEQ 14 ναοῦ D 16 πρώτῳ τῷ Ἀλφειῷ ἔθ. ὡς scripsi ex V 58d: πρὸς τῷ ἀδ(ελφῷ) ἔθυσεν A 18 σάλμιοι corruptum; Σαλμωνεῖς s. Σαλμωνεῖται dubitanter b οἱ Ἠλεῖοι? Schroeder 18 sq. intellexit b 19 τοῦ π. γίνονται corrupta; cfr. V 22? 20 l. B: μετὰ δώδεκ' ἀνάκτων DEQ 22 ὁ δὲ CDEQ: καὶ ὁ B 22. 23 γενέσθαι] βρέχεσθαι vel ἀρδεύεσθαι? Beck ῥαίνεσθαι? h 23 post Ἀλφειοῦ add. διὰ τοῦτο γὰρ καὶ αὐτῷ ἔθυσεν C

B(C)DEQ ὡς ἐγχωρίῳ ἔθυσε ποταμῷ. | μετὰ δὲ τῶν δώδεκα θεῶν τοὺς βωμοὺς ἐποίησε· βωμοὺς γὰρ ἵδρυσε διδύμους ἕξ· ἐπωνόμασέ τε τοῦτον τὸν τόπον Κρόνου πάγον. τὸ πρότερον γὰρ οὐδεμίαν εἶχε προσηγορίαν, ἕως ἐβασίλευσεν ὁ
B(C)EQ Οἰνόμαος, | ἀλλὰ κρημνὸς οὖσα καὶ ἀοίκητος ἐξέκειτο τοῖς
B πολλοῖς ὑετοῖς καὶ ὄμβροις. 62 B d. τιμάσαις πόρον Ἀλφεοῦ: τουτέστι πρώτῳ τῷ Ἀλφειῷ ἔθυσεν ὡς ἐντοπίῳ θεῷ.

B 59 a. μετὰ δώδεκ' ἀνάκτων: ἀντὶ τοῦ ἐν δώδεκα θεοῖς.

B 59 b. καὶ πάγον Κρόνου: Κρόνιον πάγον προσηγόρευσεν.

A 59 c. πάγον Κρόνου: μετὰ ταῦτά, φησι, τὸν Κρόνιον πάγον προσηγόρευσεν οὐκ ἔχοντα πρότερον ⟨ὄνομα⟩.

B 61 a. ἇς Οἰνόμαος: ἀντὶ τοῦ ἕως· καὶ ἔστιν ἐπίρρημα χρονικόν. 63

B$^{mg}$ 61 b. τὸ ἇς παρά τισιν ἀντὶ τοῦ ἕως.

ABCDEQ 62 a. βρέχετο: ἀντὶ τοῦ κατεσιωπᾶτο. συνήθως γὰρ τὸ βρέχειν ἐπὶ τοῦ σιωπῆσαι τίθησι. καὶ ἀλλαχοῦ (fr. 240)·
BCEQ μὴ σιγᾷ βρεχέσθω. b. τινὲς δὲ οὕτως· ἐκρύπτετο νιφάδι, τῇ περὶ τὸν Οἰνόμαον ἀδοξίᾳ. 58$^{d}$ B

A 63 a. ἐν πρωτογόνῳ τελετᾷ: ἐν τῇ πρώτῃ γεγενημένῃ θυσίᾳ αἱ Μοῖραι ἔστησαν, ὡς ταύτην εὔμοιρον γενέσθαι, καὶ ὁ τὴν ἀλήθειαν πᾶσαν πᾶσι φανερῶν Χρόνος, ἐνδεικνύμενος ὅτι ἐπὶ πολὺν χρόνον τελεσθήσεται.

BCDEQ 63 b. ταύτᾳ δ' ἐν πρωτογόνῳ τελετᾷ: ἐν δὴ ταύτῃ

---

1 δώδεκα om. E; μετὰ — ἐποίησε vix sana 2 βωμοὺς γ. ἵ. διδ. om. D ‖ γὰρ] δὲ Q 3 τε BCE: δὲ DQ ‖ πάγον Κρόνου Bv 4 γὰρ] γάρ φησιν Bv ‖ ὀνομασίαν D 5 sq. ἐξέδοτο πολλοῖς ὀχετοῖς καὶ ὄμβροις Q 7 πρώτη r πρῶτον margo Brub. ‖ [Ἀλφειῷ] B 9 ἐν B: σὺν v ‖ δώδε[κα θεοῖς] B 12 Κρόνιον] Κρόνον A 13 ὄνομα add. b (ante οὐκ) 14 [Οἰνόμαο]ς 17 βρέχετο A: ἄλλως τὸ βρέχετο Bv ἢ τὸ ἐβρέχετο C ἃς Οἰνόμαος ἄρχε, βρέχετο (D)EQ ‖ ἀντὶ τοῦ ABC: τουτέστι DEQ ‖ κατεσιωπᾶτό φησι Bv ‖ σύνηθες A 18 βρέχεσθαι et σιωπᾶσθαι V ‖ ἀλλαχοῦ A$Q^{sac}$: ἀλλαχόσε V 19 μὴ σιγᾷ βρεχέσθω b (fr. inc. 166): μησὶ γὰρ βρεχέσθω V μὴ κεῖται βρέχεσθαι A ‖ τινὲς δὲ οὕτως B: ἢ οὕτως C τί οὕτως Q om. E 21 τελευτᾷ 22 παρέστησαν V? (sch. 63 c) 25 τελετᾷ B: τελευτᾷ (C)E om. DQ ‖ ἐν] εἰ E

τῇ πρώτῃ καταβολῇ τῶν Ὀλυμπίων καὶ πρώτῃ τελουμένῃ ἑορτῇ παρεγένοντο μὲν αἱ Μοῖραι αἱ τίμιαι καὶ ὁ τὴν ἀλήθειαν πᾶσι φανερῶν Χρόνος. τοῦτο δὲ εἶπεν ἐνδεικνύμενος ὅτι εὐμοίρως καὶ πολυχρονίως ἡ πανήγυρις τελεσθήσεται.
c. ἄλλως· ἐν ταυτῃ πρῶτον ἀγομένῃ τῇ ἑορτῇ τῶν Ὀλυμ- BCEQ
πίων παρέστησαν αἱ Μοῖραι καὶ ὁ Χρόνος τοῖς τόποις. παρείληφε δὲ τὰς Μοίρας καὶ τὸν Χρόνον ὅτι εὔμοιρός τε ὁ ἀγὼν ἔσοιτο καὶ εἰς ἅπαντα τὸν αἰῶνα.
67 a. *Χρόνος*: διότι καὶ οὗτος ὁ χρόνος ἀποδέδωκε A
τὸν ὕμνον ὃν εἶπεν. b. ἄλλως· τὸ δὲ πρότερον ἀσαφὲς ⟨σαφὲς⟩ καὶ κατάδηλον ἐποίησεν, ὅτι Ἡρακλῆς διελὼν ἔθυσε τὰς ἀπαρχὰς τῶν σκύλων. c. *κατέφρασε*: ὁ χρόνος, φησί, προιὼν τὸν τόπον ἐδήλωσε. 68. τὴν λείαν. 69. ἔθηκε τὴν πρώτην Ὀλυμπιάδα.
67 d. *τὸ δ' ἐς ἀφανὲς ἰὼν πρόσω κατέφρασε*: τὸ BCDEQ
δὲ πρότερον ἀφανὲς ὂν προιὼν ὁ χρόνος ἐνεφάνισε καὶ φανερὸν ἐποίησε, ποῦ τὰ λάφυρα τοῦ πολέμου καὶ τὰ ἀπάργματα ἔθυσεν ὁ Ἡρακλῆς. e. ἢ οὕτω· προιὼν δὲ BEQ
ὁ χρόνος τὸ σαφανὲς ἡμῖν κατέδειξεν, ὅπως τὴν τοῦ πολέμου δόσιν, τουτέστι τὰ ἀκροθίνια διαμερίσας τοῖς θεοῖς ἔθυσε. 68^b EQ f. ἄλλως· τὸ ἀφανὲς ἰὼν εἰς τὸ πρόσω ὁ CEHQ
χρόνος ἔκδηλον ἐποίησεν. | ἀφανὲς γὰρ ὂν πρότερον τοῦτο C

---

2 ἑορτῇ CDEQ: ἑορτῇ τῶν Ὀλυμπίων B ἑορτῇ, παρέσταν μὲν v 3 πᾶσι] πᾶσαν Qb ‖ φανερῶν B (cfr. A): φανερὰν ποιῶν CDEQ ‖ εἶπε (-εν? B) δεικνύων Bv 5 ἄλλως BC: πρωτογόνῳ τελε(υ)τᾷ παρέσταν Μοῖραι EQ ‖ τῶν Ὀλ. om. BCv 6 παρέστησαν B: ἔστησαν Q (cfr. A 326, 23) ἔστασαν E ἐπέστησαν C 6 τοῖς τόποις om. C 8 αἰῶνα] ἀγῶνα v (χρόνον Beck) 11 σαφὲς addidi; καὶ del. b ‖ κατάδην: ego ‖ ὅτι A: ὅπου b ‖ ἔθυσε Schroeder: ἔθηκε A (cfr. κεῖται pro σιγᾷ 326, 20) 13. 14 distinxi (⟨ὅπου⟩ τὴν λείαν b) 14 ἔθηκε A: ἔθυσε κατὰ Schroeder (κατὰ iam b) 15 l. B (nisi quod τὸ δὲ σαφανὲς): τὸ δ' ἐς ἀφανές CU τὸ δὲ σαφανές Q τὸ σαφανές E om. D 16 ἀφανὲς D: σαφανὲς BEQ σαφὲς C[1] ἀσαφὲς C[2] ἐς ἀφανὲς U 17 ποῦ BE: ὅπου DQ ὅπως C 18 ἀπάργματα B: ἄλλα πράγματα CDEQ ‖ ἔθησεν E ‖ ὁ om. CD ‖ post Ἡρ. add. διαμερίσας τοῖς θεοῖς ·.· τὸ ἀφανές D 19 τὸ σαφηνὲς vel τὸ πρότερον ἀφανὲς Schroeder ‖ ἔδειξεν Q ‖ ὅπου Qv ‖ τοῦ om. Bv

CHQ τὸ χωρίον ὁ χρόνος διάδηλον ἐποίησεν. g. ἕτεροι δὲ οὕτω, σαφανές, ἵν' ᾖ τὸ σαφές, ὑφὲν ἀναγινώσκουσιν, ὡς πρὸς CEHQ τὴν ἄνω διάνοιαν· | τὸ δὲ ἀληθὲς ὂν καὶ σαφὲς ἀεὶ ὁ χρόνος φανεροῖ.

BCEQ 68 a. ὅπα τὰν πολέμοιο δόσιν: ὅπου καὶ ἐν ᾧ τόπῳ διανείμας τὰ λάφυρα λαβών τε τὰς ἀπαρχὰς ἔθυσε, καὶ ὅπως (θαυμασίως) τὴν τοῦ ἀγῶνος ἑορτὴν κατέστησεν ἐν τῇ πρώτῃ Ὀλυμπιάδι καὶ τοῖς ἀγωνίσμασιν. 69 EQ b. πολέμου BEQ δόσιν τὰ λάφυρά φησιν. c. ὅπου τὴν λῆψιν τὴν ἐκ τοῦ πολέμου γενομένην διελὼν τὰ ἀκροθίνια τοῖς θεοῖς ἔθυσεν. 67f EQ

A 69 a. ἀκρόθινα: ἀντὶ τοῦ ἀκροθίνια. b. ὅπως ἄρα τὸν πρῶτον ἐνιαυτὸν καθαριθμῶν ἀνέθηκε τὴν πρώτην Ὀλυμπιάδα.

BCDEQ 69 c. καὶ πενταετηρίδ' ὅπως: θαυμαστικῶς λέγει· καὶ πενταετηρικὸν ὅπως ἄρα ἔστησε καὶ ἐνομοθέτησεν εἶναι τὴν τῶν Ὀλυμπίων πανήγυριν. 72 B

AB 71. σὺν Ὀλυμπιάδι: κατὰ τὴν τῶν Ὀλυμπίων πρώτην θέσιν. 85 B

BCDEQ 72 a. τίς δὴ ποταίνιον ἔλαβε στέφανον: πρὸς τὴν Μοῦσαν. b. ποταίνιον: πρόσφατον· ἐκ δὲ τοῦ παρακολουθοῦντος σημαίνει τὸ πρῶτον, ἐπεὶ ὁ πρῶτος πρόσφατός ἐστι. c. τίς οὖν, φησι, πρῶτος ἔλαχε τὸν στέφανον ὅτε ἔθηκεν ὁ Ἡρακλῆς τὸν ἀγῶνα;

---

21 sch. Aesch. Prom. 102

---

1 ἕτεροι — 2 σαφανὲς HQ: ἄλλως· ἐς ἀφανὲς C[1] ἔνιοι σαφανὲς C[2] 2 πρὸς om. Qv 3 τὸ δὲ ἀληθὲς CHQ: ἀφανὲς γὰρ E 5 ante l. τὸ δέ, post l. ἀντὶ τοῦ add. Bv 6 διανεῖμεν E ‖ λαβὼν — 8 ἀγωνίσμασιν post 9 φησιν C 7 θαυμαστῶς CE; ft. (θαυμαστικῶς); cfr. 15 ‖ ἑορτὴν] ἀρχὴν C 9 ὅπου] om. E ὅπου φησίν Q ‖ τὴν et 10 γενομένην EGQ: τῶν et γενομένων Bv 10 διελών φησι Bv 12 ἄρα ego: ἂν 15 ὅπως] ὅπως ἄρα ἔστασε E ‖ θαυμαστῶς CDE 17 τῶν om. CE 18 l. B: νικαφορίαισί τε A ‖ τῶν om. B 20 ἔλαβε στ. B: om. CDEQ ‖ πρὸς — 21 ποταίνιον om. CD 20. 21 πρὸς τ. M. λέγει Bv 21 ποτ. δὲ ἀντὶ τοῦ πρ. Bv 22 σημαίνει BEQ: συμβαίνει D ἔχει C 24 ὁ om. CD ‖ τὸν ἀγῶνα om. B

72d. *τίς δὴ ποταίνιον:* Δωρικῶς τὸν πρόσφατον. AEQ

e. τίς δὴ οὖν προσφάτως καὶ ἐν ἀρχῇ νικῆσαι δεδύνηται, A(C)DEQ ἤτοι διὰ χειρῶν ἢ δρόμῳ ἢ ἅρματι, | ἐνδόξως μὲν αὐτὸς ACEQ ἀγωνισάμενος, τὸ δὲ τοῦ ἀνταγωνιστοῦ κλέος καθελών;

72 f. ἄλλως· ποταίνιον ἀντὶ τοῦ πρόσφατον, νεαρόν. ἐκ A δὲ τοῦ παρακολουθοῦντος νῦν σημαίνειν βούλεται. g. τίς πρῶτον ἔλαχε στέφανον, ὅτε ἔθηκε τὸν ἀγῶνα Ἡρακλῆς;

74 a. *ἐν δόξᾳ θέμενος:* ἀντὶ τοῦ ἔνδοξον νομίσας τὸ A νικῆσαι. b. τουτέστι συλλαβὼν τὴν εὐχὴν ἢ καύχημα ⟨τοῦ⟩ ἀνταγωνιστοῦ καθελὼν διὰ τοῦ ἔργου. c. ἢ οὕτως· τὸ ἀγώνιον εὖχος δόξαν θέμενος καὶ ἔργῳ καθελὼν αὐτό.

74 d. *ἀγώνιον εὖχος ἔργῳ καθελών:* τὸ ὑπερβατόν· BCEQ ἀγώνιον εὖχος καθελὼν, τὸ τοῦ ἀνταγωνιστοῦ, καὶ τὴν νίκην, τὴν αὐτοῦ εὐχὴν, ἔργῳ ἀποβαλών. e. ἢ οὕτω· BDEQ συλλαβὼν τὴν εὐχὴν, ὅ ἐστι τὸ καύχημα τοῦ ἀνταγωνιστοῦ καθελὼν διὰ τοῦ ἔργου. 85 E

75 a. (*ἐν δόξᾳ θέμενος:*) ἔνδοξον νομίσας τὸ νικῆ- $B^{gl}$ σαι. b. ἢ θέμενος τὸ ἀποτελέσας λέγει. c. ἢ θέμενος καὶ ποιήσας ἑαυτὸν ἐν δόξῃ.

76 a. τὸ εὐθὺ, τὸ μὴ ἔχον καμπὴν καθάπερ ὁ δίαυλος. A

76 b. *στάδιον μὲν ἀρίστευσεν εὐθύτονον:* εὐθὺ, BCDEQ τὸ μὴ ἔχον καμπὴν, τὸν ἁπλοῦν δρόμον.

78 a. *Οἰωνός:* τὸν Οἰωνὸν ὁ Πίνδαρος ἤδη ἠνδρω- A μένον νικῆσαι στάδιον περὶ τὴν πρώτην θέσιν τῶν Ὀλυμ-

---

1 l. A: ἄλλως EQ ‖ τὸν A: τὸ EQ ‖ post πρόσφ. add. οἷον (τὸ ἴον E) τὸν πρῶτον στέφανον EQ  2 sch. 72e ἄλλως praem. V ‖ τίς δὴ οὖν] τί οὖν $E^{ac}$  3 ἐνδόξως om. A  4 ἀγωνιούμενος A ‖ ἀνταγ. AQ: ἀγωνιστοῦ CE ‖ κλέος A: εὖχος CEQ ‖ post καθελών add. τὸ ὑπερβατόν:— C  6 πρῶτον excidit; cfr. V 72b
7 ὅτι: V 72c  8 ἔνδοξα  9 ⟨τὸ⟩ καύχημα Mommsen suppl. p. 148 ‖ τοῦ addidi ex V 74d  10 τοῦ ἔργου an τὸ ἔργον A incert.  12 l. C (om. ἔργῳ, ut v) EQ: ἀγ. ἐν δόξᾳ θέμενος B ‖ post l. add. ἀγώνιον, ἄδοξον θέμενος v ‖ τὸ — 13 τὸ om. C (cfr. 4)  13 τὸ om. EQ ‖ ἀγωνιστοῦ C  14 ἑαυτοῦ CEQ ‖ ἀποβαλών om. B del. Mommsen l. l. (ex καταβαλὼν ortum suspicatus)  15 τοῦ DEQ: τὸ τοῦ Bv  18 θέμενος τὸ B
20 τὸ μὴ V (76b): οὖν μὴ A ‖ ἔχων: V ‖ κάμπην $A^{ac}$ κάμπτειν $A^{pc}$  22 κάμπον E  23 τὸν] τὸ A (cfr. G 330,4)  23. 24 ἦν δρώμενον ‖ νικῆσαί φησι V 78b

πίων, ἔνιοι δέ φασιν αὐτὸν διεσπαράχθαι ὑπὸ τῶν Ἱπποκόωντος κυνῶν. ἐκλήθη δὲ οὕτως ὑφ' Ἡρακλέους διὰ τὸ ὀξέως αὐτὸν τρέχειν ὡς πτηνὸν καὶ μὴ καταλαμβάνεσθαι.

BCDEQ 78 b. τὸν δὲ Οἰωνὸν Πίνδαρος ὡς ἤδη ἠνδρωμένον νικῆσαί φησι στάδιον περὶ τὴν πρώτην θέσιν τῶν Ὀλυμπίων· ἔνιοι δὲ παῖδα ὄντα αὐτὸν ὑπὸ τῶν Ἱπποκοωντιδῶν διειργάσθαι. c. παῖς ὁ Λικυμνίου Οἰωνός: ὁ νοῦς· ὁ μὲν τοῦ Λικυμνίου παῖς Οἰωνὸς τὸ εὐθύτονον καὶ ἀκαμπὲς στάδιον δραμών· οὗτος δὲ ὁ Οἰωνὸς ἦλθεν ἀπὸ πόλεως Μιδέας καλουμένης τοῦ Ἄργους, βασιλεύων καὶ ἡγεμὼν λαοῦ ὤν. ἡ δὲ μεταφορὰ τοῦ ἐλαύνων ἀπὸ τῶν ποιμνίων.

BCEQ d. ἄλλως· εὐθύτονον στάδιον εἶπε· τοιοῦτον γὰρ λέγεται

BEQ εἶναι τὸ στάδιον. e. ἄλλως· παῖς ὁ Λικυμνίου, ὃς ἤδη ἀνδρωθεὶς τὴν πρώτην τῶν Ὀλυμπίων θέσιν καὶ δίαυλον ἐνίκησεν. f. τὸ χ' ὅτι Οἰωνὸς προηγούμενος ἦλθεν. ἔστι δὲ ὄνομα κύριον ὁ Οἰωνός. g. ἀπὸ Μιδέας κώμης Ἀργολικῆς. ἔνιοι δὲ πόλεως.

A 78 h. Μιδέαθεν: ἀπὸ Μιδέας.

A 79 a. στρατὸν ἐλαύνων: καὶ ἡγούμενος .... ὃν συνεκρότησεν εἰς συμμαχίαν Ἡρακλεῖ ἀπὸ Μιδέας ὤν, ὅθεν καὶ Ἀλκὼ ἡ Λικυμνίου ἀδελφή.

B(C)DEQ 79 b. ὁ δὲ πάλᾳ κυδαίνων Ἔχεμος Τεγέαν: ὁ δὲ Ἔχεμος ἠρίστευσε πάλῃ κυδαίνων, ὅ ἐστι δοξάζων τὴν πόλιν

---

6 Apollod. 2, 7, 3, 3. Paus. 3, 15, 4

---

1 ἀπὸ: **b** 2 οὗτος: **b** 4 τὸν] τὸ **Q** 5 φασι **E** ‖ περὶ **BDE**: παρὰ **CQb** 6 δὲ om. **DEQ** (cfr. 1) 6 ἐπὶ τὸν Ἱπποκοντίδην **E** 7 διειργάσθαι **E** (cj. iam Beck): διείργεσθαι **BD** διέρχεσθαι **Q** εἴργεσθαι **C** ‖ l. om. **BC** ‖ ὁ νοῦς] ὁ δὲ νοῦς **B** om. **CE** ‖ ὁ — 9 Οἰων. om. **C** 9 δραμών] δραμὼν ἠρίστευσεν **Bv** διαδραμών **Q** ‖ ὁ om. **DEQ** 10 καὶ om. **CD** 11 λαοῦ ὤν] λασίωνος **Q** 12 στάδιον] πεδίον **Q** 13 παῖς δὲ ὁ, om. ἄλλως, **Bv** ‖ ὃς] ὅσον **v** 14 τῶν om. **E** ‖ καὶ δίαυλον del. **b** 15 τὸ χ' ὅτι Οἰωνὸς scripsi: τὸ λ' ὅτι Οἰωνὸς **E** τὸ δὲ χ' ὅτι Οἰωνὸς **Q** ἐλαύνων δὲ τουτέστι **B** τὸ δὲ χ' ὅτι ὄνομα κύριον ὁ Οἰ. cj. **b** 16 ὁ om. **EQ** ‖ κώμης — 13 δὲ om. **EQ** 18 μηδέαθεν: ἀπο μηδίας **A** 19 ὃν ego: ἦν 20 Μιδέας ὢν ego: μηδεάων 21 Ἀλκμήνη scribend. vid. 22 Ἔχ. Τεγ. om. **DQ** Τεγ. om. **E**

αὐτοῦ Τεγέαν· ἔστι δὲ πόλις Ἀρκαδίας· δοξάζων δὲ διὰ τὸ ἀναγορευθῆναι ἀπὸ Τεγέας. προσυπακουστέον τὸ ἠρίστευσεν. ὑπὸ δὲ τούτου τοῦ Ἐχέμου τὸν Ὕλλον φασὶ τελευτῆσαι κατιόντα εἰς Πελοπόννησον.

80. Ἔχεμος: προσυπακουστέον τὸ ἠρίστευσε· τὴν δὲ A πάλην ἐνίκησεν Ἔχεμος Ἀρκὰς τὸ γένος. ὑφ' οὗ φασι τὸν Ὕλλον τελευτῆσαι εἰς Πελοπόννησον κατιόντα. ἐγάμησε δὲ τὴν Τιμάνδραν· Ἡσίοδος (fr. 114) Τιμάνδρην, φησὶν, Ἔχεμος θαλερὴν ποιήσατ' ἄκοιτιν.

83 a. ἀν' ἵπποισι δὲ τέτρασιν ἕως Ἁλιρροθίου: BCDEQ ἐφ' ἵπποις δὲ τέτρασιν, τεθρίππῳ ἀγωνισάμενος ἐνίκησεν ὁ Ἁλιρρόθιος. ὅθεν τινὲς σῆμα Ἁλιρροθίου κατὰ περίφρασιν ἤκουσαν, οἱονεὶ τὸ σημεῖον καὶ ἡ δόξα τοῦ Ἁλιρροθίου, ὡς καὶ Ὅμηρος· ἱερὴ ἲς Τηλεμάχοιο, καί· βίη Ἡρακληείη. | ὁ δὲ Δίδυμος οὕτω καθίστησι τὸν λόγον. τὴν Μαντινέαν BCEQ φησὶν εἶναι ἱερὰν Ποσειδῶνος, καὶ παρατίθεται τὸν Βακχυλίδην λέγοντα οὕτω (c. 20)· Ποσειδάνιον ὡς Μαντινέες τριόδοντα χαλκοδαιδάλοισιν ἐν ἀσπίσιν φορεῦντες. ἐπίσημον γὰρ εἶναι τῶν ἀσπίδων τὸν Ποσειδῶνος τριόδοντα, ὅτι παρ' αὐτοῖς μάλιστα τιμᾶται ὁ θεός. ἔσται οὖν τὸ σαφὲς οὕτω | κατ' αὐτὸν, ἔξωθεν παραλαμβανομένου τοῦ ὀνόματος· ἀν' BCDEQ ἵπποισι δὲ τέτρασιν Ἥρως ὁ ἀπὸ Μαντινέας ἐνίκα· ἥ ἐστιν ἡ Μαντινέα σημεῖον καὶ ἱερὰ τοῦ Ποσειδῶνος. Ἁλιρρόθιον γὰρ ἐπιθετικῶς τὸν Ποσειδῶνά φησι. καὶ παρατίθεται τὸ Ὁμηρικόν (Ε 292)· πάσας δ' ὀρόθυνεν ἀέλλας παντοίων ἀνέμων. παρατίθεται δὲ καὶ τὸν γράφοντα τὴν Θησηίδα.

---

2 τὸ om. CDQ   4 Πελοπόνησον CDE   6 φησι: V   7 ὕλον   9 ἐποιήσατ': b   11 ἐφ' — 12 Ἁλιρροθίου om. CD; post 14 Ἡρακληείη trp. E   11 ἵπποισι Q ‖ τεθρίππῳ] ἤτοι τεθρίππῳ Bv τεθρίπποις EQ   12 Ἁλιροθ. B   13 σῆμα Q   14 καί (alt.) om. EQ ‖ Ἡρακλείη DEQ   15 Μαντίνειαν h   16 εἶναι B: τὴν CEQ   16. 17 καγχυλίδ(ην) E   17 Μαντινέες pap. Bacch.: μάντιν ἐς E Μαντινεῖς B μάντιν εἰς $C^1$Qv (Μαντινέαν $C^2$)   18 χαλκοδαιδάλοις $B^{cp}$ ‖ ἀσπίσι codd. ‖ φορεῦντες BCQ: φορβῶ E
19 εἶναι B: ἐστι CEQ   20 ἔσται CEGQ: ἔστιν B   21 κατ' αὐτὸν scripsi: καθ' αὐτὸν (καθαυτὸν, καθ' αὐτὸν) CDEQ καθ' αὐτὸ Bv ‖ ἔξωθεν — ὀνόματος et 23 σημεῖον καὶ a Didymi sententia aliena vid. ‖ ἀν BQ ἐν CDE   22 ἐνίκησε Qv ‖ ἥ BCD: καὶ EQv ‖ ἱερὸν h   24 φασι E   26 δὲ om. Q ‖ ..σηίδα E (lac.)

μαρτυροῦντα τῷ Ἥρωι τὴν τοῦ ἅρματος ἡνιοχευτικὴν ἀρετήν·

στρωφᾷς δὲ πώλους ὡς ὁ Μαντινεὺς Ἥρως. 83e Q

BEQ 83 b. ἄλλως· ἂν ἵπποις τέτρασιν: ἐὰν μὲν γράφηται σᾶμα Ἁλιρροθίου, ἔσται αὐτὸς ὁ Ἁλιρρόθιος ἥκων ὡς ἂν ἐπίσημος ἐγένετο ὁ Ἁλιρρόθιος· ἐὰν δὲ Σᾶμος Ἁλιρροθίου φανερόν· οἷον, Σᾶμος Ἁλιρροθίου ἐνίκησεν. Ἀριστόδημος δέ φησι μὴ δύνασθαι συγχρονεῖν Ἁλιρρόθιον τὸν κατὰ Κέκροπα Ἡρακλεῖ. ἀλλὰ μηδὲ Ἀρκάδα εἶναι, ἀλλ' Ἀθηναῖον· Σῆμον δέ τινα νῦν νενικηκέναι ἅρματι, ὥς φησι Δίφιλος ὁ τὴν Θησηίδα ποιήσας ἔν τινι ἰάμβῳ οὕτω·

τρέψας δὲ πώλους ὡς ὁ Μαντινεῦς Σῆμος,
ὃς πρῶτος ἅρματ' ἤλασεν παρ' Ἀλφειῷ.

CDEQ c. ἀπὸ Μαντινέας: Μαντινέα πόλις Ἀρκαδίας· σῆμα
CEQ δὲ Ἁλιρροθίου περιφραστικῶς ὁ Ἁλιρρόθιος. d. ἢ σῆμα
BCDEQ ἐπίσημος, φανερός. 86Q e. σᾶμ' Ἁλιρροθίου: Ἁλιρρόθιος Μαντινεὺς ὁμώνυμος τῷ Ἀθηναίῳ, ὃς ἦν Ποσειδῶνος καὶ Βαθυκλείας. f. τινὲς γράφουσι Σῆρος Ἁλιρροθίου, οὗ μέμνηται Ἡσίοδος (fr. 106)·

ἤτοι ὁ μὲν Σῆρον καὶ Ἀλάζυγον υἱέας ἐσθλούς.

---

1 Ἥρωι CDEQ: Σήμῳ B ‖ τὴν om. v ‖ ἡνιοχικὴν B ...χευτικ(ὴν) E (lac.), om. ἀρετήν 3 στρωφᾷς δὲ πώλους B: στρωφάσων (-σάφων Q) δὲ πώλους (πῶλος Q$^{ac}$) GQ στροφὰς δὲ π. C στροφὰς δ' ἐπώδους D στροφαὶ δὲ παλους E (sic) ‖ ὁ om. E ‖ Ἥρως CDEQ: Σῆμος B 4 μὲν BQ: μὲν γὰρ E 5 σᾶμα ?B: σῆμα E σῆμ' Q σᾶμ' v ‖ ἥκων ὡς ἂν corrupta 6 ἐπίσημα γένηται E ‖ ὁ Ἁλιρρόθιος BGQv: Ἁλιρροθ E ὁ Ἁλιρροθίου h ὁ Ἁλιρρόθιος νικῶν b ‖ δὲ om. E ‖ Ἁλιρροθίου E: Ἁλιρρόθιος B ὁ Ἁλιρρόθιος Qv ὁ Ἁλιρροθίου b. Cfr. 18 7 item, nisi quod Ἁλιρρόθιος v 9 Ἡρακλῆ E ‖ Ἀρκάδιον Q 10 νῦν om. E ‖ Δίφιλος BQ: lac. E 11 ἰάμβῳ BG: ἰάμῳ E ἰαμβείῳ Qb 12 τρέψαν Q 13 ἤλασεν h: ἔλασε 14. 15 σᾶμ' Ἁλιρροθίου Qb (σᾶμα δὲ Ἁλ. G) 16 l. EQ: Ἁλιρροθίου C ἄλλως B om. D 16. 17 Ἁλιρρόθιος om. D 17 Μαντινεὺς BEQ: βασιλεὺς CD 18 τινὲς CDEQ: ἔνιοι δὲ Bv ‖ Ἁλιρρόθιος D(?cp)EQ ‖ οὗ — 20 Ἀλάζυγον om. D 19 καὶ Ἡσ. Q 20 Σῆρον v: Σῆρος codd. Σῆμον scripsisse Hesiodum cj. b n. cr. p. 413 ‖ Ἀλάζυγον E: Ἀλάζογον BQr Ἀλαζὸς C

ἦν δὲ ὁ *Σῆρος* τοῦ *Ἁλιρροθίου* τοῦ *Περιήρους* καὶ *Ἀλκυόνης*. 71B 86E $83^{b}$Q

84 a. *Ἁλιρροθίου*: ὁ *Ἁλιρρόθιος* νικῶν ἐπίσημος ἐγένετο. b. ὁ δὲ λόγος· ἀπὸ τῆς ἁλιρροθίου *Μαντινείας* ἐν ἅρματι πρῶτος ἐνίκα· ἢ ἐπίσημος ὢν *Ἁλιρρόθιος*· τὸ γὰρ ἐνίκα πᾶσι τούτοις ὑπακουστέον· εἶτα ἀφ' ἑτέρας ἀρχῆς· ἄκοντι *Φράστωρ* ἔλασε σκοπόν. c. ἢ οὕτως· ἀν' ἵπποισι δὲ τέτρασιν: ἀπὸ *Μαντινείας* καὶ ἅρμασιν ἐνίκα *Θησεύς*. d. σῆμα *Ἁλιρροθίου*: οἷον ὅμοιος ὢν *Ἁλιρροθίῳ* τῷ ἀδελφῷ. ἢ ἐπίσημος ὢν *Ἁλιρρόθιος*. e. ⟨ὅτι⟩ μετὰ τὴν τῆς *Ἤλιδος* ἅλωσιν εἷς ἦν τῶν ἀγωνισαμένων ὁ *Θησεὺς* ἱστορεῖ *Ἀρίστιππος* (FHG IV, 327), οὐχ ἅρματι δέ, ἀλλὰ παγκρατίῳ. A

85 a. *Φράστωρ*: ὁ *Φράστωρ* τοῦ σκοποῦ τῷ ἀκοντίῳ ὑπερήλασεν. A

85 b. [ἄκοντι δὲ *Φράστωρ* ἔλασε σκοπόν:] ὁ δὲ *Φράστωρ* ἀκοντίῳ ἀγωνισάμενος ἔρριψε κατὰ σκοποῦ. οἱ δὲ τὸ ἤλασε σκοπόν ἀντὶ τοῦ τῆς νίκης εὐτύχησε. BCDEQ (86.) ἔστι δὲ ὄνομα κύριον. 76E 87Q BCDEQ

86 a. μᾶκος δὲ *Νικεύς*: ὡς *Τυδεύς*. b. ὁ δὲ λόγος· μακρόν τι καὶ ἐπίμηκες ἐδίσκευσεν ὁ *Νικεύς*. ὅτι δὲ πέτροις τὸ παλαιὸν ἐδίσκευον, *Ὅμηρος* (ϑ 190)· βόμβησεν δὲ λίθος. A

86 c. μᾶκος δ' *Ἐνικεύς*: *Ἐνικεὺς* ὄνομα κύριον. BCDEQ

---

21 sch. ϑ 190. Ψ 826

---

1 post *Ἁλιρροθίου* add. ἤγουν ὁ *Αλιρρόθιος* D ‖ πριήρους B
3 ἁλιρροθίους· ἁλιρροθίους νικ. A 4 τῆς ego: τοῦ ‖ ft. *Ἁλιρρ.* ‖ *Μαντινίας* 4 sq. ἀπὸ *Μ. Σῆμος* ὁ τοῦ *Ἁλ.* πρ. ἐνίκα b
5 πρῶτος corruptum; ft. *Ἥρως* 7 ἀνίπτοισι 8 ἀπὸ *Μ.* καὶ del. b 9 ἁ(ἀ a. c.)λιρρόθιοι ‖ ἀλιρρ. 10 ἀλιρρ. ‖ ὅτι addidi
12 ἱστ. *Ἀρ.* post παγκρ. trp. b 14 τῷ σκοπῷ τῷ ἄκοντι ῷ: ego 16 l. om. CDEQ 17 ἀκοντισάμενος CD ‖ σκοπὸν Qv
18 ἀντὶ τοῦ CDEQ: ἀντὶ B ‖ τῆς νίκης εὐτύχησέ φασιν B: τ. ν. ἐτύχησε E τὴν νίκην ηὐτύχησε Q τῆς ν. ἐπέτυχε C τῆς τύχης ἔτυχε ἤγουν τῆς νίκης D. Delevi φασιν cum CDEQ ‖ ἔστι DEQ: *Ἐνικεὺς* B 22 ⟨μαρτυρεῖ⟩ *Ὅμ.* b 22. 23 βόμβῳ ἤλασε δὲ λίθῳ A 24 *Ἐν.* (alt.) — κύριον om. BD

d. *μακρὸν ἐδίσκευσε δίσκῳ λιθίνῳ. οὕτως οἱ ἀρχαῖοι. μᾶκος δὲ μακρόν.* (87.) *παρὰ τὸ Ὁμηρικόν* (*Τ* 131)· *χειρὶ περιστρέψας.* ⊱5 **Q**

**BDEQ** 87 a. *χέρα κυκλώσαις ὑπὲρ ἁπάντων: πάντας, φησὶ,*
**CDEQ** *τοὺς ἀνταγωνιστὰς τῇ βολῇ παρελθών.* b. *τὸ δὲ χέρα κυκλώσας παρὰ τὸ Ὁμηρικόν* (*θ* 189)·

*τόν ῥα περιστρέψας ἧκε στιβαρῆς ἀπὸ χειρός.*

**BCDEQ** c. *τὸ δὲ καὶ συμμαχία θόρυβον, καὶ τοῖς παρεστῶσιν*
**BCEQ** *αὐτοῖς συμμάχοις ἔκπληξιν καὶ τάραχον ἐκίνησε* | *μέγαν διὰ τὸ ὑπερβεβλημένον τῆς βολῆς θαῦμα. καὶ τοῦτο παρὰ τὸ Ὁμηρικόν* (*θ* 190)·

*κατὰ δ' ἔπτηξαν ποτὶ γαίῃ*
*Φαίηκες δολιχήρετμοι, ναυσίκλυτοι ἄνδρες.*

**BEQ** 88 a. *καὶ συμμαχία θόρυβον: ἀντὶ τοῦ τὸ πλῆθος*
**(C)DEQ** *θαυμάσαν ἀνεβόησεν ἐπὶ τῷ τῆς βολῆς μήκει.* b. *ἢ οὕτω· παρεκίνησε καὶ ἀνήγειρε τὸ τῶν συμμάχων πλῆθος.* 90[d] **Q**

**A** 88 c. [*κυκλώσαις:*] *ἤτοι διὰ τὸ προβάλλειν τοὺς ἄλλους τῷ δίσκῳ διαταραχθῆναι εἰς τὸ πλῆθος ἀποθαυμάσαντας ἐπὶ τῷ τῆς βολῆς μήκει.* d. *θόρυβον: ἀνήγειρε δὲ νικήσας ταραχὴν τοῖς συνοῦσιν· ἐβόησαν γὰρ θαυμάσαντες τῆς βολῆς τὸ μῆκος.*

**B** 89. *παρέθηξεν: ἐκίνησε. παρώρμησεν.*

**B** 90 a. *ἐν δ' ἕσπερον ἔφλεξεν εὐώπιδος: τῆς δὲ*
**BCDEQ** *εὐώπιδος σελήνης τὸ ἐρατὸν φάος κατέλαμψε* | *τὴν ἑσπέραν.*

---

1 *μακρὸν* om. **B** ‖ *ἠδίσκευε* **Q** *ἐδίσκευε* **v** ‖ *λιθ. δίσκῳ* **CD** 2 *παρὰ δὲ τὸ Ὁμ.* **B** 2—4 *περιστρέψας. χέρα κυκλώσαις ὑπὲρ ἁπάντων:*] *περιστρέψας.* **C** *περιστρέψας* ⁝ *χέρα κυκλώσας* **DEQ** *περιστρέψας φησὶ χέρα κυκλώσαις. ὑπὲρ ἁπάντων:* **Bv** 4 *φασὶ* **E** 5 *ἀντιγονιστὰς* **E** ‖ *τὸ δὲ* om. **C** 7 *περιτρέψας* **E** ‖ *ὑπὸ* **E** 8 *τὸ δὲ* om. **C** ‖ *καὶ* (alt.)] *ἀντὶ τοῦ καὶ* **v** (**B** legi nequit, sed vix habuit *ἀντὶ τοῦ*) 9 *τάραχον* **B?CE**: *ταραχὴν* **B?DQv** ‖ *ἐκίνησε* **B**: *ἐποίησε* **CDEQ** 10 *τῆς*] *διὰ τῆς* **E** 12 *ἔστηξαν* **E** 13 *φαίης κε* **E** ‖ *νάυσικλητοὶ* **E** 14 *θόρυβον* om. **EQ** ‖ *τὸ πλῆθος* **B**: *πλήθους* **E** *πλῆθος* **Q** 15 *ἐβόησεν* **EQ** 16 *ἀνέγειρε* **EQ** ‖ *τὸ* om. **D** ‖ *πλῆθος*] *πληγῆς* **D** 17 l. seclusi ‖ *προβάλλειν* **A**: *προσβ.* Red. *ὑπερβ.* **b** 18 *εἰς* corruptum; *εἶπε*? Schroeder; an *ἐποίησε*? ‖ *ἀποθ.* — 19 *μήκει* del. **b** 19 *βοῆς*: **b** ‖ *μήκει*] -*ει* ex corr. (-*η*?) ‖ *ἐβόησαν* — 21 *μῆκος* delenda? 21 *βοῆς*: **b** 23 l. *ἐν δ' ἕσπερον* et **CEQ**

ταῦτα γὰρ ἐγένετο τοῦ ἑσπέρου καὶ τοῦ σκότου καταυγαζομένου ὑπὸ τῆς σεληνιακῆς αὐγῆς. b. *ἐρατὸν δὲ φάος*, τὸ πανσέληνον· τελεῖται γὰρ κατὰ πληροσέληνον, ὡς αὐτὸς ἐν τοῖς πρώτοις εἶπεν (III, 19). c. ἔδει δὲ οὕτως εἰπεῖν· οὔσης δὲ πανσελήνου ἐτέθη ὁ ἀγών, | ὁ δὲ τὸν ἀγῶνα δια- **BCEQ** θέμενος τοῦτο τότε ἐπήνεγκεν. 92 Q d. *ἐν δ' ἕσπερον* **BEQ** *ἔφλεξε*: τὸ ἑσπερινὸν φάος. e. ὅτι ἐν πανσελήνῳ ἐτέθη ὁ ἀγών. 90a Q

91. *σελάνας ἐρατὸν φάος*: τοῦτο ἔδει πρῶτον εἰπεῖν **A** ὅτι πανσελήνου οὔσης ὁ ἀγὼν ἐτέθη. εὐήθως δὲ καὶ οἱ φαντασθέντες ἄχρι δύσεως ἡμέρας αὐτοὺς ἀγωνίζεσθαι.

92 a. *ἀείδετο δέ*: τῶν ἐπινίκων λεγομένων ἤχει ἡ **A** Πίσα.

92 b. *ἀείδετο δὲ πᾶν τέμενος*: ἐν δὲ ταῖς εὐωχίαις **BCDEQ** περιῄδετο καὶ ἠχεῖτο τὸ πᾶν τέμενος εὐφημιῶν καὶ ὕμνων λεγομένων. οὗτος γὰρ ἐγκωμιαστικὸς τρόπος. c. ἢ οὕτως· **BCEQ** ἐνεκωμιάζετο ἐκ τῶν νικώντων τὸ τέμενός, φησιν.

94. *ἀρχαῖς δὲ προτέραις ἑπόμενοι*: ταῖς οὖν ἀρ- **BCDEQ** χαῖς καὶ τοῖς ἐπιτηδεύμασι τῶν φθανόντων καὶ νῦν ἡμεῖς ἀκολουθοῦντες τὴν ἐπώνυμον τῆς νίκης χάριν, τουτέστι τὸν ἐπινίκιον ὕμνον εἴπωμεν, θαυμάζοντες τήν τε βροντὴν τοῦ Διὸς καὶ τὸν ἔμπυρον αὐτοῦ κεραυνόν. 96 B

95 a. *χάριν νίκας*: ἔξωθεν ληπτέον τὸ εἴς· εἰς χάριν **A** κελαδησόμεθα βροντάν. b. τὸ δὲ *ἐπωνυμίαν* τοῦ χάριν ἐπίθετον· τὴν ἐπωνύμους ποιοῦσαν, ἀντὶ τοῦ ἐπονομάζοντος

---

1 σκότους E 1. 2 καταυγ. CDEQ: καταυγ. καὶ φαιδρυνομένου Bv 2 ἐρατεινὸν E ‖ φάος CDEQ: φάος σελήνης B 6 τότε τοῦτο Bv 7 ἔφλεξε om. EQ ‖ φάος EQ: φῶς Bv ‖ ἐν πανσ. γάρ, om. ὅτι, Bv 13 Πίσσα 14 l. om. D ‖ πᾶν τέμενος om. EQ 15 καὶ εὐφ. καὶ ὕμ., om. λεγ. Q 16 γὰρ ἐγκ. B: πανεγκ. D παρεγκ. CE ἐγκ. Q 17 ἐνεκωμ. B: ἐγκωμ. CEQ ἐνεγκωμ. v ‖ νικώντων τὸ τέμενος B: νικῶν C νικῶν τὸ E νικώντων Q ‖ φησιν] φασι E om. C 18 l. B: om. CD ἀρχαῖς δέ EQ ‖ ταῖς ἀρχαῖς οὖν E 20 τὴν] τὸν E 21 εἴπωμεν CDEQ: εἴπωμεν. ἢ ἔξωθεν τὴν εἴς πρόθεσιν ληπτέον, ἵν' ᾖ εἰς χάριν κελαδήσομεν Bv (cfr. 95 d) ‖ θαυμάζοντες om. CD 22 τὸ ἔμπ. αὐτοῦ βέλος, τὸν κεραυνόν Bv 25 ἐπωνύμους V (336, 8): ἐπωνυμίαν ‖ ποιοῦσιν: ego ‖ ἀντὶ τοῦ — 336, 1 καλοῦντος non intellego; ἐπονομάζουσαν καὶ καλοῦσαν Schroeder

καὶ καλοῦντος. c. ἄλλως· ἐπωνυμίαν νίκης χάριν τὸν ἐπίνικον εἶπεν.
CDEQ 95 d. ἐπωνυμίαν χάριν: ἔξωθεν τὴν εἴς πρόθεσιν λάβε· εἰς χάριν κελαδήσομεν. e. ἀντὶ τοῦ τὸν κεραυνὸν
CEQ ὑμνήσομεν. f. ἄλλως· τὴν ὀνομαστὴν βροντὴν καὶ διαβόητον. g. ἢ οὕτω· τὴν νίκην περιφραστικῶς τὴν διαβόητον.
BEQ h. ἄλλως· χάριν νίκης, διὰ τὴν νίκην. i. ἢ οὕτως· ἐπίθετον τῆς νίκης τῆς ἐπωνύμους ποιούσης. k. ἢ τῆς ὄνομα φερούσης καὶ κρατούσης ἐν παντὶ κράτει. 99B
A 96 a. πυρπάλαμον βέλος: τὸν κεραυνὸν καὶ ἐκ πυρὸς καὶ ἐκ Διὸς τεχνασθέντα.
BCEQ 96 b. καὶ πυρπάλαμον βέλος ἐν ἅπαντι κράτει: τὸν ἐπὶ πάσῃ χρείᾳ τοῦ κράτους αὐτοῦ ἁρμόδιον καὶ ἐπαρ-
BCDEQ κοῦντα πρὸς τὰς χρείας. c. ἢ πρὸς πᾶσαν αὐτῷ δύνα-
BDEQ μιν ἀραρότα. d. ἢ κράτει τῇ νίκῃ· νικῶντα ἀεί. 95B
EQ e. κράτει ἀραρότα: ἡρμοσμένον παντὶ κράτει τοῦ Διός.
A 99 a. χλιδῶσα δὲ μολπά: τρυφῶσα δὲ ἡ μολπὴ τῶν ἐπέων ἀντιάσει πρὸς τὸν κάλαμον. τοῦτο δέ φησιν ἐπεὶ μετ' αὐλῶν τὸν ὕμνον ἔλεγον.
BCEQ 99 b. χλιδῶσα: τρυφῶσα. ἐναβρυνομένη.
BCDEQ c. ἡ μολπὴ ἡ τῶν μελῶν ἁβρῶς καὶ ἡδέως ἐντρυφῶσα τῇ ἡδονῇ ἀπαντήσει πρὸς αὐτόν.
A 100 a. ἀντιάξει: ὁμοδρομήσει. συναντήσει τῷ αὐλῷ. b. οἷον ἀντιάσει. ἀνακινήσει.
DEQ 100 c. ἀντιάξει μελέων: ἀπαντήσει. ἀντηχήσει.

---

1 νίκην 4 λάβε **CD**: λαμβάνει **EQ** ληπτέον **B** (vid. ad p. 335, 21). Ft. del. ‖ κελαδήσομαι **CD** -σωμεν **Q** ‖ τὸν κερ. om. **C** 5 ὑμνήσομεν **E**: -σομαι **CD** -σωμεν **Q** 6 ἢ οὕτω **GQ**: ἢ τοῦ **E** ἢ **C** ‖ περιφρ. τὴν νίκην **C** 7 ἄλλως om. **Q** ‖ ἀντὶ τοῦ διὰ τ. ν. **Bv** 8 ὄνομα om. **B** 9 non intellego; καλούσης? Schroeder, del. ἐν π. κράτει 12 l. **E** (om. καὶ et ἐν) **Q**: om. **B** ἐν ἅπ. κρ. **C** 13 χορείᾳ **E** ‖ ἁρμόδια **E** 14 χορείας **E** ‖ ἢ **B**: καὶ **C** ἄλλως **DEQ** 15 ἀρηρότα **Bv** ‖ νικῶντα] νικῶν **Q** 16 κράτει καὶ ἀραρ. **E** 17 μολπᾶ (in l.) 20 χλιδῶσα δὲ μολπά· ἀντὶ τοῦ τρυφ. **Bv** ‖ ἁβρυν. **CE** 21 sch. 99c ὁ (δὲ) νοῦς praem. **CEQ** ἤτοι praem. **B** 22 αὐτόν] αὐλόν Bergk N. Jhbb. 117 (1878), 43; debuit ⟨τὸν⟩ αὐλόν 23 ἀντιάζει 25 ἀντιάζει (sic) — ἀντηχήσει **E**: ἢ ἀντηχ. **D** ἀντιάζει· ἀπαντιάζει (-σει **Q**$^{s}$)· ἀντηρήσει **Q**

d. ὁ δὲ ὕμνος τρυφηλῶς καὶ ἡδέως μετὰ αὐλῶν ῥηθή- BEQ
σεται. 106ᶜ E

101 a. *Δίρκᾳ*: καὶ ἐν ἀρχῇ ἔλεγεν ὅτι διέστηκε τὸ A
πρῶτον τῆς ὁμολογίας τοῦ γράψαι τὸ ἐγκώμιον. καὶ νῦν
ἀπὸ τῆς Δίρκης [τὴν Θήβην φησὶ] καὶ ἐν Θήβῃ φησὶ μετὰ
πολὺν χρόνον πεφηνέναι τὰ μέλη καὶ τὰ ποιήματα, ὡς ἐν
Θήβαις γεγραφὼς τὸν ἐπίνικον μετὰ πολὺν χρόνον τῆς
ὁμολογίας.

101 b. *τὰ παρ' εὐκλεεῖ Δίρκᾳ*: ἅτινα μέλη ἐν τῇ BDEQ
ἐνδόξῳ Δίρκῃ, ἤτοι Θήβαις, ἐν πλείονι μὲν χρόνῳ τῆς προσ-
δοκίας ἐφάνη καὶ ἐγράφη· | ἀλλ' οὕτως ἐστὶ γλυκὺς ὁ ἐπί- B
νικος τῷ λαβόντι ὥσπερ παῖς γνησίας γυναικὸς καὶ οὐ
παλλακίδος πατρὶ γεννηθεὶς ἤδη γεγηρακότι. c. ἄλλως· BCDEQ
Δίρκη πηγὴ ἐν Θήβαις. d. κεχρονικέναι μέν φησι καὶ ἐν BCEQ
ἀρχῇ λέγων ὁ Πίνδαρος ὅτι διέστηκεν ἀπὸ τῆς ὁμολογίας
πρὶν γραφῆναι τὸ ποίημα· καὶ νῦν ἀπὸ τῆς Δίρκης (σημαί-
νων ἐν Θήβαις) φησὶ μετὰ πολὺν χρόνον πεφηνέναι τὰ
μέλη καὶ τὰ ποιήματα, ὡς ἐν Θήβαις γεγραφὼς [τὰ μέλη
καὶ τὰ ποιήματα, ἤτοι] τὸν ἐπίνικον, μετὰ πολὺν τῆς
ὁμολογίας τῆς περὶ τοῦ γράφειν χρόνον. e. ἅπερ μέλη BDEQ
χρόνῳ ἐφάνη ἐν Βοιωτίᾳ. ἐπεὶ μετὰ χρόνον ἔγραψε τὸ
ποίημα. 102ᶜ E 106ᶜ Q

102 a. *ἀλλ' ὥστε παῖς ἐξ ἀλόχου*: γνησίας γυναικὸς CDE
καὶ οὐ παλλακίδος. b. ὁ δὲ νοῦς· ἀλλ' οὕτως ἐστὶ γλυκὺς CDEQ
ὁ ἐπίνικος τῷ λαβόντι ὥσπερ παῖς | πατρὶ γεννηθεὶς ἤδη DEQ

---

1 τουτέστιν praem. B 5 τὴν — φησὶ delevi 6 ὡς V (18): ὧν 10 ἤτοι DEQ: φησὶ τουτέστιν ἐν Bv 11 sqq. cfr. 102 b 11 γλυκὺς om. Bv 14 μέν CEQ: δέ Bv ‖ φασι E 15 ὁμολογήσεως Q ‖ ἀπό — 16 γραφῆναι ex sch. 101 a male intellecto corrupta 16 πρὶν] πρὸς E 16. 17 σημ. ἐν Θ. om. Bv ‖ σημαίνων Q: σημαῖν(ον) E συμβαῖν(ον) C. Cfr. 5 17 πεφυκέναι Bv (ante h) 18 καὶ τὰ] καὶ E 18. 19 τὰ μέλη καὶ τὰ π. EQ: ταῦτα B αὐτὰ (ante γεγραφὼς) C. Seclusi cl. A 7 19 ἐπινίκιον EQ ‖ πολὺ CE 20 τοῦ περὶ τὸ γρ. χρόνου C ‖ ἅπερ scripsi: ἢ οὕτως· ἅπερ CEQ ἄλλως· ἅπερ D ταῦτα γὰρ τὰ Bv 21 χρόνῳ] χρόνος EQ ‖ χρόνου E 23 ἀλλ' ὥστε om. E 24 οὐ om. E ‖ sch. 102 b ἀλλ' ὥστε praem. Q ‖ ὁ νοῦς D 25 ἐπινίκιος Q

BDEQ γεγηρακότι. 101 E c. ὁ δὲ νοῦς· οὕτω δέ σοι ποθεινὰ καὶ ἡδέα ἔσται, ὥσπερ τις γνήσιος παῖς ἐκ νομίμης γυναικὸς BCDEQ πατρὶ | ποθεινὸς ὁρᾶται εἰς τὸ ἀνάπαλιν τῆς νεότητος ἐλ- BCEQ θόντι· τουτέστι, γηράσαντι. | πάνυ τε τοῦ ἑαυτοῦ πατρὸς τὸν νοῦν ἐκπυροῖ πρὸς τὸν πόθον κεχαρισμένος φαινόμενος. διατί δὲ ὁ παῖς ποθεινός ἐστι γηρῶντι; ἐπειδή, φησιν, ἡ περιουσία καὶ ὁ πλοῦτος ἄρχοντα καὶ δεσπότην ἑαυτοῦ λαχὼν ἀλλότριον τοῦ γένους καὶ ἔξωθέν τινα ἐπαχθέντα CEQ λυπηρότατός ἐστι τῷ ἀποθνήσκοντι. d. τὸ δὲ ἵκοντι νεότατος, εἰς τὸ ἔμπαλιν τῆς νεότητος, τὸ γῆρας. e. εἰς τὸ γῆρας ἤδη ἐληλυθότι, καθ' ὃν καιρὸν οὐκ ἔστιν οἷος ἄλλο γεννῆσαι.

A 104 a. τοὔμπαλιν: εἰς τὸ ἐναντίον τῆς νεότητος. b. τουτέστι γεγηρακώς. c. θερμαίνει: ὁ γεννηθεὶς τοῦ πατρὸς θάλπει τὸν νοῦν.

ABDEQ 106 a. ἐπεὶ πλοῦτος: τοῦτο ἐν τῷ καθόλου λέγει· ἐπεὶ πλοῦτος ὁ ἐπακτὸν λαχὼν ποιμένα τὸν διαδεξάμενον τῷ καταλιπόντι καὶ ἀποθνήσκοντι στυγερός ἐστιν. διὰ δὲ τούτου σημαίνει ὅτι ἐάν τις ἔχων πλοῦτον ἄτεκνος ἀποθνήσκῃ διάδοχον μὴ καταλιπών, ἐπώδυνος αὐτῷ γίνεται. BCDEQ b. ἄλλως· τὸν μὴ κατὰ γένος διάδοχον· παρὰ τὸ Ὁμηρικόν (E 158)· χηρωσταὶ δὲ διὰ κτῆσιν δατέονται. τὸ δὲ

---

1 ὁ δὲ νοῦς BD: ποθεινὸς ἵκοντι EQ 2 ἔσται DEQ: ἔσται τὰ μέλη, φησὶν Bv 3 ποθεινὸς πατρὶ E || ὁρᾶται om. Q 4 γηράσαντος B || τε ego: γε CE σε GQ om. Bv γὰρ h 5 ἐκπληροῖ E || κεχαρισμένως b 6 ante διατί praem. ἐπεὶ πλοῦτος ὁ λαχών Bv || γηρῶντι BC: γηρῶντι λέγει E γ. λέγεται Q, trp. ὁ παῖς post λέγεται 9 λυπηρότατον Q || τὸ — 11 ἐληλυθότι] νεότατος ἔμπαλιν, ἤτοι τῷ γήρᾳ C 10 νεότατι (pr.) EQ 10. 11 τὸ γῆρας. εἰς τὸ γῆρας E: τοῦ γήρως Q 11 ἐληλυθότος Q 15 θάλλει: b
16 ἐπεὶ πλοῦτος A: ἐπεὶ πλ. ὁ λαχών D ἐπεὶ (ὁ) πλ. ὁ λαχὼν ποιμένα ἐπακτόν EQ ἄλλως Bv || τοῦτο om. V 17 ἐπεὶ — ποιμένα om. DEQ || πλ. ὁ λαχ. ποιμ. ἐπ. Bv 18 καὶ A: ὅ ἐστι τῷ V || στυγερός A: στυγερώτατος (-ον) BEQ στυγερώτερος D || ἐστι A: ἐστι καὶ ἀλλότριος (-ον) V 19 τούτου V: τοῦτο A || ἔχῃ et 19. 20 ἀποθνήσκων καὶ διαδόχῳ V 19. 20 ἀποθν(ήσκῃ) A
20 καταλιπὼν ADE[s]: καταλίπῃ BE[i]Q || ἐπώδυνος] στυγερὸς Q[rubr] (in ras.?) || αὐτῷ γίνεται om. A 21 διάδοχον CDEQ: διάδοχον ἔχοντα Bv 22 δατέοντο Hom.

θνᾳσκοντι κοινῶς πρὸς ἀμφότερα· ἀλλότριον θνήσκοντι, καὶ στυγερώτατος θνήσκοντι. πάνυ γὰρ ἀλγοῦσιν οἱ τοῖς μὴ προσήκουσι διαδόχοις χρώμενοι. 109 EQ

c. ὥσπερ οὖν, φησι, λυπηρόν ἐστι τῷ τελευτῶντι ἀλλοτρίῳ τινὶ χρήσασθαι κληρονόμῳ, οὕτως ἀλγεινόν ἐστι καὶ ὅταν κάλλιστα μὲν εἴη διαπεπραγμένος τις, ἄνευ δὲ ἐπαίνου καταλύσῃ τὸν βίον, ὦ Ἀγησίδαμε, κενῶς μοχθήσας, ὡς μηδὲ βραχύ τι τερπνὸν καὶ ἡδὺ ἀποκερδάναι ἐκ τῶν πόνων. 102 EQ BDEQ

109. καὶ ὅταν καλὰ [μὲν] ἔρξαις: καὶ ὅταν καλά τις ἐπιτελέσας ἔργα δίχα καὶ χωρὶς ἀοιδῆς ἀποθάνῃ ἀκλεής, τῷ μόχθῳ βραχὺ δέδωκε τερπνόν, τουτέστι βραχὺ ἐτέρφθη παραχρῆμα, οὐκέτι δὲ τελευτήσαντος αὐτοῦ μέμνηταί τις. 114 A 113 E AB(C)DEQ

110. Ἀίδα σταθμόν: τὸν οἶκον. ἢ τὸν Ἅιδην, περιφραστικῶς. A

111. τὸ κενεὰ πνεύσαις ἀντὶ τοῦ ματαίως μοχθήσας. A

112 a. τερπνόν: βραχὺ τυγχάνει παρ' αὐτὴν τὴν νίκην. 122 A

112 b. βραχύ τι τερπνόν ἀντὶ τοῦ οὐδέν. οὐδὲ ὀλίγον. οὐδὲ τὸ ἐλάχιστον. 114 EQ[b] DEQ[ab]

113 a. τὶν δέ: ἀντὶ τοῦ οὐδέν. ... πᾶσα μουσικὴ ἀναπέμπει καὶ διαποικίλλει τὴν χάριν. A

113. τὶν δ' ἀδυεπής τε λύρα: b. τίν σοί Δωρικῶς. BCDEQ

c. σοὶ οὖν, φησι, πᾶν εἶδος μουσικῆς διαποικίλλει τὴν χάριν

17 sch. *E* 800

1 θνήσκοντι E ‖ ἀμφοτέρους E ‖ θνάσκοντι DEQ ‖ καὶ — 2 θνήσκοντι om. DQ  2 θνάσκοντι E  3 sch. 106 c l. ἀλλ' ὥστε praem. Q  4 τὸ ἀλλοτρ. EQ  6 καταλύσῃ BE: κατακλείσῃ D καταλείψει Q (-λήψῃ G)  7 κενῶς — 8 πόνων] μηδὲν ἡδὺ τῶν πόνων κερδάνας D  7 κενῶς BGQ: καὶ ὡς E  9 καλὰ μὲν ἔρξαις om. A ‖ ἔρξαις B ἔρξας E ἔρξας CDQ  9. 10 καὶ ὅταν τίς φησι (φ. om. CDEQ) καλὰ μὲν ἐπιτ. V  10 ἀοιδῆς A: ὕμνου V  11 βραδὺ δέδωκε A βραχύ τι ἔδωκε V ‖ βραχὺ (alt.) A: βραχύ τι V  11. 12 παραχρῆμα A: τῷ μόχθῳ (χρόνῳ Q) ὅσον παραχρῆμα V  12 οὐκέτι γάρ τις αὐτοῦ καὶ (αὐτ. καὶ om. Q) τελ. μέ. V  15 πνεύσας] πνεύ: A  16 βραχὺ τυγχ. corrupta; om. b ‖ παρ' b: περὶ  19 ἀντὶ τοῦ οὐδέν gl. ad βραχύ pertinens ‖ lac. indicavi; ⟨σοὶ οὖν⟩ Schroeder  21 sqq. sch. 113 b post c trp., d post 22 χάριν inser. Bv  21 l. om. E ‖ ἡδυεπ. DQ, om. τε λύρα ‖ τίν ἀντὶ τοῦ σοί Bv τίν καὶ σοί D  22 post μουσικῆς add. ἀνεγείρει, ἄνω ποιεῖ, ἢ Bv; cfr. 114 e ‖ ἀναποικίλλει Bv; cfr. 114 f

BC καὶ παρέχει τὴν ἡδονήν. d. παρὰ τὸ Ὁμηρικόν (Γ 126)· πολέας δ' ἐνέπασσεν ἀέθλους. 112 E

A 114 a. ἀναπάσσει: ἤτοι ἀνεγείρει. ἄνω ποιεῖ. ἀναβάλλει. b. καὶ γὰρ τὸ πάσσειν ποικίλλειν ἐστὶ, καὶ παστὸς διὰ τὸ πεποικίλθαι. c. ἀναποικίλλει σοι τὴν χάριν ἥ τε λύρα καὶ ὁ αὐλός. Ὅμηρος (l. l.)· πολέας δ' ἐνέπασσεν ἀέθλους.

B 114 d. ἀναπάσσει: ἀναπέμπει. ἀναποικίλλει.

EQ$^{ab}$ 114 e. ἀναπάσσει: ἀνεγείρει. ἄνω ποιεῖ. f. ἢ ἀναποικίλλει σοι τὴν χάριν ἥ τε λύρα καὶ ὁ αὐλός. 119 Q$^{b}$

A 115 a. χάριν: τὴν τῶν νικησάντων. b. τρέφουσι καὶ αὔξουσι τήνδε τὴν χάριν τοῦ νικῶντος αἱ Μοῦσαι. c. ἀντὶ τοῦ τὸ ποίημα. d. δοξάζουσι τοὺς νικῶντας.

BCDEQ 115 e. τρέφοντι δ' εὐρὺ κλέος: αὔξουσι δέ σου τὸ κλέος αἱ Μοῦσαι καὶ οἱ λόγοι· ἀθάνατοι γὰρ οἱ διὰ τῶν
BDEQ λόγων ἔπαινοι. f. τρέφουσι δὲ αἱ Μοῦσαι μέγιστον κλέος τῶν νικησάντων.

A 117 a. ἐγὼ δὲ συνεφαπτόμενος: καὶ αὐτὸς ἐγὼ τῶν Μουσῶν τῆς ᾠδῆς ἐπιλαμβανόμενος τρέφω σου τὸ κλέος ὕμνῳ ὡσανεὶ μέλιτι πιαίνων τὴν πόλιν. 110

BDEQ 117 b. ἐγὼ δὲ συνεφαπτόμενος σπουδᾷ: καὶ αὐτὸς δὲ ἐγὼ τῇ σπουδῇ συνεφαπτόμενος τῶν Μουσῶν, συλλαμβανόμενος καὶ συνεργῶν τρέφω σου τὸ κλέος καὶ αὔξω, εἴς τε τὸ τῶν Λοκρῶν ⟨ἔθνος⟩ ἐμαυτὸν ἐμβάλλων καὶ ὡσανεὶ μέλιτι πιαίνων τὴν πόλιν [καὶ ἡδέως διατίθημι ὑμνῶν.]

---

1 post ἡδονὴν add. ἥ τε λύρα καὶ ὁ αὐλός Bv; cfr. 114 f 3 ἄνω ποιεῖ V (10): ἀναποιεῖ A. Has glossas ad lect. ἀναπτάσσει (GU) pertinere put. Mommsen sch. Germ. p. 56 3.4 ἀναβάλλει] ft. ἀναποικίλλει cl. V ibid. 6 πολλέας δ' ἀνέπασσεν 10 σοι Q$^{a}$ (et A 114 c): σου EQ$^{b}$ (cfr. ad p. 341, 24) 14 τρέφοντι BCQ: τρέφουσι DE ἔχοντι v 15 καὶ οἱ λόγοι om. D 15.16 τῶν λόγων BE (τῶν λόγο E): τ. λ. ἐμῶν D τ. ἐμῶν λ. CQ 16 sch. 115 f ἄλλως praem. Bv ‖ τρέφουσι] ἔχουσι v 20 ὕμνῳ — πιαίνων scripsi cl. V: ὑμνῷ οὖν εἰ μέλλοι αἰνῶν A 21 σπουδ(ᾷ) B: om. CEQ 22 δὲ om. E ‖ τῆς σπουδῆς D ἐν τῇ σπουδῇ GQ ‖ ἐφαπτόμενος DEQ 23 σου om. D 24 Λοκρῶν ἔθνος scripsi: λόγων ‖ ἐμβαλὼν E ‖ καὶ del. Hartung 25 πιαίνων B?D (cfr. A 20): πιαίνω EQ ‖ καὶ — ὑμνῶν seclusi (om. A)

117. *σπουδᾷ*: τῇ σπουδῇ τῶν Μουσῶν. B

118. *ἀμφέπεσον μέλιτι καταβρέχων*: ὥρμησα. αὐ- BEQ
τῷ τῷ ποιήματί, φησι, καταβρέχων, τουτέστιν ὑμνῶν. 123Q

119. *παῖδ' ἐρατόν*: ταῦτα κομματικῶς καθ' ἑαυτὸν λέγει. EQ

120. *τὸν εἶδον*: ἀντὶ τοῦ ἔγνων. B

121 a. *κρατέοντα*: νικῶντα. b. *χειρὸς ἀλκᾷ*: ἀντὶ B
τοῦ πυκτικῇ.

122 a. *κεῖνον κατὰ χρόνον*: οὐ γὰρ ἐν ᾧ καιρῷ ἐνί- A
κησεν ἔγραψε τὸν ὕμνον.

122 b. *κεῖνον κατὰ χρόνον*: τὴν βραδυτῆτα τοῦ ἐπι- BCEQ
νικίου καὶ νῦν ἐπιδείκνυται. subscr. Q

122 c. *ἰδέᾳ τε καλόν*: καὶ τῇ ὥρᾳ τοῦ σώματος ἐνα- A
βρυνόμενον καὶ τῷ κάλλει.

123 a. *ὥρᾳ τε κεκραμένον*: καὶ τῷ κάλλει τοῦ σώ- BCEQ
ματος ἀναλόγως συγκεκραμένον καὶ φαιδρυνόμενον τῇ τού-
του ὥρᾳ.

123 b. *ἅ ποτ' ἀναιδέα*: ἥτις ὥρα ποτὲ τὸν ἀναιδῆ BDEQ
θάνατον ἀπεκώλυσε τοῦ Γανυμήδους ἅμα τῇ Ἀφροδίτῃ.
Ὅμηρος (Υ 234)· BCDEQ

τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν
κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη.

c. ἄλλως· ἡ ὥρα, φησὶ, τῆς ἡλικίας τῷ Γανυμήδει θά- CDEQ
νατον ἄλαλκε· | καὶ γὰρ δι' αὐτὴν καὶ διὰ τὸ κάλλος ἀθάνα- BCDEQ
τος ἐγένετο. 112Q[b]

τέλος Ἀγησιδάμου. D

---

2 *μέλιτι καταβρέχων* om. **Bv** 3 *φησι* om. **Bv** 4 *κομματικὰ* **Q** (**b** ex Vrat.[d]) 12 *καλιὸν* 12. 13 *ἐναυρονόμιον*: **b** 14 l. om. **Bv** 14. 15 *σώματός φησιν* **Bv** 15 *ουγκεκραμμένον* **BCEv** (corr. Beck) 17 l. om. **BDv** ‖ *ὥρα φησί* **Bv** 18 *Γαννυμ.* **DEQ** ‖ post *Ἀφροδ.* trp. 23 *καὶ* — 24 *ἐγένετο* **Bv** 19 *καὶ Ὅμ.* **CD** 21 *κάλλ' ἕνεκα* **E** ‖ *οἷο ἵν'* **BQ**: *οἷς ἵν'* **D** *οἷ οἷν* **E** 22 *ἄλλως* om. **D** ‖ sch. 123c ante 19 *Ὅμηρος* **C** ‖ *τοῦ Γαν(ν)υμήδους* **CQ** (*Γανν-* et **DE**) 24 post *ἐγένετο* repet. 112. 114 **Q**; seq. 119. 122 b 25 *τέλος* subscr. **Q**

## Scholia in Olympionicarum carmen XI.

ABCDE Τῷ αὐτῷ τόκος.

BDEQ Τοῦ ια΄ εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ϛ΄, ἡ δὲ ἐπῳδὸς κώλων ι΄. τὸ α΄ ἰαμβέλεγος τῆς τελευταίας εἰς τὴν ἀρχὴν μετατεθείσης. τὸ β΄ ὅμοιον τῷ α΄ παρὰ τὴν τελευταίαν συλλαβήν. τὸ γ΄ τὸ αὐτὸ παρὰ τὸν τελευταῖον πόδα. τὸ δ΄ μικτὸν ἐκ διμέτρου τροχαϊκοῦ καὶ ἡμίσεος ἔπους. τὸ ε΄ τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον εἰς ἴαμβον Πινδαρικῷ ἔθει. τὸ ϛ΄ ἰαμβέλεγος.

ἡ δὲ ἐπῳδὸς κώλων ι΄. τὸ α΄ ἐγκωμιολογικόν. τὸ β΄ δίμοιρον ἔπους. τὸ γ΄ ἰαμβέλεγος παρὰ τὴν πρώτην συλλαβήν. τὸ δ΄ τροχαϊκὸν τρίμετρον καταληκτικόν. τὸ ε΄ τὸ αὐτό. τὸ ϛ΄ Εὐριπίδειον. τὸ ζ΄ ἐγκωμιολογικὸν ἐπιλαμβάνον. τὸ η΄ χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ θ΄ Εὐριπίδειον. τὸ ι΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

BCDEQ Inscr. a. τόκος ἐπιγέγραπται, ἐπειδὴ ἐν προσθήκης μέρει τελευταῖον γέγραφε, καθάπερ καὶ ἐπὶ τῶν δανεισμάτων τὸ προστιθέμενον ἐκτὸς τοῦ ἀρχαίου. τόκος δὲ κέκληται παρὰ
(B)CDEQ τὸ ἐπιτετέχθαι καὶ ἐπιγεγενῆσθαι τῷ ἀριθμῷ. b. τῷ αὐτῷ γέγραφεν ἐν προσθήκης μέρει διδοὺς ὡς ἂν τόκον διὰ τὸ μὴ παρὰ τὸν τῆς νίκης καιρὸν γεγραφέναι τὸν ἐπίνικον.

---

1 inscr. τόκος Q ἀρχὴ τόκου P 2 ἡ στροφὴ κώλων ϛ΄ καὶ ἡ ἀντίστροφος ὁμοίως E ‖ ἡ δὲ — 3 ι΄ om. DQ 2. 3 ἡ ἐπῳδὴ B, om. δὲ 4 τὴν (pr.) om. B ‖ κατατεθ. D μετατιθείσης E 6 τροχαίου BE 7 δίμετρον E ‖ ⟨λῆγον⟩ εἰς Beck εἰς ἴαμβ. καταλῆγον Tricl. 8 τὸ ϛ΄ ἰαμβικὸν τρίμετρον ἀκατάληκτον (βραχυκατ. Tzetzes, Pauw) ἢ ἰαμβέλεγος Q Tzetzes v 9 ἡ δὲ ἐπῳδ(ὸς) Qv: ἡ ἐπῳδ(ὸς?) B καὶ ἡ ἐπῳδὴ D τῆς ἐπῳδοῦ, om. κωλ. ι΄ E 11 δίμετρον Q$^{s}$ (del.) 12. 13 ἐπιλαμ΄νον E ἐπιλαμβάνονται δὲ αὐτοῦ διὰ τὸν δάκτυλον cod. Trichae; similiter Tricl. 13 χοριαμβικὸν Tricl., b: χορίαμβον DE$^{ac}$ χορίαμβος BE$^{pc}$GQ ‖ βραχυκατ. EQ$^{ac}$ 14 ἀκάτ.] om. Dh ὑπερκ. G 15 τῷ αὐτῷ praem. B τῷ αὐτῷ τόκος praem. v ‖ ἐπιγέγραπται C: γέγραπται BDEQ 16 post γέγραφε inseruit 19 διδοὺς — 20 ἐπίνικον B 17 κέκληται BE: λέγεται CD γέγραπται Q 18 ἐπιτετέχθαι Q?v: ἐπιτετάχθαι ‖ ἀριθμῷ CDEQ: ἀριθμῷ τοῦ δανείσματος Bv 18—20 post l. scholii 1c habent DEQ; hic om. B, cfr. ad 16 19 γέγραφεν scripsi: δὲ γέγραφεν C γέγραπται DEQ (τῷ αὐτῷ — μέρει om. B) 20 ἐπίνικον BCQ: ἐπινίκιον DE

1 a. *ἔστιν ἀνθρώποις*: ὁ λόγος· καιρός ἐστι τοῖς ἀν- A θρώποις ὅτε χρεία γένηται ἀνέμων, ὅ,τι ἐπὶ τῶν πλεόντων μάλιστα συμβαίνει, καὶ γεωργοῖς ὄμβρου· τότε δηλονότι ἐπινίκων ὕμνων καὶ ἐγκωμίων . . . b. . . . . . ἄλλο ἔστι δὲ ὅτε καὶ τοῖς γεωργοῖς ὀμβρίων ὑδάτων γένηται.

1 c. *ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλείστα χρῆ-* BCDEQ *σις*: ἔστι καιρὸς τοῖς ἀνθρώποις, φησὶν, ὅτε πλείστη χρεία γίνεται ἀνέμου, | οἷον ἐπὶ τῶν πλεόντων μάλιστα συμβαίνει· BCEQ ἔστι δὲ ὅτε καὶ οὐρανίων ὄμβρων τοῖς γηπονοῦσι χρεία· οὕτω δηλονότι καὶ τοῖς ἀθληταῖς ἐγκωμίων. d. ἄλλως· EQ ἔστιν ὅτε τοῖς ἀνθρώποις πολλὴ χρεία ἐστὶν ἀνέμου, | οἱονεὶ DEQ τοῖς πλέουσι, καὶ ἔστιν ὅτε πλείστη χρεία ἐστὶν ὄμβρων καὶ ὑετῶν, οἱονεὶ τοῖς γηπονοῦσιν.

2. *ἔστι δ' οὐρανίων*: ἔστι δὲ καὶ ὅτε οὐρανίων ὑδά- A των τοῖς γεωργοῦσιν. 4 fin.

3. *παίδων νεφέλας*: παῖδας νεφελῶν τοὺς ὄμβρους A φησίν.

4 a. *εἰ δὲ σὺν πόνῳ τις*: εἰ δὲ φιλοπονήσας τις εὐ- A τυχοίη. b. εἰ δέ τίς, φησι, μὴ κατὰ κενὸν πονήσει. c. εἰ δὲ διὰ τῶν πόνων ἀθλήσας νίκης τύχοι, τούτῳ μάλιστα χρεία τῶν ὕμνων· οὗτοι γὰρ αὐτῷ ἀρχὴν ποιοῦνται τῶν ὕστερον ἐσομένων περὶ αὐτοῦ λόγων· διὰ γὰρ τοὺς ὕμνους καὶ οἱ ὕστερον μνημονεύουσι τῶν προγενεστέρων, καὶ ὡσανεὶ ὅρκος πιστὸς, οὕτως καὶ ⟨οἱ⟩ ὕμνοι διασώζουσιν αὐτῶν τὴν ἀρετήν. (3)

4 d. *εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι*: εἰ δέ τίς, BDEQ φησι, μὴ κατὰ κενὸν πονήσει, διὰ δὲ τῶν πόνων ἀθλήσας

---

1 sch. 1 a et b cum sch. O. X coniunxit **A** 3 *ὄμβρον*: ego || *τότε*] *οὕτω* Schroeder 4 lac. indicavi || *ἄλλο* corruptum 5 *ὅτι*: ego 6 l. om. **C** || *ἀνέμων — χρῆσις* om. **DEQ**, inserto sch. Inscr. b (cfr. ad 342, 18) 7 *ἔστι* **B**: *ὁ δὲ λόγος· ἔστι* **CDEQ** || *φησὶν* om. **CEQ** 8 *γένηται* **Q** (cfr. **A** 2. 5) 9 *καὶ ὅτε* **CE** || *γηπόνοις* **V** (**B** legi nequit) 15 post *γεωργοῦσι* (sic **A**pc) hab. 24 *καὶ ὡσανεὶ* — 25 *ἀρετήν* **A** 18. 19 *εὐτυχείη* **A**1 19 *κενὸν πονήσει* **V** (4 d): *καιρὸν πονήσῃ* **A** 20 *ἀθλήσας* **V**: *ἀσκήσας* **A** || *τύχοι* **V**: *τύχῃ* **A** 24 sq. cfr. ad 15 24 *οἱ* addidi 26 *τις εὖ πράσσοι* om. **DEQ** || *εἰ* — p. 344, 1 *ὕμνων* bis hab. **EQ** 27 *κατάκενον* **Q** | *πονήσει* **BE**b**Q**b**D**cp: *ποιήσει* **E**apc**Q**a corr *ποιήσῃ* **E**aac

τοῦ ἀθλήματος τῆς νίκης τύχοι, τούτῳ προσδεῖ τῶν ὕμνων· οὗτοι γὰρ αὐτῷ ἀρχὴν ποιοῦνται τῶν ὕστερον ἐσομένων BCDEQ περὶ αὐτοῦ λόγων. 4[f]BE[b]Q[b] e. ἄλλως· εἰ δέ τις πονήσας εὐτυχῆ πράσσοι καὶ νικήσει, τούτῳ οἱ ἡδεῖς οὗτοι ὕμνοι τῶν ὕστερον ἐπαίνων ἀρχὴ γίνονται καὶ πρόφασις· ἀντὶ τοῦ οἱ ὕμνοι οὗτοι αἴτιοι γίνονται τοῦ καὶ αὖθις μνημο-B(C)EQ νεύεσθαι τοῦ νικηφόρου τὰ κατορθώματα, | τῶν ὕστερον μετὰ ταῦτα λόγων ἤτοι ἐπαίνων μελλόντων λέγεσθαι τοῦ ὕμνου τὴν ἀρχὴν καὶ τὴν πρόφασιν διδόντος. 6B 4[d]E[b]Q[b]

BDEQ 4 f. μελιγάρυες: ἐπειδὴ ἡδυτάτοις μέλεσιν ἐχρήσατο.

BEQ g. ἄλλως· μελιγάρυες ὕμνοι, φησί, τῶν ὑστέρων λόγων ἀρχή εἰσι. δι' αὐτοὺς γὰρ καὶ οἱ ὕστεροι μνημονεύουσι τῶν προγενεστέρων. h. ἢ ταῖς ἀρεταῖς οἱ ὕμνοι συνηρμοσμένοι εἰσὶ τῶν ὑμνουμένων. 4[e]B 7[b]E

A 5. τέλλεται: ἀντὶ τοῦ τέλλονται οἱ ὕμνοι· ἑνικὸν ἀντὶ πληθυντικοῦ.

A 6 a. καὶ πιστὸν ὅρκιον: σύνθημα. ὁμολόγημα. δύναταί τις ὀμόσαι νενικηκέναι τὸν Ἀγησίδαμον ἀκούων τοῦ ὕμνου. b. ἄλλως· οἱ ὕμνοι πιστὸν ὅρκιόν εἰσι τῶν ἀρετῶν· οὐ γὰρ ἀπολείπουσιν αὐτοὺς οὐδέποτε συμπαρόντες, ἀεὶ δὲ μνείαν πορίζουσιν αὐτοῖς.

BCDQ 6 c. καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς: οἱ ὕμνοι. οὐ γὰρ ἀπολείπουσιν αὐτοὺς παρόντες, ἀλλ' ἀεὶ μνείαν αὐτοῖς πορίζουσιν. 7[b]Q

AEQ 7 a. ἀφθόνητος δ' αἶνος: ἀφθόνητος ὁ ὕμνος ἐστὶν ἔπαινος καὶ ἀνάκειται τοῖς Ὀλυμπιονίκαις. 8Q 15E

---

1 προσδεῖται ὕμνων Q[a]v 2 αὐτῶν DE 2. 3 ἐσ. περὶ αὐτοῦ DEQ: πρὸς αὐτὸν καὶ περὶ αὐτοῦ ἐσ. Bv 3 ἄλλως] εἰ δὲ σὺν πόνῳ C id. add. E 4 εὐτυχῆ CDEGQ: εὖ B ‖ πράσσει CQ[corr]b ‖ νικήσοι Gv ‖ ὕμνοι οὗτοι Bv 5 τῶν ἐσύστερον Bv ‖ ἐπαίνων] τερμόνων r ‖ ἀντὶ — 6 γίνονται om. C 6 τοῦ (alt.) om. E 8 μελλόντων om. Q ‖ λέγεσθαι] γενέσθαι E 10 l. om. B ‖ ἐπειδὴ δὲ Bv, om. 11 ἄλλως 12 ἀρχαί Bv ‖ γὰρ om. E ‖ ὕστερον Q ‖ μνημονεύουσι A (4c; malebat iam Beck): μνημονεύονται V 13 προγενεστέρων B[s](A): μεταγενεστέρων B[i]EQ 22 l. B: πιστὸν ὅρκιον CDQ ‖ οἱ ὕμνοι CQ: ἀντὶ τοῦ οἱ ὕμνοι Bv om. D 25 sqq. sch. 7a et b trp. EQ 25 l. A: ἄλλως EQ 25 sq. ἀφθ. — ἀνάκειται scripsi: ἀφθ. ὕμνος ἐστὶ καὶ ἔπ. ἀν. A ὁ (om. Q) ὕ. ἀφθ. ἐστιν ἔπ. καὶ ἀν. EQ

b. ἄλλως· καὶ τὸ μέγιστον, ὅτι ἀλλότριος τῶν διὰ φθόνον ἐπιβουλευόντων ὁ ὕμνος ἐστίν· εἰκόνα μὲν γὰρ καὶ ἄγαλμα καθέλοι ἄν τις διὰ φθόνον, ὕμνον δ' οὐκ ἂν ἀφανίσειεν. 7ª EQ ABCDEQ

8. τὰ μὲν ἁμετέρα γλῶσσα: ταῦτα οὖν τὰ κατορθώματα καὶ τὰ ἐγκώμια τῶν ἐν Ὀλυμπίᾳ νενικηκότων καὶ ἡ ἡμετέρα γλῶσσα καὶ Μοῦσα περιέπειν καὶ ἀνυμνεῖν βούλεται. B(C)DEQ

9. γλῶσσα ποιμαίνειν θέλει: προστατεῖν, φησίν, ἡ γλῶσσά μου τῶν Ὀλυμπιονικῶν θέλει καὶ κατορθοῦν καὶ ἀνυμνεῖν τὰ κατορθώματα τῶν νικησάντων. A

10 a. ἐκ θεοῦ ἀνήρ: καὶ ἡμεῖς, φησι, καὶ οἱ ὕμνοι καὶ οἱ ἐγκωμιάζοντες τῆς τῶν θεῶν ἐπινοίας δεόμεθα. A

10 b. ἐκ θεοῦ δ' ἀνήρ: κατὰ δὲ βούλησιν δαιμονίου ἴσως καὶ τῷ αὐτῷ τρόπῳ σοφὸς διαπαντὸς ἀνθεῖ ταῖς γνώμαις. c. ἀπὸ γὰρ θείας μοίρας μουσικός τις καὶ ἔξοχος λάμπει ὁμοίως ὥσπερ καὶ σὺ νενίκηκας. τοῦτο δὲ πρὸς τὰ ἴδια ἐγκώμια κατασκευάζει, λέγων ἑαυτὸν διαπαντὸς σοφῶς φράζειν. BCDEQ

11. ἴσθι νῦν Ἀρχεστράτου παῖ: ἴσθι δὴ οὖν καὶ γίνωσκε, ὦ Ἀγησίδαμε, ὅτι τῆς σῆς πυγμῆς ἕνεκεν τὸν κόσμον τὸν διὰ τοῦ στεφάνου κελαδήσω. λέγει δὲ, τὸν ὕμνον ἀναβοήσω τῆς καλλιστεφάνου ἐλαίας. 14 DEQ BDEQ

13 a. κόσμον ἐπὶ στεφάνῳ: τὸν ὕμνον λέγει. CDEQ

13 b. ἐλαίας: λείπει τὸ δεξάμενον. A

c. παρεῖται δέ τι εἰς τὸ τοῦ λόγου πλῆρες· πληρωθείη ABCDEQ

---

1 ἄλλως A: om. B ἀφθόνητος (-ατος E) δ' αἶνος (C)DEQ ‖ ἀλλότριον AC[1] 2 εἰκόνα CDEQ: εἰκόνας Bv εἰκὸς(?)A[cp] ‖ γὰρ om. E 3 ἄγαλμα A: ἀγάλματα V ‖ διὰ φθόνον om. E ‖ δ' οὐκ scripsi: οὐκ A δὲ ῥηθέντα οὐκ V ‖ ἂν (alt.) A: ἄν τις V 3.4 ἀφανίσοι s. -σῃ V 5 l. om. DQ 6 καὶ (alt.) om. C 9 προστατεῖν ego: προστάττει 10 κατορθοῦν] ft. περιέπειν 13 ft. ἐγκωμιαζόμενοι 14 δαίμονος Qb 15 τῷ αὐτῷ Hartung: αὐτῷ τῷ codd.; unde ὁμοίως in textu fuisse cj. Leutsch (Gött. gel. Anz. 1861, p. 1549), praeeunte Hartungio (ὁμῶς) 17 ὁμοίως — νενίκηκας om. D ‖ ὁμοίως· ὥσπερ δὲ σὺ E; ὁμοίως ut l. rubr. subd. C 18 ἐγκώμια om. DQ ‖ σοφὸν E 20 l. om. D ‖ παῖ om. E ‖ δὴ om. D 21 ὅτι om. Q ‖ ἕνεκε EQ 21. 22 κόσμῳ E 26 παρεῖται δέ τι V: παραπήζει A[ac] -παίζει A[pc]

δ' ἂν οὕτως· χρυσέας ἐλαίας κόσμον σε δεξάμενον κελαδήσω τοὺς Ἐπιζεφυρίους Λοκροὺς φροντίδος ἀξιῶν διὰ σέ. 16 D E 15 Q

ADEQ 14 a. κόσμον ἀδυμελῆ κελαδήσω: κελαδήσω τὸν ὕμνον σου τῆς νίκης τῶν Ἐπιζεφυρίων Λοκρῶν φροντίδα
A ποιούμενος καὶ μνήμην. b. ἔθνη δὲ γ' Λοκρῶν· Λοκροὶ οἱ Ἐπιζεφύριοι οἱ ἐν τῇ Ἰταλίᾳ· Λοκροὶ Ὀζόλαι οἱ ἐν τῇ Αἰτωλίᾳ· Λοκροὶ οἱ Ἐπικνημίδιοι οἱ ἐν τῇ Εὐβοίᾳ· ὅθεν Αἴας ὁ Ὀιλέως ὑπῆρχε καὶ τὴν ἐπωνυμίαν ἔσχε τὴν τοῦ
BC(D)EQ Λοκροῦ. c. γένη δὲ καὶ ἔθνη τῶν Λοκρῶν εἰσι τρία, Ἐπιζεφύριοι, Ὀζόλαι, Ἐπικνημίδιοι. τούτων οἱ μὲν Ἐπιζεφύριοί εἰσιν ἐν τῇ Ἰταλίᾳ, οἱ δὲ Ὀζόλαι πρὸς τῇ Αἰτωλίᾳ, οἱ δ' Ἐπικνημίδιοι πρὸς τῇ Εὐβοίᾳ, ὅθεν Αἴας ὁ Ὀιλέως. 13 DEQ

A 15 a. ἀλέγων: ὑμνῶν. καὶ Ἀλκαῖος (fr. 58; sed potius Alcm. 23, 2)· οὐκ ἐγὼ Λύκον ἐν Μούσαις ἀλέγω. παρὰ τὸ ἀλέγειν καὶ φροντίδα ποιεῖν. b. ὁ δὲ λόγος οὗτος· τὴν Ἐπιζεφυρίων γενεὰν ὑμνῶν ὅπου συγκωμάζονται μέν σε ἐγγυήσομαι ἀφίξεσθαι εἰς στρατὸν μήτε ἄξενον μήτε καλῶν ἄπειρον. 19

EQ 15 c. ἀλέγων: ἐν φροντίδι ἔχων. μεμνημένος. ἀνυμνῶν. 8 E

A 16 a. ἔνθα συγκωμάξατ'· ἐγγυάσομαι: ἐκεῖ δὲ συγχορεύσατε, ὦ Μοῦσαι· ἐγγυῶμαι γὰρ ὑμῖν μηδαμῶς τὸν

---

5 sch. A *B* 527

---

1 σε κόσμον δεχόμενον V  2 Λοκροὺς φρ. ἀ. C: λόγους φρ. ἀ. A φρ. ἀ. Λοκροὺς BDEQ  3 l. V (κόσμον om. D): Ζεφυρίων Λοκρῶν A  3.4 κελαδήσω δὲ τ. κόσμον τῆς ν. σου V  4 Ἐπιζ. om. V  5 ποιουμένων E  6 ὀζόλαιοι οἱ ‖ ἐν] πρὸς Schroeder; item 7  7 Αἰτωλίᾳ V: Ἰταλίᾳ A  8 ὁ Ὀιλέως V: Ὀιλέως $A^{ac}$ ὁ Ἰλέως $A^{pc}$  9 δὲ καὶ ἔθνη τῶν CDEQ: γὰρ Bv  10 οἰζῆλαι D ὀξόλαι E  11 εἰσιν C(D)EQ: εἰσι Λοκροὶ Bv ‖ ὀξόλαι E ‖ πρὸς τῇ] ἐν C(D)  12 Εὐβοίᾳ C(D)Q: εὐβοίδι BE  12.13 Αἴας ὁ Ἰολ. E Αἴας Ὀιλ. C ὁ Αἴας ὁ Ἰλ. DQ ὁ Ἰολ. Αἴας B (ft. rectius)  15 Λύκαισον ἐν καμοῦσιν Alcman  17 συγκωμάζονται αἱ Μοῦσαι Mommsen suppl. p. 153; id. ὑμᾶς vel αὐτὸν v. αὐτὴν excidisse cj. Potius συγκωμάζετε ὦ Μοῦσαι  18 ἐγγυήσωμαι: Mommsen ibid. ‖ ἀφανίζεσθαι: id. ibid.  23 ἡμῖν: b

στρατὸν αὐτῶν καὶ τὸν δῆμον κακόξενον εἶναι καὶ μὴ χαίροντα μουσικῇ. 20

16 b. ἔνθα συγκωμάξατε: ἐν ταύτῃ τῇ Λοκρίδι τῶν Ἐπιζεφυρίων συγκωμάσατε καὶ συγχορεύσατε, ὦ Μοῦσαι· ἐγγυήσομαι δὲ ἀφίξεσθαι ὑμᾶς πρὸς στρατὸν μὴ ἄξενον μηδὲ καλῶν ἄπειρον, | ἀλλὰ πάντων καλῶν πεπειραμένον. 19ᶜ B BCDEQ DEQ

17. φυγόξενον: φυγαδεύοντα τοὺς ξένους. κακόξενον. B

19 a. ἀκρόσοφον δὲ καὶ αἰχμητὰν ἀφίξεσθαι: τουτέστιν εἰς ἄκρον ἐληλυθότα σοφίας. 16 A

19 b. ἀκρόσοφον: τὸν ἐπ' ἄκρον ἰόντα σοφίας. 20 B BC

19 c. τὸ γὰρ ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ: τὸ γὰρ ἦθος τὸ ἐκ τῆς φύσεως οὐκ ἂν μεταβάλοι οὔτε ἡ δολία ἀλώπηξ οὔτε οἱ φοβεροὶ λέοντες. τοῦτο δὲ ὡς φύσει ὄντας αὐτοὺς πρὸς ἀρετὴν ἐπιτηδείους καὶ οὐχ οἷόν τε μεταβληθῆναι αὐτούς. διὰ τοῦτο οὖν, φησι, καὶ ἐγγυῶμαι αὐτούς. BCDEQ

d. ἄλλως· τὸ γὰρ ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ: τούτοις ὑπακουστέον ὅτι οὐδὲ οἱ Λοκροὶ τὸ συγγενικὸν μετέβαλον, ἀλλ' ⟨εἰσὶν⟩ ὡς ἀπ' ἀρχῆς αἰχμηταὶ τῶν προδεδηλωμένων ἀρετῶν μετέχοντες ἐκ φύσεως. e. ὥσπερ οὖν ὁ λέων οὐ μεταβάλλει τὸ γενναῖον οὔτε ἡ ἀλώπηξ τὸ σοφόν, οὕτως οὐδὲ οἱ Λοκροὶ τὸ ἔμφυτον ἦθος μεταβάλλονται. 17 B

20 a. οὔτ' αἴθων ἀλώπηξ: πανοῦργον ζῷον ἡ ἀλώπηξ· ὁ δὲ λέων δυναμικώτερος· ἀλλ' οὐκ ἀλλάξει τὸ ἦθος τὸ ἔμφυτον. A

20 b. αἴθων ἀλώπηξ: διάπυρος. c. δολία τῇ διανοίᾳ. d. ἡ αἴθων, παρόσον λαμπουρὶς καλεῖται. B(C)Q

---

25 Ap. soph. 13, 27. Hesych. EM 32, 33. Zon. 68

---

1 καὶ (pr.) ego: ἢ 3 l.] ἔνθα συγκόμαξά τ' ἐγκνάσομαι E ταύτῃ BC: ταύτῃ οὖν DEQ ‖ τῶν om. EQ 5 ἄξενον CDEGQ: ἄξενον ἤτοι κακόξενον Bv ‖ μήτε Beck 6 ἄπειρον B: ἀπείρατον CEG ἀπείρητον DQ 8 ἄκρα· σοφὸν A 10 τῆς σοφίας C 11 οὔτ' αἴ. ἀλ. om. CDEQ 12 ἐκ τῆς φύσεως] τῆς ἐκφράσεως EK$^{ac}$ ‖ οὔτε] οὕτως E 12. 13 ἡ διάπυρος ἀλ. C, add. frust. sch. 20b 13 οὔτε] ἤτοι E 15 αὐτούς om. h 16 l. om. B 16. 17 τούτοις om. D 17 συγγ. τὴν ἀνδρείαν μετ. D 18 supplevi ex A (sch. 21) τῶν — 19 φύσεως om. C 20 οὔτε BD: οὕτως E οὐδ(ὲ) CGQb 21 οὐδ(ὲ) BC: οὔτε DEQ ‖ ἦθος BQ: ἔθος E πῶς D om. C ‖ μεταβάλλουσι C 25 sq. de C cfr. ad 12. 13 26 καλ. ἡ ἀλώπηξ Q

A 21. *οὐδ' ἐρίβρομοι λέοντες:* καὶ τούτοις ὑπακουστέον ὅτι οὐδὲ οἱ Λοκροὶ τὸ συγγενικὸν μεταβεβλήκασιν, ἀλλ' εἰσὶν ὃν τρόπον ἐξ ἀρχῆς αἰχμηταὶ καὶ τῶν προδεδηλωμένων ἀρετῶν μετέχοντες ἐκ φύσεως καὶ ἀπ' ἀρχῆς [οἱ] τοιοῦτοι.

DPQ τέλος τόκου.

---

## Scholia in Olympionicarum carmen XII.

AC Ἐργοτέλει Ἱμεραίῳ δολιχεῖ καὶ Ἴσθμια καὶ Πύθια.

BDEFQ Ἐργοτέλει Ἱμεραίῳ δολιχοδρόμῳ Πύθια καὶ Ἴσθμια, νικήσαντι τὴν οζ' Ὀλυμπιάδα. sch. inscr. B

BDEQ Τοῦ ιβ' εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων θ'. τὸ α' ἰαμβέλεγος λειπούσης τῆς πρώτης συλλαβῆς [ἢ τοῦ τέλους μετακειμένου ἐπὶ τὴν ἀρχήν]. τὸ β' ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ γ' προσοδιακὸν δίμετρον ἀκατάληκτον. τὸ δ' τροχαϊκὸν τρίμετρον καταληκτικὸν ὅμοιον τῷ (Archil. fr. 99) Ζεῦ πάτερ, γάμον μὲν οὐκ ἐδαισάμην. τὸ ε' Πινδαρικὸν ἐκ Στησιχορείου τρίμετρον ἀκατάληκτον. τὸ ς' ἰαμβέλεγος τοῦ τέλους ἐπὶ τὴν ἀρχὴν μετακειμένου. τὸ ζ' Εὐριπίδειον. τὸ η' προσοδιακὸν δίμετρον ὑπερκατάληκτον. τὸ θ' Εὐριπίδειον.

ἡ δὲ ἐπῳδὸς κώλων ι'. τὸ α' ἐγκωμιολογικόν. τὸ β' δακτυλικὸν τρίμετρον καταληκτικόν. τὸ γ' Εὐριπίδειον.

---

4 *μετέχον* $A^{ac}$ ‖ *οἱ* seclusi 6 *Ἐργοτελεῖ* etc. ubique A ‖ *καὶ Ἴ. καὶ Π.* om. C 7 *Ἐργοτέλη* $B^{i}$ 7. 8 *νικήσαντι — Ὀλυμπιάδα* om. DQ 8 *τὴν* om. B ‖ *ο[ζ']* $F^{1}$ (ras.) *πη'* $F^{2}$. Cfr. pap. Oxyrh. CCXXII, 1, 22 ‖ *Ὀλυμπιάδ(α)* B 10. 11 delevi (ignorare vid. Tzetzes) 11 *κατακειμένου* Qv (corr. Beck) 12 *προσοδ.*] *ἀνακλώμενον πρ.* D ‖ *προσοδικὸν* B ubique, E passim 13 *καταληκτικὸν*] *ἀκατάληκτον* DE ‖ *ὅμοιον — 14 ἐδαισάμην* om. D 13 *ὅμοιον* B: *ὁμοίως* E lac. Q 14 *τῷ*] *τὸ* Q ‖ Ζεῦ EQ: ὦ Ζεῦ B ‖ *ἐδαισάμαν* E 15 *Στησιχορείου* ego (Tzetzes, Tricl.): *Στησιχόρου* 16 *κειμένου* D 17. 18 *καταληκτικόν* $B^{ac}$ 19 *ἡ δὲ* EQ: *ἡ* Br *καὶ ἡ* D ‖ *ἐπωδὴ* DQ ‖ *ι'*] *η'* E 20 *ἀκατάληκτον* Q Tzetzes Tricl., item Beck

τὸ δ´ ἀναπαιστικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ε´ προσοδιακὸν καὶ συλλαβή. τὸ ς´ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ζ´ ἰαμβέλεγος τῆς πρώτης ἀφῃρημένης [ἢ τοῦ τέλους μετακειμένου]. τὸ η´ Πινδαρικὸν ἀπὸ Στησιχορείου. τὸ θ´ Στησιχόρειον. τὸ ι´ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. 1 B

Inscr. a. Ἐργοτέλει: Ὀλυμπιάδα μὲν ἐνίκησεν οζ´ καὶ A τὴν ἑξῆς οθ´, Πυθιάδα δὲ κε´ καὶ Ἴσθμια ὁμοίως. αὐτὸς δὲ ὁ Ἐργοτέλης ἦν μὲν τὸ γένος Κρὴς Κρώσιος· φυγαδευθεὶς δὲ ἐντεῦθεν ἀπῆλθεν εἰς Ἱμέραν πόλιν τῆς Σικελίας, ἐξ ἧς ἦν ὁ Στησίχορος ὁ μελοποιός, καὶ πολίτης γραφεὶς ἐνταῦθα ἤθλησεν. διὰ δὲ τοῦ προοιμίου εὔχεται ἀεὶ τὴν Ἱμέραν ἐλευθέραν εἶναι καὶ ἀνυπότακτον ἄλλοις. φανερὸν δὲ ⟨ὅτι⟩ καὶ διὰ τοῦτο τὴν Τύχην προσαγορεύει [καὶ] Διὸς ἐλευθερίου παῖδα, ἣν καὶ παρακαλεῖ ἀμφιπολεῖν τὴν Ἱμέραν.

Inscr. b. Ἐργοτέλης Κρὴς μὲν ἦν τῷ γένει πόλεως BCDEQ Κνωσσοῦ, ὃς ἠγωνίσατο ἑβδομηκοστὴν ἑβδόμην Ὀλυμπιάδα καὶ τὴν ἑξῆς Πυθιάδα εἰκοστὴν ἐννάτην. στασιαζομένης δὲ τῆς πόλεως φυγὰς εἰς Ἱμέραν πόλιν Σικελιωτικὴν ἀπῆλθε, καὶ καταλαβὼν πάλιν τὰ ἐν Σικελίᾳ πράγματα στασιαζόμενα πρὸς Γέλωνος καὶ Ἱέρωνος, ἐκδεξάμενος εἰρήνην ἐνίκησε.

---

1. 2 *προσοδιακὸν*] *πρ. δίμετρον* Pauw   3. 4 seclusi; ignorat Tzetzes   4 *παρακειμένου* **D** ‖ *η´*] *ο´* **E** ‖ *Στησιχορείου* Tzetzes (Tricl.): *Στησιχόρου*   8 *οθ´*] *κθ´* ⟨*Πυθιάδα*⟩ **b** *οη´* Mommsen suppl. p. 155. Sed Ergotelem Ol. 78 non vicisse constat ex Pap. Oxyrh. CCXXII; ut de loco emendando desperand. vid. *οθ´* ex *κθ´* ortum vid. ‖ *κε´* **A**: ⟨*καὶ*⟩ *κε´* **b** *κθ´* Mommsen ibid.   9 *Κρῆς* **A**$^{pc}$   12 *ἠθέλη(σεν)*: **b** ‖ *εὔχεσθαί*: **b**   14 suppl. **b** ‖ *προσαγορεύειν*: **b** ‖ *καὶ* del. **b**   15 *ἀμφίπυλιν*: **b**   17 — p. 350, 2 cfr. Thom. p. 376, 21   17 l. nullum **BD**: *λίσσομαι* **C** *λίσσομαι* (*ψὲ λίσσομαι* **Q** *θελίσσομαι* **P**) *παῖ Ζηνὸς ἐλευθερίου* **EPQ** ‖ *Ἐργο////τέλη* **E** (ras.) ‖ *Κρητικὸς* **D**   18 *Κνώσσης* **E**   19 *δὲ* post *Πυθιάδα* add. Mommsen suppl. p. 155; id. *εἰκοστὴν* ⟨*πέμπτην καὶ εἰκοστὴν*⟩ *ἐννάτην* ‖ *στασιαζομένου* **E** ‖ *δὲ* om. **BEv**   20 *Σικελικὴν* **E**$^{ac}$   21 *πάλιν* **BCDQ**: *πόλιν* **Ev** om. Beck   22 *γενομένης καὶ ἐκδεξαμένης εἰρήνης* **b** (*ἐπεὶ εἰρήνη ἐγένετο* Thom.); an *ἐκδεξαμένης εἰρήνης*, cl. sch. O. II, 34 b. 39 b?

διὸ πρὸς τὴν Εἰρήνην ἀποτείνεται ἐν τῷ προοιμίῳ ὡς αἰτίαν γενομένην τῷ νικηφόρῳ τῆς νίκης. c. Ἱμέραν δὲ νῦν τὴν πόλιν αὐτὴν λέγει· ἔστι δὲ καὶ ποταμός. ἐκ ταύτης δὲ τῆς Ἱμέρας καὶ Στησίχορος ὁ μελοποιός. d. ἦν δὲ ὁ Ἐργοτέλης υἱὸς Φιλάνορος καὶ ἐπολιτογραφήθη ἐνταῦθα. metr. **B**

**A** 1 a. *Λίσσομαι παῖ Ζηνός*: καταλυθέντων τῶν περὶ Ἱέρωνα ἀθλήσας ἤδη ἐνίκησεν· ὅθεν τὸν ἐλευθέριον Δία .... ὡς τῶν Σικελιωτῶν κατελευθερωθέντων τῆς τυραννίδος.

**BCDEQ** 1 b. *Λίσσομαι παῖ Ζηνὸς ἐλευθερίου*: τὴν Εἰρήνην ἐλευθερίου Διὸς ὑποτίθεται θυγατέρα διὰ τὴν ἐνοῦσαν τοῖς εἰρηνεύουσιν ἐλευθερίαν. c. ἔστι δὲ ὡς τὸ (Hom. Α 37)· Χρύσην ἀμφιβέβηκας. d. ἱκετεύω οὖν σε, ὦ τοῦ ἐλευθερίου Διὸς παῖ Τύχη σώτειρα, περὶ τῆς μεγαλοσθενοῦς
**EHQ** πόλεως τῆς Ἱμέρας καλουμένης. e. [ἔστι δὲ] Ἱμέρα πόλις
**B** Σικελίας. *ἀμφιπόλει* δέ, περιπόλει. σῶζε. f. εὔχεται δὲ μὴ ὑποταγῆναι τὴν Ἱμέραν μηδενί.

**EQ** 4 a. *τίν*: σοί Δωρικῶς.

**BEQ** 4 b. *τὶν γὰρ ἐν πόντῳ*: διὰ σὲ γὰρ καὶ νῆες ἐν τῇ θαλάσσῃ ἰθύνονται. 5 **B** c. ἢ ὑπὸ σοῦ. d. διὰ τὴν τύχην φησὶ καὶ τὰς ἐν ἀνθρώποις ἐλπίδας ἐκκλείεσθαι. 7 **B**

**A** 4 e. *θοαὶ νᾶες*: ἐπεὶ καὶ αἱ νῆες τύχῃ τινὶ κινοῦνται. ὁμοίως δὲ καὶ αἱ δημηγορίαι γίνονται.

**BCDEQ** 5 a. *λαιψηροὶ πόλεμοι*: κοῦφοι καὶ ἀνόητοι· διὰ τὸ ἀνοήτως ποιεῖν ὁρμᾶν τοὺς μαχομένους. b. ἤτοι ὅτι

---

24 Lex. Bachm. 287, 17. Phot. λαιψηρόν.

---

3 νῦν om. **BN** ‖ τὴν om. **CDN** 8 ὅθεν ⟨λέγει⟩ **b** ‖ lac. indicavi 9 ὡς **A**: ἐπὶ **b** 10 sqq. cfr. Lehrs p. 118 sqq. 10 λίσσομαι om. **CDEQ** 13 Χρύσην δ' **E** 13. 14 τοῦ ἐλ. Δ. παῖ Τ. **CD(Q)**: τοῦ ἐλ. Δ. Τ. παῖ **E** τοῦ Δ. τοῦ ἐλ. παῖ Τ. **Bv** 14 Τύχα **v** ‖ σώτειρα] σώτειρα σώζουσα **Bv** 15 ἔστι δὲ om. **E**; seclusi 16 ἀμφὶ πόλιν δὲ περισώζει πόλιν **E** ‖ σῶζε **v**: σώζει 19 l. om. **EQ** ‖ γὰρ] γάρ φησι **Bv** 20 ἢ ὑπὸ σοῦ om. **Bv** 20. 21 τύχην οὖν φησι **Bv** 21 ἐκλύεσθαι **E** 22 ⟨ἐν⟩τύχῃ **b** 24 λαιψηροί τε πόλεμοι· τουτέστι **Bv** 25 ποιεῖν **BQ**: ποιεῖν καὶ **CDE** ‖ post ὁρμᾶν add. ἐν τῷ πολέμῳ **CD**; id. post μαχομένους add. **Qv**

ὀξέως ἡ ὀργὴ διανίσταται τῶν ἀνθρώπων, ἐξ ἧς ὁ πόλεμος. 8 B

6. αἴ γε μὲν ἀνδρῶν: ὃ ἄν τις ἐλπίζῃ, οὐκ εὐθέως A ἀποβαίνει, οὐδὲ εὐθυποροῦσιν αἱ ἐλπίδες, ἀλλὰ ποτὲ μὲν εἰς ὕψος φέρεται τὰ προσδοκώμενα ὡς τελευτηθησόμενα, ὁτὲ δὲ ῥίπτεται καὶ ταπεινοῦται.

7 a. πόλλ' ἄνω, τὰ δ' αὖ κάτω: πεπλανημένως. CDEQ

b. διὰ σὲ οὖν, ὦ Τύχη, πάντα γίνονται. αἱ γοῦν τῶν ἀν- BCDEQ θρώπων ἐλπίδες πολλάκις ἀντιστρόφῳ τῇ προσδοκίᾳ χρησάμεναι μάτην διεξῆλθον καὶ περισσῶς ἠλπίσθησαν. 10 B

8. ψευδῆ μεταμώνια τάμνοισαι: τὰ ψευδῆ μετα- ABCDEQ μώνια εἶπεν ἀντὶ τοῦ μετέωρα αἰρόμενα. τὸ δὲ τάμνοισαι ἀπὸ μεταφορᾶς τῶν νεῶν εἴληπται. | ὥσπερ γὰρ αἱ νῆες τρέ- A χουσιν, οὕτως καὶ αἱ τῶν ἀνθρώπων ἐλπίδες ἀνὰ πολλὰ πράγματα φέρονται καὶ κυλίονται τοῖς πονήμασι, καὶ οὐδὲν ὧν ᾠήθησαν ἀληθὲς εὑρίσκουσι. τοῦτο δὲ πρὸς τὸν ὑμνούμενον, ἐπεὶ φυγὰς γενόμενος καὶ νομίσας δυστυχεῖν ἐνίκησε παρὰ προσδοκίαν. $4^{d}$ B

10 a. σύμβολον: σύμβολον ἀρσενικῶς καὶ οὐδετέρως. ACDEQ

b. συμβόλους δὲ λέγομεν πταρμοὺς ἢ φήμας ἢ ἀπαντήσεις. ὡς Ἀρχίλοχος (fr. 44)· μετέρχομαί σε σύμβολον ποιούμενος.

---

19 Eust. Il. 805, 14. Phot. ξύμβολον. Suid. σύμβολον.

---

1 τῶν ἀνθρ. διανίσταται B v τῶν ἀνθρ. διαν. τῶν ἀνθρ. C
3 ἀνδρῶν] prius ν ex corr. || ἐλπίζῃ ego: ἐλπίζει A -ζοι b
5 προσδοκώμενα b: δοκώμενα 7 πεπλανημένα NP?Q
8 οὖν om. CQ || ὦ om. E 9. 10 χρησάμενοι E 10 ναύτην $E^1$ || ἠλπίσθη $E^1$ 11 l. om. B ψευδῆ om. A || τάμνοισαι ego: τάμνοι A om. V || τὰ — 12 εἶπεν] μάταια ψευδῆ ἀνεμώ(λια) τινὰ ἄττα (ex corr.) καὶ D 11 τὰ ψευδῆ ACEQ: ψευδῆ δὲ Bv 12 post εἶπεν add. διὰ τὸ, sed del. B || μετέωρα V: ψευδῆ μετέωρα A αἰρ. A: καὶ αἰρ. V || τάμνοισαι A: τάμνουσαι CDEQ τέμνουσαι Bv
13 νεῶν ACDQ: νηῶν BE || εἴρηται Q 14 τῶν] τῶν ἐλπίδων A; corr. b 15 πονήμασι scripsi: ποιήμασι A; τοῖς ποιήμασι del. b; τοῖς πήμασι cj. id. 18 παρ' ἀπροσδοκίαν
19 alterum σύμβολον om. V 20 συμβούλους A || δὲ A: γὰρ V || π(τ)αρμοὺς V: ἢ ἄρ (μ suprascr.) A || φήμας A: φωνὰς ἢ φήμας V 21 σύμβ. ποι. om. A || ποιοῦμαι C ποιουμένη Bv (cfr. ad 10d); probat b, Cererem loqui ratus

BCEQ 10 c. *σύμβολον δ' οὔπω τις ἐπιχθονίων πιστόν*: τοιγαροῦν, φησιν, οὐδεὶς τῶν ἀνθρώπων τεκμήριον ἢ σημεῖον δυνάμενον πιστώσασθαι περὶ τῶν ἐλπιζομένων πράξεων εὕρατο παρὰ θεοῦ, ὅτι πάντως ἐκβήσεται κατὰ τόνδε τὸν
BCDEQ τρόπον ὡρισμένως. d. ἄλλως· οὐδεὶς ἀνθρώπων πράξεως μελλούσης ἔσεσθαι πιστὸν εὗρε παρὰ θεῶν σημεῖον. Φιλόχορος δὲ (FHG I, 416) τὰς ἐκ φήμης μαντείας, τουτέστι κλη-
BCEQ δόνας καὶ πταρμοὺς σύμβολόν φησι λέγεσθαι· | χρήσασθαι δὲ αὐτοῖς πρώτην Δήμητραν. 14ᵇ B

A 10 e. *οὔπω τις ἐπιχθονίων*: οὐδεὶς ἀνθρώπων περὶ πράξεως μελλούσης ἔσεσθαι πιστὸν εὗρε παρὰ θεοῦ σημεῖον ἢ τεκμήριον ὅτι πάντως ἐκβήσεται κατὰ πάντα τρόπον ὡρισμένως εἰπεῖν.

A 13. *τετύφλωνται φραδαί*: ἀπροόρατοί εἰσιν αἱ γνώσεις καὶ ἀφανεῖς αἱ ἀποβάσεις.

BCDEQ 14 a. *ἔπεσεν ἔμπαλιν μὲν τέρψιος*: τὰ ἐναντία τῇ τέρψει, τουτέστι τὰ ἀηδῆ. 14ᵉ B b. καὶ γὰρ τοῖς ἕτερα τῆς γνώμης προσδοκῶσι τὰ ἐναντία συνέβη. τὸ δὲ ἔπεσεν ἀπὸ μεταφορᾶς τῶν κύβων. c. οἱ μὲν γὰρ τὰ ἐναντία ἢ ὡς προσεδόκησαν καὶ μετεῖχον τέρψεως εὕραντο· οἱ δὲ χαλεπαῖς καὶ δειναῖς πραγμάτων ζάλαις περιτυχόντες μέγιστον ἀγαθὸν αἰφνιδίως μετηλλάξαντο τοῦ προσδοκωμένου κακοῦ. πάντων δὲ τῶν προειρημένων ὁ σκοπὸς τὴν ἀναφορὰν εἰς

---

6 sch. Arist. av. 721. Hesych. Suid., Phot. ξυμβόλους.

---

1 l. B et (praem. ἄλλως, om. πιστόν) E: ἄλλως Q ἄλλως ἤτοι C 2 ἢ B (A 12): ὅ ἐστι CEQ 4 θεοῦ B (A ibid.): θεῶν CEQ 6 σῆμα Q 6. 7 Φιλόχορος BCQ: φιλήχου D φιλόχου E 8 πταρμοὺς CQ παρμοὺς DE: πταρμοὺς ἢ φωνὰς ἢ φήμας ἢ ἀπαντήσεις Bv (cfr. 10a) || σύμβολά v || λέγεσθαι· ὡς Ἀρχίλοχος· μετέρχομαί σε σύμβολον ποιουμένη Bv (cfr. 10a) 9 πρώτην B: πρῶτον 11 θεῷ || σημ(εῖον) A: σῆμα b 12. 13 ὡρισμέν(ως) 13 εἰπεῖν del.? 16 ἄλλως l. praem. Bv || ἔπεσεν om. BCDv || post τέρψιος add. τουτέστι Bv 17 τουτέστι] ἤτοι Bv || sch. 14b πολλὰ δ' ἀνθρώποις παρὰ γνώμην (-αν? B) ἔπεσε pro l. praem. Bv 18 τῇ γνώμῃ CD. An ἐσθλὰ τῇ γνώμῃ scrib.? 19 κύβων] κώμων E 20 ἐπροσεδόκησαν E 22 μετηλλάξαντο BE: ἀντηλλάξαντο CDQ || προσδοκουμένου Ev

τὸν Ἐργοτέλη ἔχει, ἐπειδὴ προσδοκήσας ἐκ τοῦ κατὰ Κρήτην πολέμου καὶ τῆς φυγῆς ἀδέξια τὰ μέλλοντα δι' εὐτυχίαν πολλὴν ὕστερον δόξαν ἐκτήσατο. 14ᵃB d. ἄλλως· τὰ ἐναν- EQ τία τῇ τέρψει, τουτέστι τὰ ἄδηλα καὶ ἀφανῆ ἀηδῆ.

e. ἄλλως· ἔνιοι δὲ ἐν ζάλαις καὶ πραγμάτων χειμῶσι γενό- BCEQ μενοι ἐν μικρῷ χρόνῳ μετήμειψαν καὶ μετήλλαξαν εἰς βαθὺ καὶ μέγα ἀγαθὸν παραγενόμενοι.

16 a. ἀντικύρσαντες: ἀντὶ τοῦ ἐντυχόντες ζάλαις καὶ A τρικυμίαις. b. ἔνιοι ἐν ζάλαις περιπεσόντες πραγμάτων καὶ χειμῶσιν ἐκομίσαντο ἐν μικρῷ χρόνῳ ἀντὶ τοῦ πήματος βαθὺ ἀγαθόν. ταύτην δὲ τὴν γνώμην λέγει πολλάκις ὁ Πίνδαρος, ὅτι παρὰ μὲν εὐτυχίαν κακὸν ἐμβαίνειν εἴωθε, παρὰ δὲ δυστυχίαν ἀγαθόν. καὶ γὰρ ὁ Ἐργοτέλης φυγαδευθεὶς καὶ ἐπὶ ἆθλον ἀγωνισάμενος ἐνίκησεν.

17. πήματος ἐν μικρῷ: λείπει ἡ ἀντί, ἵν' ᾖ ἀντὶ BEQ πήματος. τοῦτο δὲ εἶπε διὰ τὸν Ἐργοτέλη· | καὶ γὰρ οὗτος BDEQ ἐκ πημάτων τῶν περὶ τὴν ἀπόπτωσιν ἀγαθὸν ἔσχε τὴν νίκην.

19. υἱὲ Φιλάνορος: ὁ λόγος πρὸς τὸν Ἐργοτέλη υἱὸν A ὄντα Φιλάνορος. λέγει δὲ, προδεδηλωκὼς ⟨περὶ⟩ τῶν συμφορῶν ὅτι φιλεῖ μεταπίπτειν ἐξ ἀγαθῶν μὲν κακὰ, ἐκ κακῶν δὲ ἀγαθὰ, ὅτι καὶ Ἐργοτέλης εἰ μὴ ἐφυγαδεύθη, οὐκ ἂν ἠγωνίσατο.

20 a. ἅτ' ἀλέκτωρ: τὸν ἀλεκτρυόνα παρέλαβε διὰ ⟨τὸ⟩ A τὰς τῶν ἀλεκτρυόνων μάχας [καὶ] κατοικιδίας γίνεσθαι καὶ μηδὲν ἄξιον λόγου ⟨δρᾶν⟩ δημοσίᾳ.

---

1 τὸν Ἐργοτέλη B: τὸν Ἐργοτέλην C(D^cp)Q τὸ ἔργον τέλος E || ἔσχεν CD 3 ἐκτίσατο v (corr. Beck) 4 καὶ ἀφανῆ scripsi: καὶ ἀφ. καὶ Q om. E 5 ἄλλως om. B || ζάλῃ Bv || χειμῶσι πραγμάτων Bv 5. 6 γενόμενα E 6 ἐς B 7 καὶ μέγα ἀγαθὸν B (cfr. A 16 b): ἐσθλὸν (ἐσλὸν E) ἀντὶ τοῦ μέγα (C)EQ || παραγενόμενον E 8 ἐντυχόντες b: ἔτυχον 9. 10 καὶ πραγμ. Schroeder (V) 10 χειμῶσιν ἐκομίσαντο scripsi: χειμῶσι νενομισμέν(οις) 14 ἐπὶ A: ἔπειτα b. καὶ ἐπὶ ἆθλον corrupta vid. 15 l. om., δὲ post λείπει add. B || ἵν' ᾖ ἀντὶ B: ἀντὶ Q om. E 16 πημάτων E || τὸν Ἐργοτελῆ B: τὸν Ἐργοτέλην Qv τὸ ἐργοτέλ(ος) E 16. 17 ἐκ γὰρ τῶν π. D, om. καὶ γὰρ οὗτος 17 περὶ] παρὰ EQ || ἀγαθὴν E 19. 20 περὶ τῶν συμφορῶν scripsi: τῶν συμμαχίων A; del. b 20 μεταπίπτει: b 23 supplevi 24 καὶ delevi || ft. κατοικιδίους 26 μὴ δὲ ἄξιον λόγου δημοσίου: V

BCDEQ 20 b. *ἐνδομάχας ἅτ' ἀλέκτωρ*: τὸν ἀλέκτορα παρείληφε διὰ τὸ κατοικιδίους ποιεῖσθαι τὰς μάχας τὸ ζῷον τοῦτο καὶ μηδὲν λόγου ἄξιον δρᾶν δημοσίᾳ. θέλει δὲ εἰπεῖν ὅτι εἰ μὴ ἔφυγεν ἐκ τῆς πατρίδος, οὐκ ἂν ἐστεφανώθη. c. ἄλλως· τί οὖν, φησιν, ὦ τοῦ Φιλάνορος υἱὲ Ἐργότελες; καὶ ἡ σὴ τιμὴ ἀκλεὴς ἂν ἐγένετο καὶ ἀπεμαράνθη ἂν καὶ ἀπώλετο ἡ τῆς ὀξύτητός σου τῶν ποδῶν δόξα, εἴπερ ἐν τῇ τῶν προγόνων σου ἑστίᾳ παρέμεινας ἐκεῖ μόνον ἀγωνιζόμενος ὡς εἴ τις ἀλέκτωρ ἐνοικίδιος τοῖς ἔνδον ὄρνισι μαχόμενος, καὶ μὴ ἡ γεγενημένη στάσις καὶ ὁ πόλεμος ὁ ἐν τῇ πατρίδι σου τῇ Κνωσσῷ στερήσας σε ἦν τῶν οἰκείων καὶ ποιήσας ἀναχωρῆσαι τῆς πατρίδος, ὥστε δυνηθῆναι τὸν Ὀλυμπίασιν ἀγῶνα νικῆσαι.

DEQ 21 a. *συγγόνῳ παρ' ἑστίᾳ*: ἐν τῇ Κρήτῃ κατοικίδιον ἂν ἔσχε τὴν ἀρετήν.
CEQ b. *συγγόνῳ*, ἐν τῇ συγγενικῇ, τῇ ἀπὸ προγόνων· Κνώσσιος γὰρ ἦν. λέγει δὲ ὅτι καὶ τὸ δόξαν κακῶς γεγενῆσθαι, τὸ τῆς φυγῆς, τοῦτο αὐτῷ ἀγαθὸν προέβη.

A 22 a. *κατεφυλλορόησε ποδῶν*: τουτέστιν, ἡ ταχυτής σου ἐμαράνθη· ἀπὸ τῆς τῶν φύλλων φυλλοροήσεως. b. εἴπερ οὖν, φησι, μείνας ἦς ἐν τῇ πατρίδι, ἅτε ἐνδομάχης ἀλέκτωρ, οὕτως περιεῖδες ἂν φυλλοροοῦσάν σου τὴν ἀρετὴν, τουτέστι μαραινομένην. βούλεται δὲ εἰπεῖν ὅτι ἀπόδοξος ἂν ἦς.

A 24. *Κνωσσίας*: Κνώσσιος ὁ Ἐργοτέλης· διὰ δὲ στάσιν ἦλθεν .... ὅπου ἤθλησεν.

BCDEQ 25 a. *νῦν δ' Ὀλυμπίᾳ στεφανωσάμενος*: ἐκ δὲ ταύτης τῆς αἰτίας τῆς κατὰ τὴν φυγὴν στεφθεὶς ἐν Ὀλυμ-

---

3 μηδὲν **B**: μηδὲ **CDEQ** ‖ λόγον **E** ‖ δρᾷς **E** 4 ὅτι om. **CDQ** 8 ἐν τῇ **BEQ**[s]: ἐπὶ τῇ **CD** ἐπὶ **Q**[i] ‖ ἀπέμεινας **Q**, s. s. ἔτι 9 εἰ om. **Q** ‖ ἐνοικίδος **E** ‖ ὄρνισι Bothe II, p. 62: ὀρῶσι 10 μαχομένοις **E** ‖ στάσις **NQ**[pc]**b**: μετάστασις 11 τῇ (alt.) om. **CEQ** ‖ Κνωσῷ? **B** Κνωσσῶν **E** 12 ἀναχωρῆσαί σε **Qv** ‖ ὥστε — 13 νικῆσαι om. **C** 13 νικᾶν **v** 14 l. om. **D** 16 Κνώσιος **E** 17 post φυγῆς add. δηλονότι **v** ‖ αὐτὸ **ET** 21 ἦς ego, Schroeder: ἦν 21. 22 ἐνδομάχους 22 περιεῖδες ἂν ego, Schroeder: περιήδεσαν 26 lac. indicavi 27 l. om. **D** 28 αἰτίας **CDEQ**: αἰτίας φησὶ **Bv**

*πίᾳ καὶ ἐν Πυθίᾳ καὶ ἐν Ἰσθμῷ, τὰ θερμὰ ὕδατα τῶν Νυμφῶν ἐν τῇ Ἱμέρᾳ ὑψοῖς καὶ ἐπαίρεις τῇ δόξῃ.* 27 B

b. *βούλεται δὲ λέγειν ἀπὸ μέρους αὐτὴν τὴν πόλιν· τόπος γὰρ ἐν αὐτῇ τὰ θερμὰ λουτρὰ τὰ φυσικὰ ἔχων.* 28 BCDEQ

27 a. *θερμὰ Νυμφᾶν: ἀντὶ τοῦ ἐπαίρεις καὶ αὔξεις.* A

b. *ἀπὸ μέρους δέ φησι τὴν Ἱμέραν ἀντὶ τοῦ τὴν Σικελίαν, ὅτι ἐν Μεγάροις θερμὰ λουτρά ἐστιν, ἃ τῷ Ἡρακλεῖ φασι τὴν Ἀθηνᾶν ἀναδοῦναι ἵνα λούσηται, ὅτε τὰς βοῦς ἀπελαύνων Γηρυόνου παρεγένετο. τινὲς δὲ τὰς Νύμφας ἀναδοῦναι αὐτά, ὡς ὁ Πίνδαρος.*

27 c. *θερμὰ Νυμφᾶν: τὰ θερμὰ ἐν τῇ Σικελίᾳ τὰ* BCDEQ
*τῆς Ἱμέρας πόλεως λέγεται Ἀθηνᾶν ἀναδοῦναι εἰς ἀπόλαυσιν Ἡρακλεῖ, ἡνίκα ἐκεῖ ἐφάνη (τινὲς δὲ Νύμφας, καθὼς καὶ Πίνδαρος), ἵνα ἀπολούσηται, ὅτε τὰς Γηρυόνου βοῦς ἀπελαύνων παρεγένετο.* 25b B

28. *λοιπὸν ὡς ἐν ἰδίᾳ γῇ παροικῶν καὶ οὐδενὸς τῶν* BCDEQ
*ἔξωθεν ἐπιδεόμενος.* 27 CDEQ

*τέλος Ἐργοτέλους.* PQ

---

11 Hes. *Ἡράκλεια λουτρά.* Phot. eod. verb. Diod. IV, 23. V, 3

---

2 *ἐπαίροις* E 3 *βούλεται*] *λείπεται* Bv ‖ *τὴν*] *καὶ* E 4 *ἐν*] *ἦν ἐν* E ‖ *τὰ φ. ἔχων* om. Bv 5 *θερμᾶν* ‖ *ἐπαίρεις* b: *θερμαίνεις* 6 *μέρους* b: *μεταφορᾶς* ‖ *Ἱμέραν* b: *ἡμέραν* A. Debuisse dici *ἀπὸ μέρους δέ φησιν ἀντὶ τοῦ τὴν Ἱμέραν, ὅτι ἐν Ἱμέρᾳ κτλ.* putabat b 7 *ἃ τῷ* b: *αὐτῷ* ‖ *φησι*: b 8 *ὅτι*: V 10 deficit A, add. m. rec. *ἐνθάδε ἀπολείπει ἡ πρὸς τὸν Ξενοφῶντα τὸν Κορίνθιον ᾠδή: καὶ ἡ πρὸς Ἀσώπιον Ὀρχομένιον* 11 l.] *ἄλλως* BC om. D ‖ *τὰ θερμὰ ἐν τῇ Σικ. τὰ* DEQ: *ἐν τῇ Σικ. τὰ θερμὰ λουτρὰ τὰ* C *τὰ ἐν τῇ Σικ. θερμὰ λουτρὰ* Bv 12. 13 *ἀπόπλυσιν* Beck *ἀπόλουσιν* b 13 *ἡνίκα — ἐφάνη* del. b 14 *καὶ*] *ὁ* Qb ‖ *ὅτε*] *ὁ* E ‖ *Γηρυόνου* B: *Γηρυόνους* DE *Γηρυονείους* CQ 15 *παρελαύνων ἀφίκετο* CDQ 16 l. nullum CDEQ: *παρ' οἰκείαις ἀρούραις* Bv ‖ *λοιπὸν ὡς* E: *λοιπὸν καὶ ὡς* CDQ *ὡς* Bv

## Scholia in Olympionicarum carmen XIII.

**DEF(H)KQ** Ξενοφῶντι Κορινθίῳ σταδιοδρόμῳ καὶ πεντάθλῳ νικήσαντι τὴν οθ' Ὀλυμπιάδα. 1 B

**C** Ξενοφῶντι Κορινθίῳ πεντάθλῳ.

**BDEQ** Τοῦ ιγ' εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ια'. τὸ α' ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἀπὸ πρώτου ποδὸς ἀδιαφόρου καὶ τροχαίου. ὁ τρίτος ποῦς παρηνομήθη· ὁ γὰρ ἀντίσπαστος ἀπὸ β' τροχαίων, ὅπερ πάσχει κατὰ μέσον. τὸ β' Φερεκράτειον. τὸ γ' ἴαμβος τρίμετρος βραχυκατάληκτος. ὁ β' ποῦς ἁπανταχοῦ τρίβραχυς. ὁ δ' ἄτακτος· σπονδεῖος γὰρ εὑρίσκεται παρὰ τοῖς μελοποιοῖς. τὸ δ' ἴαμβος τρίμετρος βραχυκατάληκτος. τὸ ε' διπλῆ περίοδος, καὶ διπλοῦς ἴαμβος ἀρχόμενος. τὸ ς' ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον ἀπὸ ἰαμβικῆς καὶ ἰωνικοῦ ἀπ' ἐλάσσονος καὶ τροχαϊκῆς τῆς οἰκείας. τὸ ζ' δακτυλικὸν πενθημιμερές. τὸ η' ἐπιχοριαμβικόν, ἀπὸ τροχαϊκῆς διποδίας καὶ χοριάμβου, τῆς καί βραχείας οὔσης διὰ τὴν κατάληξιν. τὸ θ' προσοδιακὸν ἢ ἀναπαιστικόν. τὸ ι' Εὐριπίδειον· αἵ δὲ ἀποδόσεις ἑπτασύλλαβοί εἰσιν ἰωνικοὶ ἀπ' ἐλάσσονος. τὸ ια' ἐπιχοριαμβικόν, ἢ τροχαῖος ἐπίτριτος.

---

2 τὴν om. E || οθ'] πθ' F² 5 καταληκτικὸν Qv: om. BDE || πρώτου in B incertum 6 διάφορον E || τρίτος] πρῶτος D || παρενομήθη E παρανομηθεὶς D, add. τοῦ τρίτου ἀναπαίστου 7 β' BE: α' D δευτέρου Q || τροχαίου DQ 7. 8 μέσον BD^cp: μέσον E lac. Q μέρος G 9 ἁπανταχοῦ BE^cp: ἀπὸ τροχαίου D^cpQ || τρίβραχυς QTz.(Pauw): βραχύς BDEv 10 σπονδεῖος in B incert. 11 ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον Q 12 ἐξερχόμενος D 13 ἀπὸ ἰων. ἀπ' ἐλ. καὶ ἰαμβ. D || ἀπὸ om. Q || ἰαμβικῆς ego: ἰαμβικοῦ 14 τροχαίου D^cp || τῆς οἰκ. BE: τῆς οἰκ. συζυγίας D συλλαβῆς τῆς οἰκ. Qv συζυγίας τῆς οἰκ. Pauw 15 ἐπιχοριαμβικὸς DE || τροχαϊκῆς διποδίας D διπ. τροχ. Q: χοριαμβικῆς (-κοῦ E) διπ. BE διπ. τροχ. χοριαμβ. v || χοριάμβου] χοριαμβικῆς Q 16 τῆς] lac. E || καὶ codd. et r: χοριαμβικῆς καὶ Pauw (transposito illo χοριαμβικῆς vulgatae) χοριαμβικῆς τελευταίας καὶ Beck τελευταίας καὶ b 16. 17 τὸ θ' ἀνακλώμενον προσοδ. D || προσοδικὸν B 17 ἢ om. E || αἵ — 18 ἐλάσσονος om. DQTz.b 17. 18 ἀποδό(σεις) B 18 ἑπτασύλλαβοι ego: ἐπεὶ μονοσύλλα(βοι) Bv ἐπὶ ἀσύλλαβοι E (ἀσύλλ. et G) ἐπεὶ ὁμοιοσύλλ. Pauw || ἰωνικ(οὶ) B^cpE^cp: ἰωνικαὶ v 19 ἐπιχοριαμβικὸν DQ: ἢ χορίαμβος BE ἢ ἐπιχορίαμβος Beck || ἢ τρο-

*ἡ δὲ ἐπῳδὸς καὶ αὐτὴ κώλων ια΄. τὸ α΄ προσοδιακὸν δίμετρον ἀκατάληκτον τῆς μοι βραχείας οὔσης. τὸ β΄ ἐγκωμιολογικόν. τὸ γ΄ τὸ αὐτό. τὸ δ΄ ὅμοιον τῷ ια΄ τῆς στροφῆς. τὸ ε΄ ἰωνικὸν δίμετρον ἀκατάληκτον. τὸ ς΄ Εὐριπίδειον. τὸ ζ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ η΄ δακτυλικὸν πενθημιμερές. τὸ ϑ΄ ἐπιωνικὸν ἄτακτον· ὁ γὰρ β΄ σπονδεῖός ἐστιν· εἶτα ἥμισυ συζυγίας. γίνεται δὲ ἐν τοῖς ἐπιωνικοῖς ἡ ἀταξία, ὡς ἐν τῷ Ὦ καλλίστη πόλι πασῶν, ὅσας Κλέων ἐφορᾷ* (Eupol. fr. 290 K.). *τὸ ι΄ Εὐριπίδειον. τὸ ια΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον.* 6 B

1 a. *Τρισολυμπιονίκαν: παρόσον τρεῖς νίκας αὐτοῖς συμβέβηκε γενέσθαι, τῷ μὲν παιδὶ δύο κατὰ τὴν αὐτὴν ἡμέραν, πεντάθλῳ καὶ σταδίῳ ἀγωνισαμένῳ, τῷ δὲ πατρὶ Θεσσαλῷ τοὔνομα πρῶτον ἐν τῇ ξϑ΄ Ὀλυμπιάδι.* BCDEQ b. *τὸν τρισολυμπιονίκην οἶκον ἐπαινῶν τὸν πρᾶον μὲν πρὸς τοὺς πολίτας, φιλοξενώτατον δὲ πρὸς τοὺς ξένους, εἰς γνῶσιν ἄξω καὶ ὑμνήσω διὰ τούτων καὶ τὴν εὐδαίμονα Κόρινθον, τὴν τοῦ Ἰσθμίου Ποσειδῶνος οὖσαν προπύλαιον καὶ οἰκητήριον, ἥτις ἀγλαοὺς κούρους καὶ ἄνδρας ἔχει.* c. *ἀγλαόκουρον τὴν εὔανδρον λέγει.*

4 a. *Ἰσθμίου πρόθυρον: ὅτι ἀρχὴ καὶ τέλος τῆς Πελοποννήσου ὁ Ἰσθμός. πρόθυρον δέ, τοῖς εἰς Πελοπόννησον στελλομένοις.* CDEQ b. *ἔνιοι δέ, τὴν τοῦ Ἰσθμίου Ποσειδῶνος οὖσαν προπύλαιον καὶ οἰκητήριον.* DEQ

---

*χαῖος ἐπίτριτος*] sch. N. IV str. *ι΄*, J. V str. *ζ΄*, VI str. *ϑ΄* conferri iubet Schroeder

1 *ἡ δὲ*] *καὶ ἡ* **D** ‖ *ἐπῳδὴ* **DQ** *ἐπῳδ(ὸς)* **B** ‖ *καὶ αὐτὴ* om. **DQ**, post *κώλων* trp. **E** ‖ *προσοδικὸν* **B** 2 *καταληκτικὸν* **E** 3 *τὸ αὐτὸ* **BEG** („Inepte. Ad mentem Metrici est *ἰαμβέλεγος, λειπούσης τῆς πρώτης συλλαβῆς*“ recte Beck): *τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον* **DQ**Tz. ‖ *ια΄* **DQ**: *α΄* **BG** *πρώτῳ* **E** *η΄* Pauw 4 *ἰωνικὸν*] *τροχαϊκὸν* Pauw 7 *β΄* **BDQ**: *α΄* **E** *β΄ ἴαμβος* Pauw ‖ *γίνεται δὲ* **B**: *γὰρ δὲ* **E** om. **DQ** 8 *ἐν* (pr.) **DEQ**: *ἐπὶ* **Bv** ‖ *ἡ*] *πολλὴ* Pauw ‖ *ὡς* — 9 *ἐφορᾷ* om. **D** 8 *ὦ*] *β* **E** ‖ *πόλις* **E** ‖ *ὅσας* **Q** Hephaest. p. 58 W.: *ὁπόσας* **B** *ὁπόσας πόλεις* **E** 11 *Τρισολ.* — 12 *συμβέβηκε* in **B** evan. 11 *τρὶς ὀλ.* **BE** 12 *μὲν* **BE**: *γὰρ* **CDQ** 13 *καὶ*] *δὲ καὶ* Beck *τε καὶ* h 15 *τρὶς ὀλ.* **B** ‖ *τοὺς* om. **v** (in **B** evan.) 16 *φιλόξενον* **Bv** *φιλοξενότατον* **CDQ** 17 *καὶ* (alt.) om. **E** 19. 20 *ἀγλαοκ. γὰρ* **Bv** 20 *λέγει* om. **Q**

BCDEQ c. ἄλλως· πρόθυρον καὶ θύρας εἰώθασι καλεῖν τὴν Κόρινθον διὰ τὸ ἀρχὴν ἢ τέλος εἶναι τῆς Πελοποννήσου. Βακχυλίδης (c. I, 14)· ὦ Πέλοπος λιπαρᾶς νάσου θεόδματοι πύλαι.

BCEQ d. ἢ οὕτως· ἐπεὶ ἀρχὴ μὲν τοῖς ἀπὸ τῆς Ἑλλάδος εἰς Πελοπόννησον πορευομένοις, ἐσχάτη δὲ τῆς Πελοποννήσου. metr. B

BCDEQ 6 a. ἐν τᾷ γὰρ Εὐνομία ναίει: ἐν γὰρ ταύτῃ, τῇ Κορίνθῳ, οἰκεῖ ἡ Εὐνομία καὶ ἀδελφὴ αὐτῆς ὁμότροφος Εἰρήνη· ὡς Ἡσίοδος (theog. 901)·

δεύτερον ἠγάγετο λιπαρὴν Θέμιν, ἣ τέκεν Ὥρας
Εὐνομίην τε Δίκην τε καὶ Εἰρήνην τεθαλυῖαν.

b. βάθρον πολίων: ἐφ' ὧν πᾶσα πόλις ἀσφαλῶς βέβηκεν.

CDEQ c. Εὐνομία, Δίκη, Εἰρήνη ἀδελφαὶ ἐκ Θέμιδος.

BCDEQ 12 a. ἐθέλοντι δ' ἀλεξεῖν ὕβριν: ἤτοι εὐκτικῶς εἶπε, τὴν τῶν θεῶν· βούλοιντο δ' ἂν ἀπαμύνειν τὴν ὕβριν καὶ ἀποκωλύειν· ἢ περὶ τῶν Κορινθίων, ὅτι βούλημα δέ ἐστιν αὐτῶν καὶ σκοπὸς ἐκκλίνειν τὴν ὕβριν, ἀντὶ τοῦ καθεστῶτές εἰσι καὶ οὐχ ὑβρισταί.

B(C)DEQ b. ἔνιοι δὲ οὕτως· βούλημα δὲ καὶ σκοπὸν ἔχουσιν αἱ τῆς Θέμιδος θυγατέρες ἀπαλεξεῖν τὴν ὕβριν τὴν τοῦ κόρου μητέρα τὴν θρασεῖαν. 16 Q

---

1 ἄλλως DQ: om. B ἄλλως πρόθυρον Ποτιδᾶνος E Ἰσθμίου C ‖ πρόθυρον τοίνυν καὶ Bv ‖ καὶ] δὲ E ‖ θύρας CDEQ: θύραν Bv 2 post Πελοποννήσου add. τὸν Ἰσθμόν. πρόθυρον δὲ τοῖς εἰς Πελοπόννησον στελλομένοις Bv (cfr. 4a) 3 Πέλοπα D ‖ θεόδμητοι E -δμηται Q 7 sq. „sine dubio mutilum“ Mommsen suppl. p. 159 7 τᾷ D: τῇ C τᾷδε BEQ ‖ ναίει om. (C)DEQ 8 Κορ. φησὶν Bv ‖ καὶ ἡ ἀδ. CQv ‖ ὁμότροπος CD 10 λιπαρὰν BQv ‖ τέκε κούρας Q (et P p. c.) 11 Εὐνομίαν EQ ‖ τε (post Δίκην) om. Bv 12 β. δὲ πόλεων ἀντὶ τοῦ ἐφ' ὧν Bv ante ἐφ' ὧν add. βάθρον πόλεων αὐτῆς E(Q) 14 ὕβριν om. CDEQ 15 τὴν τῶν θεῶν C(D)EQ: ἀντὶ τοῦ αἱ προειρημέναι θεαὶ ἀπαλεξήσουσιν τῶν πόλεων τὴν ὕβριν· ἤτοι Bv (cfr. 12c) 16 sqq. de E cfr. infra ad 20 ‖ ὅτι] φησὶν ὅτι Bv ‖ δὲ om. CD$E^b$Q 17 καὶ σκοπὸς om. $E^b$ ‖ post ἀντὶ τοῦ add. καθέξειν τὴν ὕβριν τὴν τοῦ κόρου μητέρα τὴν θρασεῖαν· Ὅμηρος· τίκτει — ἕπηται Q (cfr. sch. 12e) ‖ καθεστῶτες — 18 ὑβρισταί] καθέξειν τὴν ὕβριν τὴν τοῦ κρόνου μητέρα D 18 sqq. sch. 12b et c in unum contr. C 18 δὲ (alt.) om. E 19 θυγατέρες BD: θυσίαι EQ 20 ὕβριν] ὕβριν τῆς ὕβρεως D, om. τοῦ κόρου ‖

c. ἄλλως· ἔθελοντι δ' ἀλεξεῖν· αἱ προειρημέναι θεαὶ (BC)EHQ ἀπαλεξήσουσι τὴν ὕβριν τῶν πόλεων. d. οὐκ ὀρθῶς δὲ BCEQ τὴν ὕβριν τοῦ κόρου μητέρα λέγει, ἀλλὰ τὸ ἀνάπαλιν εἰπεῖν ἔδει. e. Ὅμηρος(? Theogn. v. 153)·

τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται.

14 a. ἔχω καλά τε φράσαι: ἔχω τοίνυν περὶ τῆς BCDEQ Κορίνθου τὰ κάλλιστα διεξελθεῖν· παρορμᾷ γὰρ ἡ τόλμα τὴν γλῶτταν, ἡ εὐθεῖα τόλμα νῦν καὶ πρόσφορος, διηγεῖσθαι περὶ αὐτῶν. 17c B

14 b. ἄλλως· ἡ ὑπομονὴ καὶ ἡ εὐτολμία τὴν γλῶττάν (D)EQ μου παρορμᾷ λέγειν τὰ ἐπ' εὐθείας καὶ ἐφεξῆς τούτοις πράγματα. 17a Q

16 a. ἄμαχον δὲ κρύψαι: ἀμήχανον καὶ ἀδύνατον DEQ ἀποκρύψαι τὸ συγγεγενημένον ἦθος καὶ ἐκ φύσεως. 12c Q

17 a. ὔμμι δὲ παῖδες Ἀλάτα: ὑμῖν γάρ, ὦ Κορίν- BCDEQ θιοι, τὴν ἀπὸ τῶν νικῶν ἡδονήν τε καὶ τέρψιν παρέσχον αἱ Ὧραι, νικηταῖς γενομένοις ἐν τοῖς μεγίστοις καὶ ἱεροῖς ἀγῶσιν. 17d B b. παῖδας δὲ Ἀλήτου εἶπε τοὺς Κορινθίους. (C)DEQ πῶς δὲ παῖδες Ἀλήτου οἱ Κορίνθιοι; Ἀλήτης Ἱππότου τοῦ Φύλαντος τοῦ Ἀντιόχου τοῦ Ἡρακλέους, οὗτος ἐκράτησε Κορίνθου. διόπερ παῖδας Ἀλήτου εἶπε τοὺς Κορινθίους ὡς

---

16b. Suid. ἄμαχον: δυσκαταμάχητον. Πίνδαρος· ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος. Id. lex. Bachm. p. 78,28. Zon. 153. 19 et 360,1 Paus. 2,4,3. EM 61,50

---

τὴν (tert.) om. DE || post θρασεῖαν hab. 12e, dein repet. περὶ τῶν Κορ. (358,16) — θρασεῖαν (358,20) E; seq. 12c, 12d, denique 12e repet.

1 sq. de B cfr. ad 358,15 || l. om. E 2 ἀπαλ. BE: ἀλ. HQ || τῶν π. τὴν ὕ. E 3 τοῦ κόρου aut om. aut s. v. add. B, ante τὴν ὕβριν trp. E || λέγει B: om. EQ φησὶ C 4 ἔδει] μᾶλλον ἔδει Q || Ὅμηρος om. E^b Q^b (cfr. ad 358,17) 5 τοι om. E^b Q^b || ὅταν — ἕπηται] ὃ καὶ μᾶλλον E^b Q^b || ἕπηται CE^a Q^a: ἕποιτο B 7 ἡ — 8 πρόσφορος DEQ (γλῶσσαν E): τὴν γλ. ἡ τ. ἡ εὐθ. καὶ πρ. νῦν Bv ἡ τ. τὴν γλῶσσαν ἡ εὐθ. καὶ νῦν πρ. C 12 πράγμασιν b 13 ἀμήχ. δὲ καὶ Q 15 l. E (ἀλλάτα): ὔμμι δὲ C(D)Q ὁ δὲ νοῦς B || γὰρ CDEQ: δὲ B 16 τε om. DQ 19 τοῦ om. E 20 Ἡρακλέος D -ως E 21 Κορίνθου] Κορινθίων E

BCDEQ ἀπογόνους. c. ἄλλως· Ἀλήτου παῖδες οἱ Κορίνθιοι. Ἀλήτης γὰρ ἡγήσατο τῆς ἀποικίας τῶν Ἡρακλειδῶν, ὅτε οἱ Ἡρακλεῖδαι κατήεσαν εἰς Πελοπόννησον, καὶ αὐτὸς εἷς ὢν τῶν Ἡρακλειδῶν· ἦν γὰρ Ἱππότου τοῦ Φύλαντος τοῦ Ἀντιόχου τοῦ Ἡρακλέους. Δίδυμος δέ φησι τὸν Ἀλήτην μὴ οἰκιστὴν τῆς Κορίνθου γεγονέναι, ἀλλὰ βασιλέα, ἔτει τριακοστῷ μετὰ τὴν τῶν Δωριέων ἄφιξιν. 17ᵃB 17ᶠDEQ

BDEQ d. οὐ μόνον ἐνδόξους διὰ τὰς νίκας τοὺς Κορινθίους αἱ Ὧραι ἐποίησαν, ἀλλὰ καὶ ταῖς καρδίαις αὐτῶν ἐνέβαλον σο-
B φίαν. 20 DEQ e. φησὶ δὲ ταῦτα, ἐπειδὴ Φείδων τις, Κορίνθιος ἀνήρ, εὗρε μέτρα καὶ σταθμία· καὶ ἄλλα πολλὰ λέγονται εὑρηκέναι οἱ Κορίνθιοι· διὸ καὶ ἐπιφέρει· πᾶν δ' εὑρόντος ἔργον. πολλὰ οὖν εὗρον οἱ Κορίνθιοι.

DEQ 17 f. νικαφόρον ἀγλαΐαν: τὴν ἐκ τῆς νίκης ἡδονήν. 17ᵈDEQ

CEQ 20 a. ὑπερελθόντων: νικησάντων. ὑπερβαλόντων καὶ κρεισσόνων γενομένων.

CDEQ 20 b. ὑπερελθόντων ἱεροῖς· σχῆμά ἐστιν ἀντὶ τοῦ ὑπερελθοῦσιν. 24Q

DEQ 21 a. πολλὰ δ' ἐν καρδίαις· ἐπεὶ πολλὰ οἱ Κορίνθιοι ἐτεχνήσαντο καὶ εὗρον· διὸ καὶ ἐπιφέρει· πᾶν δ' εὑρόντος
EQ ἔργον. b. πολλὰ οὖν εὗρον οἱ Κορίνθιοι, ὥστε καὶ τὰ
CDEQ ὕστερον εὑρεθέντα ἴδια αὐτῶν νομισθῆναι. c. ἄλλως· καὶ οὐ μόνον νίκην παρέσχον ὑμῖν αἱ Ὧραι, ἀλλὰ καὶ πλεῖστα σοφὰ διανοήματα ὁ χρόνος ἐν ταῖς καρδίαις τῶν παρ' ὑμῖν

---

1 ἄλλως· Ἀλήτου παῖδες CDEQ: ὕμμι δὲ παῖδες Ἀλάτα· τουτέστιν B 2 ὅτε B: ὅτι CDEQ 4 τοῦ Φ. — 5 Ἡρακλέους] ὡς ἄνωθεν εἴρηται C 5 Ἡρακλέως E ‖ post Ἡρακλέους add. οὗτος ἐκράτησε Κορίνθου· διόπερ παῖδας εἶπεν Ἀλήτου τοὺς Κορινθίους ὡς ἀπογόνους Bv (cfr. 17b) 8 οὐ μόνον DEQ: οὐ μόνον δὲ Bv ‖ τοὺς Κορ. διὰ τὰς ν. DQ 10 sqq. cfr. sch. 21
14 l. om. D 16 l.] ὑπερελθ. ἱεροῖς ἐν ἀέθλοις E ‖ νικησάντων om. C 18 l.] om. C ὑπερελθ. δὲ ἱερ. EQ ‖ σχῆμά ἐστιν (C)DE: σχήμασιν Q 20 l.] om. D ἐν ἀέθλοισ(ι) praem. EQ
21 ἐτεχνάσαντο D ‖ καὶ εὗρον DE: ταῖς τῶν θεῶν γνώμαις ἑπόμενοι λέγει ὅτι πολλὰ ἐτεχνήσαντο καὶ εὗρον Q(b) 22 καὶ om. GQb 23 ὕστερα GQb ‖ ἄλλως EQ: om. D πολλὰ δ' ἐν καρδίαις C ‖ καὶ om. Qb 25 ἐν τ. καρδ. om. D 25 sq. τοῖς παρ' ἡμῖν ἀνδράσιν E

ἀνδρῶν ἐνέβαλεν· ἀντὶ τοῦ καὶ ἀνδρείους ὑμᾶς ἤνεγκεν ὁ χρόνος καὶ συνετοὺς καὶ σοφούς. d. ταῦτα δέ φησιν ἐπειδὴ Φείδων τις ἀνὴρ Κορίνθιος εὗρε μέτρα καὶ σταθμούς. καὶ ἄλλα πολλὰ λέγονται εὑρηκέναι οἱ Κορίνθιοι. 25 Q

24. ἅπαν δ' εὑρόντος ἔργον: τοῦ πρῶτον εὑρόντος ἴδιόν ἐστιν, οὐχὶ δὲ τοῦ ὕστερον μιμησαμένου· | παρ' ὑμῖν γὰρ τοῖς Κορινθίοις πολλὰ τῶν ἔργων εὑρέθη. 21 Q CDEQ DEQ

25 a. ταὶ Διονύσου πόθεν ἐξέφανεν: αἱ τοῦ Διονύσου πανηγύρεις πόθεν ἐξέλαμψαν σὺν τῷ διθυράμβῳ, ἀντὶ τοῦ τὸν διθύραμβον προσλαβοῦσαι; 26ᵃ B BDEQ b. αἱ τῶν διθυράμβων χάριτες αἱ τῷ Διονύσῳ ᾀδόμεναι πόθεν ἐφάνησαν; τοῦτο δὲ ὡς παρὰ Κορινθίοις πρῶτον εὑρεθέντων ⟨τῶν⟩ εἰς τὸν Διόνυσον διθυράμβων. CDEQ c. ὁ Πίνδαρος δὲ ἐν μὲν τοῖς ὑπορχήμασιν (fr. 115) ἐν Νάξῳ φησὶ πρῶτον εὑρεθῆναι διθύραμβον, ἐν δὲ τῷ πρώτῳ τῶν διθυράμβων (fr. 71) ἐν Θήβαις, ἐνταῦθα δὲ ἐν Κορίνθῳ. 26ᵇ B BCEQ

26 a. σὺν βοηλάτᾳ: βοηλάτην τὸν διθύραμβον προσαγορεύει, ἤτοι διὰ τὸ βοῦν εἶναι τῷ νικήσαντι ἔπαθλον· ἱερὸς γὰρ τοῦ Διονύσου· ἢ διὰ τὸ ἐλαύνεσθαι αὐτὸν διὰ βοῆς καὶ λέγεσθαι. 25ᶜ B BCDEQ

26 b. Χάριτες διθυράμβῳ: οὕτως ἀκουστέον· αἱ τοῦ Διονύσου διθυράμβων ἐν Κορίνθῳ ἐφάνησαν χάριτες, τουτέστι τὸ σπουδαιότατον τῶν Διονύσου διθυράμβων ἐν Κορίνθῳ πρῶτον ἐφάνη· ἐκεῖ γὰρ ὠράθη ὁ χορὸς ὀρχούμενος· BDEQ

---

24—p. 362, 5 Tz. ad Lyc. p. 252 M.: Διθύραμβον δὲ ἤτοι

---

1 ὑμᾶς Qb: ἡμᾶς CDE 2 φησὶ δὲ ταῦτα C 3 ἀνὴρ om. D 4 καὶ — Κορίνθιοι om. D ‖ οἱ om. E ‖ post Κορ. add. ὡς καὶ — νομισθῆναι (p. 360, 22. 23) C 5 l. EQ (εὑρόντες E): om. D διὸ ἐπιφέρει· ἅπαν ἔργον C ‖ πρῶτον C α' DE: πρώτου Q 6 ὕστερον om. Q ‖ ἡμῖν E 7 τοῖς ἔργοις E 8 l. B: om. D ταὶ Διον. E Διον. Q 8. 9 Διονύσου φησὶ Bv 9 διθυράμῳ etc. E ubique 10 sch. 25b ἄλλως praem. D, ἢ οὕτως EGQ, ταὶ Διονύσου C 11. 12 ἐξεφάνησαν b 12 ὡς παρὰ DQ: ὥσπερ E ὡς περὶ C ‖ εὑρεθὲν τῶν CD; τῶν addidi 14 ὑποσχήμασιν E ‖ ἐν Νάξῳ] ἀνάξῳ E 14. 15 εὑρεθῆναι πρῶτον Bv 17 l. E: σὺν βοηλάτῳ CD βοηλάτα Q om. Bv, add. δὲ post βοηλάτην 19 γὰρ om. E 21 l. EQ: διθυράμβῳ D ἢ B 22 διθυράμβων Beck: διθύραμβοι 23 τῶν] τοῦ E 24 πρῶτον] πρῶτος? B τοῦτον E

ἔστησε δὲ αὐτὸν πρῶτος Ἀρίων ὁ Μηθυμναῖος, εἶτα Λάσος
BCDEQ ὁ Ἑρμιονεύς. c. ἄλλως. ὁ λόγος ἐρωτηματικὸς, ὑπακού-
BCEQ εται δὲ δηλονότι· ἐκ Κορίνθου. | συνίστησι γὰρ ὅτι πρῶτος
ἐν Κορίνθῳ διθύραμβος εἰσήχθη, ὃς ἦν κύκλιος χορὸς,
EQ Ἀρίωνος τοῦ Μηθυμναίου συστήσαντος αὐτόν. d. ἡ δὲ
ἀκολουθία· αἱ τοῦ Διονύσου δὴ οὖν χάριτες ὁ διθύραμβος
ποῦ πρῶτον ἐξεφάνη; οὐκ ἀπὸ Κορίνθου; e. ἄλλως τοῦτο
DEQ ἐν ἤθει φησίν· | ὅπου, φησὶν, ὤφθησαν αἱ ἐπὶ τῶν δι-
θυράμβων χάριτες; δηλονότι ἐν Κορίνθῳ.
B 27 a. τίς γὰρ ἱππείοις ἐν ἔντεσι μέτρα: τουτέστι
τὰ ἵππεια μέτρα τοῦ χαλινοῦ. ἀποδεδώκασι δὲ τῷ δοκεῖν
τὸν Πήγασον πρῶτον ὑπὸ Βελλεροφόντου ἐν Κορίνθῳ κατε-
ζεῦχθαι. Δίδυμος δέ φησι μήτε τοὺς ἱππικοὺς δρόμους
μήτε τὰς τῶν ἁρμάτων κατασκευὰς μήτε τὸν χαλινὸν διὰ
τούτων δηλοῦσθαι, ἀλλὰ τὸν κεραμεικὸν τροχὸν, ἐκ μετα-
φορᾶς διχόθεν μετενηνεγμένης, τοῦτο μὲν ὅτι ἵπποις οἰκεῖος
ὁ τροχὸς, τοῦτο δὲ ὅτι ἑκατέρωθεν ἐλαύνεται ὑπὸ ποδὸς
πτέρνης. Καλλίμαχος (fr. 263)· πτέρνῃ θ' ἵππος ἐλαυνό-
BCDEQ μενος. b. τίς γάρ, φησιν, ἕτερος εὗρε τὰ μέτρα τὰ ἐν
τοῖς ἱππείοις ἔντεσι καὶ ὅπλοις γινόμενα; ἱππείοις δὲ ἔν-
BDEQ τεσιν εἶπε τοῖς τροχοῖς | τοῖς κεραμεικοῖς, ἐπειδὴ ἐπὶ τροχοῦ
πλάττεται, ὁ δὲ τροχὸς κοινωνεῖ τῷ ἅρματι τῶν ἵππων.
DEQ c. καὶ Θεόφραστος μὲν ἐν τῷ περὶ εὑρημάτων Ὑπέρβιον
CDEQ τὸν Κορίνθιόν φησιν εὑρηκέναι | τὴν τοῦ κεραμεικοῦ τροχοῦ

---

κυκλικὸν χορὸν ἐν Κορίνθῳ πρῶτος ἔστησεν Ἀρίων ὁ Μηθυμναῖος, δεύτερος δὲ Λάσος Χαβρίνου (Χαβρίου codd. dett.; cfr. Suid. s. v. Λάσος. Diog. Laert. 1, 42) Ἑρμιονεύς. — sch. Ar. av. 1403. 1 Suid. Ἀρίων.

---

1 ὁ B^corr || μυθημναῖος E || εἶτα λάσσος B (Λάσος b): ἢ τάλασσος D ἢ τάλας E ἢ τάλα͞σος GQ 2 ἄλλως om. D 3 ἐκ Κορίνθου BE: ἐν Κορίνθῳ CDQ 5 αὐτὰς? B 6 δὴ om. GQb 6. 7 διθύ|(f. 79ᵛ)πρῶτος ἐξεφάνη πρῶτον οὐκ ἀπὸ Κ. E 7. 8 τοῦτο ἐν ἤθει φησίν om. Q 8 φασὶν (alt.) E 9 δηλονότι om. D 12 Βελερεφόντου 18 ἵπποις v (corr. Anna Fabri?) 19 l. nullum D: ὁ νοῦς οὕτω B τίς γὰρ ἱππείοις ἐν ἔντεσι (C)EQ 20 ἱππ. — 21 εἶπε] ἤγουν D 22 πράττεται E 23 μὲν DE: δὲ Qv

*μηχανήν. | μέτρα δὲ αὐτὸν ὁ Πίνδαρος, παρόσον ἐν κερα-* CEQ
*μεικοῖς μετροῦμεν. [καὶ ὅσα ἄλλα, χόες, ψυκτῆρες, κώθωνες.]*
*ἔνιοι δὲ ἵππεια ἔντεα ἅρματα καὶ χαλινούς, ἀπὸ μέρους*
*τοὺς πολεμικούς. ὅτι δὲ παρ' αὐτοῖς ὁ χαλινὸς εὕρηται,*
*δείκνυσι τὰ ἑξῆς.* 29 CEQ d. *ὁ Δίδυμος ἑτέραν ἀποδίδωσιν* BCEQ
*οὕτως ἔχουσαν· τὴν ἐν πρόθεσιν, ἀντὶ τῆς εἰς κειμένην,*
*συναπτέον πρὸς τὰ μέτρα· τίς γὰρ τοῖς εἰς τὰ μέτρα ἱπ-*
*πείοις ἔντεσιν ἐχρήσατο πρώτη ἢ σύ, ὦ Κόρινθε; ἵππεια*
*δὲ ἔντεα ἀκουστέον τὰ Φειδώνεια ἀγγεῖα· ἔντεα γὰρ ἂν εἴη*
*τὰς χοίνικας καὶ τοὺς μεδίμνους λέγων, διὰ τὴν κοιλότητα.*
*καὶ Ὅμηρος* (η 232)· *ἀμφίπολοι δ' ἀπεκόσμεον ἔντεα δαιτός.*
*τούτων οὖν τῶν εἰς τὰ μέτρα ἐντέων εὑρετάς φησιν εἶναι*
*τοὺς Κορινθίους. διατί δὲ ἵππεια αὐτὰ εἶπεν; ὅτι Φείδων*
*ὁ πρῶτος κόψας Κορινθίοις τὸ μέτρον Ἀργεῖος ἦν· τὸ δὲ*
*Ἄργος ἵππειον λέγουσιν οἱ ποιηταί. Εὐριπίδης* (J. T. 700)·
*ὅταν εἰς Ἑλλάδ' ἵππειόν τ' Ἄργος μόλῃς.* 31ᵇ C 31ᵃ EQ
29 a. *ἦ θεῶν ναοῖσιν οἰωνῶν βασιλέα δίδυμον:* BCDEQ
*τὸν αἰετόν· φησὶ δὲ τὸ κατὰ τοὺς ναοὺς τῶν θεῶν ἀέτωμα.*
*τίς οὖν, φησιν, ἐν τοῖς ναοῖς τῶν θεῶν τὸν βασιλέα τῶν*
*ὀρνίθων ἐπέθηκε, τὸ λεγόμενον ἀέτωμα; δίδυμον δέ φησιν,*
*ὅτι διπλᾶ τὰ ἀετώματα, ὄπισθεν καὶ ἔμπροσθεν, διὰ τὸ ἐξ*

---

3 sch. B Ω 277: *Πίνδαρος τὰ ἅρματα ἔντεά φησιν· ἱππείοις ἔντεσι μέτρα.* 9 Ap. soph. 69, 17. EG 150, 55 18 sch. Ar. av. 1110. Eust. Il. 1352, 38. lex. Bachm. 35, 10. EM 21, 1. Suid. *ἀετός. ἀετώματα.*

---

1 *αὐτὸν* EG: *αὐτῶν* CQ *αὐτὰ* v 1. 2 *ἐκ κεραμεικοῦ* CQv 2 *καὶ ὅσα — κώθωνες* post 10 *λέγων* trp. b, quo pertinere sane videntur; seclusi || *χόες*] om. Qv *χοίνικες* C 5 *δείκνυται τοῖς ἑξῆς* C *δείκνυσιν ἐν τοῖς ἑξῆς* v || *ὁ Δ. —* 6 *ἔχουσαν*] *ἄλλως* B 5 *ὁ Δ. —* 6 *κειμένην* om. G 6 *ἀντὶ τῆς* CQb: *ἀπὸ τῆς* E *ἀντὶ τοῦ* B 7 *εἰς τὰ μ. τοῖς ἱππ.* E 8 *πρώτοις* CQ || *Κορίνθιε* EQ 8 sq. *ἔντεα δὲ τὰ Φ. ἀγγ. ἀκ.* B (om. *ἵππεια*) 9 *ἔντεα —* 10 *λέγων* om. Bv 11 *καὶ* om. Bv || *ἐπεκόσμεον* v 12 *ἐντέων*] *ἐπέων* v (corr. Beck) 16 *ὅταν εἰς* om. B || *Ἑλλάδος* E 17 l. B: om. D *οἱ. βασιλῆα δίδυμον* CE *οἱ. βασιλῆα* Q 18 *τὸν αἰετόν* CDE: om. Q *οἰωνῶν βασιλέα τὸν αἰ. φησι* Bv || *φησὶ* CDEQ: *λέγει* Bv 20 *δίδυμον* D (*δίδυμα* vel *δίδυμνα* cj. Lehrs p. 8): *Δίδυμος* BCEQv || *δέ* om. Q 21 *ὄπιθεν* B

EQ ἑκατέρων τῶν μερῶν κατασκευάζεσθαι αὐτά. b. ἄλλως·
οἰωνῶν βασιλέα: ὁ ἀετὸς οἰωνῶν βασιλεύς ἐστιν ὁ ἐπὶ
BEQ τῶν ἱερῶν τιθέμενος. τινὲς δὲ τὸ ἀέτωμα λέγουσιν, | ὥς
φησι Δίδυμος παρατιθέμενος Τίμαιον (FHG I, 202) λέγοντα·
BCEQ | καὶ τοῦτο ἐν ταῖς οἰκοδομίαις αὐτῶν εὕρημα, ταύτην ἀπο-
δοὺς τὴν ἐξήγησιν τῶν προκειμένων. 27$^d$ CEQ

BCEQ 31 a. ἐν δὲ Μοῖσ' ἁδύπνοος: ποῦ δὲ ἡ μουσικὴ ἀν-
θεῖ καὶ τὰ πολεμικὰ ἀλλαχοῦ; τοῦτο δὲ διὰ τὸν Εὔμολπον
ὄντα Κορίνθιον καὶ γράψαντα νόστον τῶν Ἑλλήνων. 32 C

BCDEQ b. ἀντὶ τοῦ μουσικοί εἰσι· παρόσον καὶ ποιηταὶ διαση-
μότατοι ἐν Κορίνθῳ ἐγένοντο, ὧν ἦν καὶ Αἴσων, οὗ μέμνη-
ται Σιμωνίδης (fr. 215). ἐν δὲ τῷ Περσικῷ πολέμῳ καὶ
οὗτοι ἐστρατεύσαντο ἔχοντες ἡγεμόνα Ἀδείμαντον. 31$^a$ C

BCDEQ 32 a. ἐν δ' Ἄρης ἀνθεῖ νέων: ποῦ δέ, φησι, καὶ τὰ
τοῦ πολέμου ἐμπείρως οὕτω γίνεται; τοῦτο δὲ διὰ τὰ Μη-
δικά φησιν, ὅτε ἠνδραγάθησαν· ἐπεὶ Ξέρξου ἡττηθέντος καὶ
φυγόντος ὑπὸ Ἀθηναίων, [ὅτε καὶ] πεντήκοντα ναῦς τοῦ
BCEQ Πέρσου κατέδυσαν. b. ἄλλως· τὸν Ἄρην φησὶν ἐν Κο-
ρίνθῳ λάμπειν τείνων εἰς τὰ περὶ Περσίδα, ἐν οἷς ὑπὲρ
τῆς τῶν Ἑλλήνων σωτηρίας ἠνδραγάθησαν οἱ Κορίνθιοι.
Θεόπομπος δέ φησι καὶ τὰς γυναῖκας αὐτῶν εὔξασθαι τῇ
Ἀφροδίτῃ ἔρωτα ἐμπεσεῖν τοῖς ἀνδράσιν αὐτῶν μάχεσθαι
ὑπὲρ τῆς Ἑλλάδος τοῖς Μήδοις, εἰσελθούσας εἰς τὸ ἱερὸν
τῆς Ἀφροδίτης, ὅπερ ἱδρύσασθαι τὴν Μήδειαν λέγουσιν

---

1 σκευάζεσθαι CD || αὐτὰ BQ: αὐτὸ CDE 2 βασιλῆα E 3 λέγουσιν om. Qv 5 εὕρεμα CEQ || ταύτην — 6 προκειμένων CEQ: καὶ τὰ ἑξῆς B 8 ἀλλαχοῦ ante ἀνθεῖ trp. E, ante ἡ μουσ. CPQ || Εὔμηλον Gyraldus hist. poet. p. 121$^b$ ed. Lugd., Salmasius exerc. Plin. p. 603$^a$, ft. recte 10 sch. 31b ἢ τοῦτό φησιν praem. Bv, ἐν δὲ Μοῖσα C, ἄλλως EQ 11 Αἴγων C Ἀρίων v. Wilamowitz Hom. Unters. p. 179, n. 25 probabiliter 13 ἐστράτευσαν B || Ἀδείμαντον Beck: ἀδίαντον BEv τὸν ἀδίαντον GQ ἀσίαντον C ἀδείαντον D 14 ποῦ — 15 γίνεται om. C 15 τοῦ om. E || ἐμπείρως B: ἔμπειρα D ἔμπειρος EQ || διὰ] καὶ E 16 φησιν om. EQ || ὅτε $B^{pc}$: ὅτι $B^{ac}$CDEQ || ἐπεὶ scripsi: ἐπὶ || ἡττ. — 17 καὶ om. D, add. γὰρ post πεντ. 17 ὅτε καὶ] om. B; recte ὅτε δὲ καὶ Q 19 τείνων B: τίων CEQ (τῖων Q) || Περσίδος Gh 20 τῆς om. Bv 21 sqq. cfr. v. Wilamowitz ind. lect. Gott. 1879 22 ἐκπεσεῖν E

Ἥρας προσταξάσης. εἶναι δὲ καὶ νῦν ἀναγεγραμμένον ἐλεγεῖον εἰσιόντι εἰς τὸν ναὸν ἀριστερᾶς χειρός (Simon. 137)·

Αἴδ' ὑπὲρ Ἑλλάνων τε καὶ ἀγχεμάχων πολιητᾶν
ἔστασαν εὐχόμεναι Κύπριδι δαιμονίᾳ.
Οὐ γὰρ τοξοφόροισιν ἐβούλετο δῖ' Ἀφροδίτα
Μήδοις Ἑλλάνων ἀκρόπολιν δόμεναι.

35. ἀφθόνητος ἔπεσσιν: ἐπὶ τοῖς ἔπεσι [τῆς Ὀλυμ- **CDEHQ**
πίας] καὶ τοῖς ὕμνοις οἷς λέγω περὶ αὐτῶν μὴ νεμεσήσῃς,
ὦ Ζεῦ.

38 a. Ξενοφῶντος εὔθυνε: τοῦ Ξενοφῶντος εὔθυνε **BCDEQ**
τὴν εὐτυχίαν, οὔριον καὶ εὐδιεινὸν διδοὺς αὐτῷ | τὸ δαι- **BDEQ**
μόνιον. b. ποίει δὲ αὐτὸν εὐτυχῆ καὶ εὐδαίμονα.

39 a. δέξαι δέ οἱ στεφάνων ἐγκώμιον: καὶ πρόσ- **B(C)DEQ**
δεξαι ἡδέως τὸν ἐπὶ τῶν στεφάνων αὐτοῦ θεσμὸν καὶ νό-
μιμον ἔπαινον· λέγει δὲ τὸν ὕμνον. b. δέξαι δέ οἱ, ἀντὶ **DEQ**
τοῦ δέξαι παρὰ αὐτοῦ. c. τεθμὸν τὸν νόμον· νόμος **B(C)DEQ**
γάρ ἐστιν οὗτος, Ὀλυμπιονίκας ὑμνεῖσθαι. d. τὸν ἐγ-
κωμιαστικὸν λόγον, ὅς ἐστιν ὕμνος τῶν νικηφόρων.
e. τὸν ἄγει: ὅντινα ὕμνον ἐκτήσατο καὶ ἄγει ἑαυτῷ νι- **BCDEQ**
κῶν καὶ στάδιον ὁμοῦ καὶ πένταθλον. f. ἐν τῷ σταδίῳ. **BDEQ**
g. τῆς νίκης.

---

sch. 43 a. EM 112, 48 (cl. Miller, mél. litt. gr. p. 36): ἰστέον ὅτι τὸ ἀντιβολῶ ἔξωθεν ἐκλίθη .... τὸ δὲ παρὰ Πινδάρῳ ἀντεβόλησεν τῶν ἀνὴρ θνητός ἔσωθεν ἐκλίθη διὰ τοῦ ε̄· καὶ τὸ σημαινόμενον ἕτερον. ὡς καὶ παρ' Ὁμήρῳ· τοιοῦτοι δ' εἰ καί μοι ἐείκοσιν ἀντεβόλησαν (Π 847).

---

1 δὲ om. **E** 2 ἐς **BC** 3 αἴδ' **BC**: ἅσ' **E** ἅδ' **G** ἅδ' **Q** ‖ Ἑλλήνων **CEQ** ‖ ἐγχεμάχων **EQ**pc 4 ἔστασαν **E**: ἔστασαν **BCQ** ‖ εὐχόμενοι **EPQ** 5 δῖ' **BE**: δῖα (διὰ) θεοῖσιν **CPQ** ‖ Ἀφροδίτη **B** 6 Ἑλλάνων **BE**: ἐλαύνειν **C** ἐλαύνων **Q** ‖ δόμεναι **BCPQ**: δαίμονα **E** 7 ἔπεσσιν] ἔπεσιν **DHQ** om. **C** ‖ ἐπὶ τοῖς ἔπεσι om. **H** ‖ τῆς Ὀλ. seclusi (ex gl. ortum) 9 ὦ Ζεῦ om. **EH** 10 l. **B**: om. **CD** Ξενοφῶντος **EQ** ‖ τοῦ] τουτέστι τοῦ **Bv** ‖ ἴθυνε **DEQ** 11 διδοῦσα **DEQ** 12 ἀντὶ τοῦ π. δὲ αὐ. φησιν **Bv** 13 sqq. exigua frustula **C** 13 στεφ. ἐγκ. om. **DEQ** 13. 14 πρόσδ. φησιν **Bv** 14 θεσμὸν **BDE**: τεθμὸν καὶ θεσμὸν **GQb** 14. 15 νόμιμον **B**: νόμισον **E** νόμον **DQ** 15 λέγει — ὕμνον om. **E** 16 τεθμὸν] τεθμὸν δὲ **Bv** ‖ νόμον] νόμον φησί **BQv** 19 l. om. **Bv** ‖ ἄγει (alt.)] ἄγει φησὶν **Bv** 21 sch. 39 g ad στεφάνων pertinet

BDEQ 43 b. *τῶν ἀνὴρ θνατός*: ὧν εὐτυχημάτων, τῶν τῆς
CDEQ διπλῆς νίκης, οὐδέπω πρότερον εὐτύχησεν ἀνήρ. c. ἄλλως·
ἀντὶ τοῦ οὐδεὶς πώποτε τῶν ἀνθρώπων τὰς δύο ταύτας
BEQ νίκας ἐν μιᾷ ἡμέρᾳ ἔλαβεν, εἰ μὴ μόνος αὐτός. d. πρῶτον
καὶ μόνον φησὶ τὸν Ξενοφῶντα κατὰ τὴν αὐτὴν ἡμέραν
B στάδιον καὶ πένταθλον νικῆσαι Ὀλύμπια. e. λέγει δὲ καὶ
ἄλλας νίκας αὐτοῦ.

BCDEQ 45 a. *δύο δ' αὐτὸν ἔρεψαν πλόκοι σελίνων*: νῦν
στέφανοι. ἐκ σελίνων γὰρ οἱ στέφανοι. b. πλόκοι δὲ,
BCEQ παρὰ τὸ πλέκεσθαι τοῖς τὰ Ἴσθμια νικῶσι. c. σημειωτέον
ὅτι ἤδη ἀπεδέδεικτο Ἰσθμοῖ ἀπὸ σελίνων στέφανος, ὡς ἐν
BCDEQ Νεμέοις. ἀμφότεροι γὰρ ἐπιτάφιοι, ἱερὸν δὲ | τὸ σέλινον
τῶν καταχθονίων.

BCDEQ 46 a. *οὐκ ἀντιξοεῖ*: οὐκ ἐναντιοῦται. b. ἀντὶ τοῦ
ἐνίκησε καὶ Νέμεα. c. οἱ δὲ ὅτι ἀντίκειται, ἀπὸ μετα-
φορᾶς τῶν ξύλων τῶν ξεομένων καὶ ἀλλήλοις ἁρμοζομένων.
BCEQ τὰ γὰρ συναρμοζόμενα συγξέεται | ἀλλ' ἀντιξοεῖ καὶ ἀντι-
βαίνει πρὸς τὴν ξέσιν ἁρμοστὰ ὄντα.

BCDEQ 48. *πατρὸς δὲ Θεσσαλοῖο*: καὶ τοῦ πατρὸς αὐτοῦ

---

10 Plut. qu. conv. 5, 3 14 et 15 EM 114, 24. EG 60, 31(?)

---

1 *θνατός* om. **DEQ** 2 *οὐδέπω*] *οὐδέ τις* **D** ‖ *ηὐτ.* **E** ‖ *ἀνήρ* **DQ**: *ἀνὴρ πρότερος* **BE** ‖ *ἄλλως* **EQ**: *τῶν ἀνήρ* **C** om. **D** 3 *ἀντὶ τοῦ* om. **CGQ** ‖ *πώποτε* **DQ**: *ποτε* **CE** 4.5 *πρῶτον δὲ καὶ μόνον* **Bv** *πρῶτος καὶ μόνος* **E** 6 *Ὀλύμπια* **EQ**: *Ὀλυμπίοις* **Bv** 8 l. **B**: *πλ. σελ.* **CDEQ** ‖ *σελήνων* $E^{ac}Q^{ac}$ ‖ *νῦν* **CDEQ**: *γρ(άφεται)* **B** 9 *ἐκ — στέφανοι* om. **CD** ‖ *ὁ στέφανος* **Bv** ‖ *πλόκοι δὲ* om. **B** 10 *σημειωτ. δὲ* **BCv** *ἄλλως· σημειωτ.* **EGQ** 11 *ἀπεδέδεικτο* **h**: *ἀποδέδεικται* **B** *ἐπέδεικτο* **E** *ἀπέδεικτο* **GQ** *ἀπέκειτο* **C** ‖ *ἀπὸ*] *ὁ ἀπὸ* **v** ‖ *στέφανον* **E** 12 *ἀμφότερος* et *ἐπιτάφιος* **b** ‖ *σέλινον γὰρ ἐδίδοτο ὡς τὸ σέλ.* etc. **D** 13 *καταχθονίων θεῶν* **CDQb** 14 *οὐκ — ἐναντιοῦται*] *τὸ δὲ οὐκ ἀντιξ. ἀντὶ τοῦ οὐκ ἀντίκειται* **B** *Νέμεά τ' οὐκ ἀντιξ. ἀντὶ τοῦ οὐκ ἐναντ.* **C** 14. 15 *ἀντὶ τοῦ ἐνίκησε* **DEQ**: *ἐνίκησε γὰρ* **BCv** 15 *ἀπὸ*] *ἐκ* **Q** 17 *συναρμόζοντα* **E** ‖ [*συγξέε*]*ται* **B**, serv. acc. ⟨*οὐ*⟩ *συγξέεται* cj. Mommsen sch. Germ. p. 61; si *ἀντίκειται* idem valet quod *οὐκ ἀντιξοεῖ*, recte ‖ *ἀλλ'* om. **C** 18 *ἀνάρμοστα* Anonym. in Misc. Obs. 10 (1739) p. 428, vix recte 19 *τοῦ* om. **E** ‖ *αὐτοῦ*] *αὐτοῦ τοῦ* **Qb**

*Θεσσαλοῦ (κύριον δὲ ὄνομα· αὐτοῦ τούτου γὰρ παῖς ὁ Ξενοφῶν) ἀνάκειται ἐν τῇ Ὀλυμπίᾳ ἡ δόξα ἡ ἐκ τοῦ δρόμου.*

49. *⟨αἴγλα:⟩ ἀντὶ τοῦ ἡ νίκη.* B

50 a. *Πυθοῖ τ' ἔχει: ὡς καὶ τὰ Πύθια τοῦ Θεσσαλοῦ* DEQ
*νενικηκότος.* b. *ὁ δὲ λόγος· κατὰ δὲ τὴν Πυθίαν διαύλου* BDEQ
*καὶ σταδίου τιμὴν ἔλαβε.* c. *λέγει δὲ Θεσσαλόν, τὸν τοῦ* B
*Ξενοφῶντος πατέρα.*

51 a. *ἁλίῳ ἀμφ' ἑνί: ἀντὶ τοῦ ἐν μιᾷ ἡμέρᾳ.* B

51 b. *μηνός τέ οἱ τωὐτοῦ: κατὰ δὲ τὸν αὐτὸν μῆνα* B(C)DEQ
*τρία ἔργα καὶ ἐν ταῖς Ἀθήναις ταῖς τραχείαις καὶ τρεῖς ἄθλους περιεποίησεν αὐτῷ ἡ ὀξύδρομος ἡμέρα.* c. *ἔργα καὶ ἀγωνίσματα κάλλιστα, ἀφ' ὧν ἐστέφθη τὰς κόμας καὶ τὴν κεφαλήν.* d. *τρία δὲ ἔργα εἶπε δίαυλον καὶ ὁπλιτικὸν δρόμον καὶ στάδιον.*

54. *ποδαρκὴς ἁμέρα θῆκεν: ἤτοι ἡ πρὸς τὸν δρό-* BCDEQ
*μον τότε ἀποκληρωθεῖσα καὶ ἐπαρκοῦσα· ἢ ἡ παρασχοῦσα αὐτῷ τὸ τάχος διαρκές· ἢ αὐτὴ οὖσα [ἡ] ὀξύπορος καὶ ὀξύπους.*

56 a. *Ἑλλώτια δ' ἑπτάκις: τὴν προσηγορίαν φασὶ* BCDEQ
*ταύτην ἐσχηκέναι τὴν Ἀθηνᾶν ἀπὸ τοῦ ἐν Μαραθῶνι ἕλους,*
*ἔνθα ἵδρυται.* b. *ἄλλως· Τιμάνδρου θυγατέρες τέσσαρες* CDEQ
*Κορίνθιαι· Ἑλλωτίς, Εὐρυτιώνη, Χρυσῆ, Κοτυτώ. ἁλούσης τῆς πόλεως τὴν νέαν τὴν Χρυσῆν ἡ Ἑλλωτὶς ἁρπάσασα εἰσῆλθεν εἰς τὸν ναὸν τῆς Ἀθηνᾶς, ἔνθα περικατάληπτος*

---

1 *κύριον*—2 *Ξενοφ.* om. **Bv** 1 *δὲ* om. **CD** ‖ *αὐτοῦ* om. **D** ‖ *τούτου*] *ὁ τούτου* **Q** 3 *ἡ νίκη* **B**: *ἐνίκησε* **v** 4 l. om. **D** 5 *ὁ δὲ λ.* **DEQ**: *Πυθοῖ τ' ἔχει* **Bv** ‖ *δὲ* (alt.)] om. **G** post *Πυθ.* hab. **Qb** ‖ *τὴν* om. **E** 8 *ἁλίῳ* **v**: *τἁλίῳ* **B** 9 *τωὐτοῦ* om. **CD**?(macul.)**EQ** 10 *τρία φησὶν ἔργα* **B** ‖ *καὶ* (alt.) **BD**: *τρία ἔργα καὶ* **EQ** 11 *ἡ ὀξ. ἡμέρα* **CDEQ**: *ἡ ὀξύτης τῶν ποδῶν καὶ ἡ ὀξ. ἡμέρα* **Bv** ‖ *ἔργα*] *καὶ ἔργα* **E** ‖ *ἔργα* — 12 *κάλλιστα* om. **D**? (macula) 13. 14 *ὁπλικὸν* **CDEQ** 15 *ποδαρκὲς* **B** ‖ *ἡμέρα* **BCD** ‖ *θῆκεν* om. **CDEQ** ‖ *ἡ* om. **B** 16 *προσχοῦσα* **E** 17 *τάχος* **BE**: *τέλος* **CDQ** ‖ *ἢ* **CDE**: *ἡ* **Bv** *ἢ ἡ* **GPQUh** ‖ *ἡ* **BEQ**: *ἢ* **D** om. (C)**Gh** 19 *Ἐλλώτια* etc. fere **BCE** 19. 20 *ταύτην ἐσχ. φασὶ* **Bv** 21. 22 *τέσσαρες Κορίνθιαι* **G**: *δῖα Κορίνθια* **C** *δία Κορίνθιαι* **E** *Κορινθία* **Qb** *τοῦ Κορινθίου* **D** *Κορίνθιαι* cj. **b** 22 *Ἑλλωτίς* **Db**: *Ἑλλώτια* **CEQ** ‖ *Εὐριτιώνη* **DQ** ‖ *Κωκυτώ* **CQ**[1]**U** *καὶ κυτώ* **G** *Κωτυτώ* **b** 24 *περικάληπτος* **E**

γενομένη ἔρριψεν ἑαυτὴν εἰς τὸ πῦρ. καθάρσια οὖν ἄγεται τῇ θεῷ, ἅτινα οἱ μετὰ ταῦτα Ἀλήτου Ἑλλώτια καλοῦσιν. 57E

BCDEQ c. ἑορτὴ τῆς Ἀθηνᾶς ἐν Κορίνθῳ, ἐν ᾗ καὶ ὁ ἀγὼν τελεῖται ὁ καλούμενος λαμπαδοδρομικός, ἐν ᾧ ἔτρεχον νεανίαι λαμπάδας κρατοῦντες. αὕτη δὲ ἡ πανήγυρις εὑρέθη κατὰ μέν τινας ἐπειδὴ τὸν ἵππον τοῦ Βελλεροφόντου ὑπέταξεν ἡ θεὸς τὸν Πήγασον καὶ περιέθηκεν αὐτῷ τὰ χαλινὰ καὶ οὕτως εἷλεν αὐτόν. ἢ διὰ τοῦτο· Δωριεῖς σὺν τοῖς Ἡρακλείδαις ἐπιθέμενοι Πελοποννησίοις Κόρινθον χειρωσάμενοι ταύτην τῇ φλογὶ συνέφλεγον. τῶν τοίνυν γυναικῶν ἐν τῇ πορθήσει φευγουσῶν, τινὲς ἐξ αὐτῶν ἅμα Εὐρυτιώνῃ καὶ Ἑλλωτίδι εἰς τὸν τῆς Ἀθηνᾶς εἰσελθοῦσαι νεὼν οὕτω διαφεύξασθαι τὸν κίνδυνον προσεδόκησαν. ὡς δὲ ᾔσθοντο Δωριεῖς, κατὰ τούτων πῦρ ἔπεμψαν. αἱ μὲν οὖν ἄλλαι ἔφυγον, ἡ δὲ Εὐρυτιώνη καὶ ἡ Ἑλλωτὶς ἀδελφαὶ τυγχάνουσαι μετὰ παιδίου κατεφλέχθησαν. λοιμοῦ δὲ συμπεσόντος οὐ πρότερον τὸ νόσημα παύσασθαι ἔφη ἡ θεὸς πρὶν ἐξιλεώσασθαι τῶν παρθένων τὰς ψυχὰς καὶ Ἑλλωτίδος Ἀθηνᾶς ἱερὸν ἱδρύσασθαι καὶ πανήγυριν Ἑλλώτια καλουμένην· καθ' ἣν φησιν ἑπτάκις νενικηκέναι τὸν Ξενοφῶντα.

EQ d. ἄλλως· ἐν Κορίνθῳ τὰ Ἑλλώτια ἄγεται τῇ Ἑλλωτίᾳ

---

1 καθαρσία **b** 2 μετὰ ταῦτα Ἀλήτου (s. Ἀλητοῦ) **CEGQ**: μετὰ ταῦτα **D** μετὰ Ἀλήτου ἐπικρατήσαντες Δωριεῖς **b**. Post Ἀλήτου nonnulla excidisse vid. ‖ ἐκάλεσαν **b** 3 sch. 56c Ἑλλώτια praem. **C**, Ἑλλ. δ' ἑπτάκις **E**, ἄλλως **D**, ἄλλως Ἑλλ. δ' ἑπτ. **Q**, γίνεται οὖν **Bv** 4 λαμπαδοδρόμος **CD** λαμποδοδρομικὸς **E**[1] 6 Βελεροφ. **BC** Βελλοροφ. **D** 8 καὶ] ἢ **E** 8—369, 4 cfr. Thom. p. 396, 5 8 ἢ διὰ τοῦτο **BCQ**: ἄλλως **D** καὶ διὰ τοῦτο **E** ‖ Δωριεῖς **CDEQ**: ἐπειδὴ Δωριεῖς **Bv** 9 ft. ⟨καὶ⟩ Κόρινθον 10 ταύτην — συνέφλεγον om. **D**. Videntur nonnulla excidisse 11 τινὲς — 14 Δωριεῖς] τὸν νεὼν τῆς Ἀθηνᾶς προσδραμοῦσαι **D** 11 Εὐρυτιώνῃ **C** Εὐριτιώνῃ **Q** Εὐρυτίνῃ **BE** 12 Ἑλλώτιδι **B** Ἑλλατίδι **C** Ἑλλωτίᾳ **EQ** 14 τὸ πῦρ **Qb** ‖ καὶ αἱ μὲν ἄλλαι **D** 15 Εὐρυτιώνη **D(Q)v**: Εὐρυτίων **C** Εὐρωτὶς **B** Εὐρυτὶς **E** ‖ Ἑλλωτὶς **(C)D**: Ἑλλωτιώνη **B** Ἑλλωτίνη **E** Ἑλωτία **Q** 16 μετὰ παιδίου om. **D** ‖ συγκατεφλέχθησαν **Bv** 17 παύσεσθαι **Bv** (παύσασθαι et Thomas) 18 Ἑλλωτίδος **BCE** 20 ἣν] ἥντινα **CD** ‖ ἑπτάκις] ἑπτάκις αὐτὸν **EQ** 21 Ἑλλώτια etc. ubique **E**

Ἀθηνᾷ. τυχεῖν δὲ αὐτὴν ταύτης τῆς προσηγορίας Κορίνθιοι μὲν λέγουσιν ἑλοῦσαν καὶ χαλινώσασαν παρ' αὐτοῖς τὸν Πήγασον· οἱ δὲ ἀπὸ τοῦ ἕλους τοῦ περὶ τὸν Μαραθῶνα, ἐν ᾧ ἵδρυται· οἱ δὲ ἀπὸ Ἑλλωτίδος παρθένου. 70E

57. *Ποτειδᾶνος τεθμοῖσιν*: ἐν τοῖς Ἰσθμικοῖς ἀγῶσιν· οὗτοι γὰρ τοῦ Ποσειδῶνος νόμιμοι ἀγῶνες. BCDEQ

58 a. Πτοιοδώρου Θεσσαλὸς, Θεσσαλοῦ Ξενοφῶν. CDEQ

b. *Πτοιοδώρῳ σὺν πατρί*: Τερψίου ἀδελφὸς Πτοιόδωρος, καὶ Τερψίου μὲν παῖδες Ἐρίτιμος καὶ Ναμερτίδας, Πτοιοδώρου δὲ Θεσσαλὸς, οὗ Ξενοφῶν. c. τινὲς δὲ τὸν Ναμερτίδαν Ἐρίτιμόν φασιν, Ἐριτίμου δὲ Αὐτόλυκον. BDEQ

58 d. *μακρότεραι τέρψιες*: αἱ πλείους ἀκολουθοῦσι νῖκαι ἐπιτερπεῖς καὶ ὕμνοι μέγιστοι. καὶ ἥδε μὲν ἡ ἐξήγησις οὕτως, εἰ τὰ τῆς γραφῆς, ὡς ἔν τισιν, ἔχει τὸν τρόπον τοῦτον· μακρότεραι τέρψιες ἕψονται ἐρίτιμοί τ' ἀοιδαί. εἰ δὲ ὀνόματα λάβοιμεν τὸ Τερψίας καὶ τὸ Ἐρίτιμος, ἔσται τὰ τῆς διανοίας ὡς εἴπομεν. $62^{b}$C BCDEQ

---

56 e. EM 332, 43: Ἑλλωτίς] Ἀθηνᾶ οὕτω καλουμένη ἐτιμᾶτο ἐν Κορίνθῳ· καὶ ἑορτὴ Ἑλλώτια. εἴρηται δὲ Ἑλλωτὶς ἡ θεὸς, ὅτι Βελλεροφόντης τὸν Πήγασον ἵππον ἑλὼν καθ' ὑποθήκην καὶ συμμαχίαν τῆς Ἀθηνᾶς ἐχαλίνωσε· καὶ ἀπὸ τοῦ ἑλεῖν τὸν ἵππον Ἑλλωτίαν προσηγόρευσεν αὐτὴν καὶ ἱερὸν αὐτῇ ἱδρύσατο, καὶ τὰ Ἑλλώτια ἑορτήν (ἑορτή edd.). ἢ ἀπὸ τοῦ πρὸς Μαραθῶνα ἕλους ἐν ᾧ ἵδρυται. Πίνδαρος ἐπινικίῳ Ξενοφῶντος. — Ath. 15, 678b.

---

1 Κόρινθον Q 2 παρ' $Q^{corr}$ 4 ἀπὸ τῆς Ἑλλ. Q 5 l. om. D || Ποτιδᾶνος E || Ἰσθμιακοῖς $Q^{a}$b Ἰσθμικοῖσιν E 6 τῷ Ποσειδῶνι Bv 7 Πτοιοδ. ἦν Θ. CD || Θετταλὸς E || Θεσσαλοῦ δὲ Ξ. CD 8 l. om. D || Πτοιοδώρῳ] Πτοιοδώρου EQ 9 Τερψίονος r (Τερψίου B) || Νημερτίδας D Ἀμερτ. $Q^{ac}$ 9.10 Πτοιοδώρῳ B 10 Θετταλὸς BE || τινὲς — 11 φασιν om. D 10 δὲ (alt.) om. E 10.11 Ἀμερτ. EQ || τοῦ Ναμερτίδα b (n. cr. p. 422) 11 Ἐρίτιμον] Ἐριτίμου $E^{i}$ 12 l.] om. BD ἕψονται C || αἱ CDEQ: μακρότεραι καὶ B μακρ. τέρψιες καὶ v 13 νῖκαι CDE$Q^{pc}$b: τέρψιες $Q^{ac}$ καὶ B om. v || καὶ ὕμνοι] ὕμνοι καὶ Bv || καὶ (alt.)] δὲ· C om. D || ἡ om. CD 14 εἰ τὰ Dh: εἶτα BCEGQv δῆτα Beck || ἔχοι E 15 τέρψιες B: τέρψεις CDEQ || ἕψοντι Ἐρίτιμον ταῖς ἀοιδαῖς D (ταῖς ἀοιδαῖς et C) 16 λάβοιμεν CDEQ: λ[αμβάνομεν?] Bv || Τερψίας] Ἐρξίας EQ || Ἐριτίμαν E

BDEQ 60 a. *ὅσσα τ' ἐν Δελφοῖσι:* θαυμαστικῶς τὸ ὅσσα, ἀντὶ τοῦ πολλάκις ἐν Δελφοῖς ἐνίκησαν. b. ἀντὶ τοῦ τὰ Πύθια.

B(C)DEQ 62 a. *ἠδὲ χόρτοις ἐν λέοντος:* πόσα δὲ καὶ ἐν τῇ Νεμέᾳ, ἥτις ἐστι περιορισμὸς τοῦ λέοντος, ἐν ᾧ ἐτράφη ὁ
BCDEQ λέων ὁ ὑπὸ τοῦ Ἡρακλέους ἀναιρεθείς. 63c b. ἄλλως· χόρτοις περιορίσμασι· τὸ γὰρ παλαιὸν χόρτους φυτεύοντες
BCEQ ἀντὶ φραγμῶν περιώριζον τοὺς τόπους. | Ὅμηρος (Ω 640)·

αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον. 62ᵃ C

BCDEQ 63 a. *δηρίομαι πολέσιν:* διαφιλονεικήσω πλείστοις περὶ τῶν ὑμετέρων καλῶν, καὶ τοῖς ἄλλοις ἀξιοπρεπέσι τὰ κατορθώματα ὑμῶν ἀντιπαραθεὶς οὐκ ἐλάττονα ὄντα ταῦτα ἀποδεικνύς. b. ἢ οὕτω· διαμαχεσθήσομαι εἷς ὢν περὶ πλειόνων κατορθωμάτων. c. πλεῖστα μὲν οὖν περὶ ὑμῶν πρὸς πάντας καταλέγειν ...., σαφῶς μέντοι καὶ ἀκριβῶς οὐκ ἂν δυνηθείην πάντα εἰπεῖν, ὥσπερ οὐδὲ θαλασσίας
EQ ψηφῖδος τὸν ἀριθμόν. d. ἢ οὕτως· *περὶ πλήθει καλῶν:*
CEQ τῶν ἀνδραγαθημάτων. e. οὕτω τὰ καλὰ πλεονάζει παρ'
ĖQ ὑμῖν ὥστε μηδὲ ἀριθμῆσαι σαφῶς | καθάπερ οὐδὲ τὰς παραθαλασσίους ψηφῖδας.

---

7 sch. DT Ω 640. Eust. Il. 1369, 16. EM 813, 54. sch. AD Λ 774. Eust. Il. 883, 45

---

1 l. om. **D** ‖ ἐν] ἐλ **B** ‖ Δελφοῖς **EQ** ‖ θαυμαστικὸν **Qb**
2 ἀντὶ τοῦ om. **D** ‖ ἐν **BQ**: δὲ καὶ ἐν **D** δὲ ἐν **E** ‖ ἐνίκησαν **B**: ἐνίκησεν **DEQ** ‖ ἀντὶ τοῦ **DQ**: ἂν **E** om. **B** 4 l. om. **D** ‖ χόρτος **E** ‖ πόσα] ἀντὶ τοῦ πόσα **Bv** ‖ καὶ om. **E** 5 ἀνετράφη **Q**
6 ὁ ὑπὸ] ὑπὸ **DQ** ‖ Ἡρακλέος **BEQ** 7 χ. ἀντὶ τοῦ περ. **BCv** (περιορισμοῖς **C**) 7. 8 χόρτον φραγμοὺς **D**, om. φυτ. ἀντὶ
9 αὐλοῖς **Ev** (corr. Beck) ‖ κυλινδούμενος **BEQ**ᵃᶜ 10 πολέσιν **BQ**: πόλεσιν **E** om. **CD** ‖ ἀντὶ τοῦ φιλονεικ. **Bv** 11 ἡμετ. **CEQ**
12 post ἀντιπαραθεὶς (-περιθεὶς **E**) add. φιλονεικήσω **CGE** ‖ οὐκ — 13 ἀποδεικνύς om. **D** 12 ἔλαττον **EQ** ‖ ὄντα om. **CEQ**
13 διαμαχεσθήσομαι **BQ**: -χεθήσομαι **E** -χέσομαι **C** -χησόμεθα **D** 14 sch. 63c ἢ οὕτω praem. **B**, (ἄλλως·) ὡς μὰν σαφές **CEQ** 15 καταλέγ(ειν) **B** καταλέγειν ⟨ἔχων⟩ anonym. ap. Oxon. perperam; ft. κ. ⟨ἔχω⟩ 16 πάντως **D** πάντας **E** ‖ οὐδὲ om. **D**
16. 17 θαλασσίων ψηφίδων **C** 17 post ἀριθμόν repet. sch. 63b **C**, sed del. 18 πλεονάζειν **Gb** 18. 19 ἐν ὑμῖν **CQb**
19 μηδὲ ego: μήτε 20 ψήφους **GQb**

66. (ποντιᾶν:) θαλασσίων. πολιῶν. B[g1]

67 a. ἕπεται δ᾽ ἐν ἑκάστῳ μέτρον: τὸ μέτρον και- BDEQ ροῦ δεῖ· κἀγὼ οὖν, φησι, παύσομαι ὑπὲρ μέτρον ἐπαινῶν ὑμᾶς. b. ἐπεὶ δὲ μετρίως ἐκτὸς τῆς ᾠδῆς ἐγένετο, θέλει DEQ ἀναλαβεῖν. c. ἄλλως· οὐδὲν οὖν πλεῖον δύναμαι λέγειν, BCEQ ἵνα μὴ τῷ ἀμέτρῳ λυπήσω τινάς. d. ἑκάστῳ γὰρ πράγ- CEQ ματι μέτρον ἀκολουθεῖ καὶ συμμετρία· τοῦτο δὲ αὐτὸ νοῆσαι τὸ τῆς συμμετρίας εὔκαιρόν τέ ἐστι καὶ ἄριστον.

69 a. ἐγὼ δ᾽ ἴδιος ἐν κοινῷ σταλείς: ἐγὼ δὴ οὖν, BCDEQ οὐχ ὡς ἀλλότριός τις, ἀλλ᾽ ὡς ἴδιος καὶ κοινὸς ἐν ὑμῖν, παρ᾽ οἷς καὶ τὴν σύνεσιν τῶν προγόνων ὑμῶν λέγων | καὶ BEQ τὰ ἀνδραγαθήματα τῶν παρ᾽ ὑμῖν ἡρώων τὰ κατὰ πόλεμον καὶ αὐτὰ λέγων, οὐδὲν ἀλλότριον διαψεύσομαι τῆς Κορίνθου. 69[c] Q b. ἄλλως· ὡς ἴδιος, τουτέστιν ὡς εἷς ἐξ ὑμῶν ἀποσταλεὶς καὶ προκριθεὶς τὴν βούλησιν τῶν ὑμετέρων προγόνων καὶ τὸν ἡρωικὸν πόλεμον οὐ ψεύσομαι περὶ τῆς Κορίνθου γαρύων, τουτέστι φωνῶν καὶ λέγων. | μῆτιν δὲ BCDEQ παλαιγόνων ἔφη τὴν Σισύφου. ἱστορεῖται γὰρ γεγονέναι συνετός. Ὅμηρος (Z 153)·

ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ᾽ ἀνδρῶν. 69[d] Q

c. ἄλλως· οὐκ ἀλλότριός τις ὑμῶν ἀλλ᾽ οἰκεῖος, οὐκ ἴδιος EQ δὲ κατὰ γένος. 69[b] Q d. ἄλλως· ἐν κοινῷ: ἐν ὑμῖν. CEQ e. ἢ οὕτως· κοινοῦ ὄντος τοῦ ἐγκωμιάζειν οὐκ ἐχρησάμην τῇ κοινότητι. 56[c] E

70. παλαιγόνων: τῶν σοφῶν. τοῦτο γὰρ εἰρήκασιν οἱ E παλαιοὶ τῶν σοφῶν.

---

2 l. B(D): νοῆσαι δὲ καιρὸς ἄριστος EQ 3 κἀγὼ] κἂν D 5 ἄλλως] ἕπεται δ᾽ ἑκάστῳ C 6 ἀμέτρῳ CEQ: μέτρῳ Bv ‖ λυπήσω· τινὲς Q λυπήσομαί τινας Beck tacite 9 l. BQ: ἐγὼ δὲ ἴδιος CDE ‖ ἐγὼ (alt.)] ὁ νοῦς· ἐγὼ EQ ‖ οὖν] οὖν φησιν Bv 10 ἡμῖν DE 12 τῶν ἀνδραγαθημάτων Q 13 ψεύσομαι Q. Ft. καταψεύσομαι ‖ τῆς] τοῖς? E[cp] 14 ἡμῶν E 15. 16 προγόνων] πολέμων E 16 οὐ ψεύσομαι] οὐ (s. v. add. G) καταψεύσομαι Gb καταψεύσομαι Q 17 γηρύων E ‖ καὶ om. Bv 18 ἱστορεῖται — 19 συνετός om. D 20 ὃ codd. Hom.: ὃς 21 ὑμῶν EG: ὑμνῶ Qb 23 κοινοῦ CE: ἐν κοινῷ νοῦ G ἐν κοινῷ οὐ Q ἐν κοινῷ b

BDEQ 72 a. αὕτη ἐστὶν ἡ μῆτις ἡ προκειμένη τῶν προγόνων,
BEQ ἧς ὑπόδειγμα Σίσυφος. b. τὸν μὲν Σίσυφον λέγω, φησίν, οὕτω συνετώτατον ἐν ταῖς ἐπινοίαις γεγενῆσθαι ὡς ἂν θεόν.
B 73. πυκνότατον παλάμαις: συνετώτατον βουλαῖς ἢ γνώμαις.
BCDEQ 74 a. καὶ τὰν πατρὸς ἀντία Μήδειαν: καὶ τὴν Μήδειαν ὑμνῶ τὴν παρὰ γνώμην τοῦ πατρὸς αὐτῆς γαμηθεῖσαν· ἐγαμήθη δὲ τῷ Ἰάσονι σοφὴ οὖσα· τὴν γενομένην σώτειραν καὶ βοηθὸν τῇ Ἀργοῖ. ἐβούλετο γὰρ ὁ Αἰήτης
BEQ ἀνελεῖν τοὺς Ἀργοναύτας. b. ἄλλως· πατρὸς ἀντία: ἠναντιώθη κατὰ τὸν γάμον τῷ πατρὶ ἡ Μήδεια· ὃν γὰρ ἐκεῖνος οὐκ ἐβούλετο Ἰάσονα, τούτῳ ἐγήματο καὶ συναπῆρεν
BCDEQ αὐτῷ. c. ζητεῖται δὲ τί δήποτε τὴν Μήδειαν Κολχίδα οὖσαν εἰς τοὺς περὶ Κορινθίων λόγους προσάγεται. 74g C
BDEQ d. φασὶ δὲ τὴν Κόρινθον πατρῷον εἶναι κτῆμα Μηδείας. Αἰήτῃ γὰρ τῷ Ἡλίου καὶ Ἀντιόπης χρησμὸν δοθῆναι πόλιν οἰκίζειν ἐν Κόλχοις ἀπ' αὐτοῦ τὴν ἐπωνυμίαν ἔχουσαν, τὴν δὲ τῶν Κορινθίων τυραννίδα παρακαταθέσθαι Βούνῳ τῷ Ἑρμοῦ, ἐντειλάμενον, εἰ μὲν ἐπανέλθοι, ἀποδοῦναι αὐτῷ,
BEQ εἰ δὲ μή, αὐτὸν ἔχειν. e. τὴν δὲ Μήδειαν ἐρασθῆναι
BCEQ Σισύφου φησὶ Θεόπομπος. 74g EQ f. ἄλλως· διὰ τί Μηδείας ἐμνημόνευσεν; ὅτι ἡ Κόρινθος πατρῷον αὐτῆς κτῆμα

---

22 sch. Eur. Med. 9. Tzetzes ad Lyc. 174. 1024. Paus. 2, 3, 10

---

1 l. nullum DE: μῆτίν τε Bv ἄλλως· μῆτίν τε γαρύων Q || αὐτή B?v || ἐστὶν] δὲ D 2. 3 λέγω φησὶν οὕτω E: οὕτω φησὶ λέγω Bv λέγουσιν οὕτω Q 7 l. om. D || καὶ (alt.) om. E 8 τὴν] ὡς E 9 γινομ. DE 11 ἀντίαν E 12 ἠναντ.] ἐπεὶ ἠναντ. Bv 13 ἐγήματο HQ ἐγάμητο E: ἐγαμήθη Bv 15 προσάγεται EQ^corr (in -αγ-): προάγεται BD 16 φησι DE || πατρῷον G πατρωὸν E: πρῶτον Dv om. B || κτῆμα εἶναι Bv 17 γὰρ EQ: δὲ BD 18 Κολχοῖς DEQ || αὐτοῦ DEQ: αὐτῆς B 19 παρακαθέσθαι E καταθέσθαι Q || Βούνῳ BD: Βουνόμῳ EGHQ 20 ἐπανέλθοι EH: ἐπανέλθῃ DQ ἐπαναχθείη Bv 21 sq. schol. mutilum esse censet Seeliger lex. myth. Roscheri II, 2493 22—373, 7 cfr. Thom. p. 401, 1 22 ἄλλως — 23 ἐμνημ. om. C 22 διὰ τί EGQb: διὰ τοῦτο Bv

*γέγονε τούτῳ τῷ λόγῳ· Ἀλωεὺς γὰρ καὶ Αἰήτης ὁ Μηδείας πατὴρ ἐγένοντο παῖδες Ἡλίου καὶ Ἀντιόπης. τούτοις ὁ Ἥλιος διένειμε τὴν χώραν, καὶ ἔλαβεν Ἀλωεὺς τὴν ἐν Ἀρκαδίᾳ, τὴν δὲ Κόρινθον Αἰήτης. Αἰήτης δὲ μὴ ἀρεσθεὶς τῇ ἀρχῇ Βούνῳ μέν τινι Ἑρμοῦ υἱῷ παρέδωκε τὴν πόλιν εἰπὼν φυλάττειν τοῖς ἐσομένοις ἐξ αὐτοῦ. αὐτὸς δὲ | εἰς* **BCDEQ**
*Κολχίδα τῆς Σκυθίας ἀφικόμενος ᾤκησε βασιλεύων. διδάσκει δὲ τοῦτο Εὔμηλός τις ποιητὴς ἱστορικὸς εἰπών* (fr. 2 K.)·

*ἀλλ' ὅτε δ' Αἰήτης καὶ Ἀλωεὺς ἐξεγένοντο* **BCEQ**
*Ἠελίου τε καὶ Ἀντιόπης, τότε δ' ἄνδιχα χώρην*
*δάσσατο παισὶν ἑοῖς Ὑπερίονος ἀγλαὸς υἱός.*
*ἣν μὲν ἔχ' Ἀσωπὸς, ταύτην πόρε δίῳ Ἀλωεῖ·*
*ἣν δ' Ἐφύρη κτεάτισσ', Αἰήτῃ δῶκεν ἅπασαν.*
*Αἰήτης δ' ἄρ' ἑκὼν Βούνῳ παρέδωκε φυλάσσειν*
*εἰσόκεν αὐτὸς ἵκοιτ' ἢ ἐξ αὐτοῖό τις ἄλλος,*
*ἢ παῖς ἢ υἱωνός· ὁ δ' ἵκετο Κολχίδα γαῖαν.*

*Βοῦνος δὲ Ἑρμοῦ καὶ νύμφης τινὸς παῖς.* 78 **CEQ** g. *ἄλλως· Μηδείας μέμνηται ὅτι ἐν Κορίνθῳ κατῴκει καὶ ἔπαυσε Κορινθίους λιμῷ κατεχομένους θύσασα Δήμητρι καὶ νύμφαις Λημνίαις. ἐκεῖ δὲ αὐτῆς ὁ Ζεὺς ἠράσθη, οὐκ ἐπείθετο δὲ ἡ Μήδεια τὸν τῆς Ἥρας ἐκκλίνουσα χόλον· διὸ καὶ Ἥρα*

---

1 *γὰρ* **B** (s. v.) **EQ**: om. **C** Eur. Thom. *τε* **v** ‖ *ὁ* om. **E** 3 *ἔλαβεν*] *ἔλαχεν* **h** ‖ *Ἀλωεὺς* fere **B** 3. 4 *τὴν Ἀρκαδίαν* **C** (Eur. cod. B, Thom.) 4 *τὴν δὲ Κόρινθον Αἰήτης* **CEQ** Tz. Eur. Thom.: *ὁ δὲ Αἰήτης τὴν Κόρινθον* **Bv** ‖ *Αἰήτης δὲ* **BEQ**: *ὃς* **C** *οὗτος οὖν* Eur. ‖ *ἐρασθεὶς* **E** *εὑρεθεὶς* **C** 5 *Βούνῳ* **B** Tz. Eur. Paus.: *Βουνόμῳ* **CEGQ** Thom. 6 *σεσωσμένοις* **Qv** (corr. Beck) 8 *ποιητὴς* om. **D** 9 *ἐγένοντο* **Q** 11 *δάσσατο* Tz. Eur : *δάσατο* **BCE** (et nonnulli codd. Tzetzae) *δεύσαντο* **Q** 12 *ἔχ'*] *ἔσχ'* **E** *ἔναιεν* Tz. ‖ *ταύτην*] *τὴν* Tz. 13 *Ἐφύρη* **C**^corr^ Tz.: *Ἐφύρην* **BQ** *ἐφύρει* **E** ‖ *κτεάτισσ'* **B** Tz.: *κτεάτισεν* **C** *κτεάτεσ'* **E** *κτεάτεσσ'* **Q** (codd. Tzetzae nonnulli) ‖ *δῶκε περὶ πᾶσαν* **C** 14 *Αἰήτῃ* **E**[1] ‖ *Βουνῷ* **E** *Βουνόμῳ* **CQ** ‖ 15 et 16 ap. Tz. licenter mutati 16 *ἢ παῖς ἢ* **B**: *παῖς ἢ* **C**[1]**E** *παῖς ἢ δὴ* **Q** *παῖς ἢ καὶ* **C**[3] *ἢ παῖς ἠδὲ* **v** ‖ *ἵκετο*] *ᾤχετο* Tz., **h** 17 *Βοῦνος — παῖς* om. cod. B Eur., Tz. ‖ *Βουνόμος* **CQ** ‖ *τινὸς παῖς*] *υἱὸς γέγονεν* Eur. ‖ *ἄλλως*] *καί φησι* **C** 19 *Δήμητραν* **C**[1] *Δήμητρα* **Q** 20 *Λημνίαις*] *λιμναίαις* cj. Beck; sed cfr. Lobeck Aglaoph. p. 1209 (Strab. 10, 472) 21 *χόλον ἐκκλίνουσα* **B** ‖ *ἡ Ἥρα* **EQ**

ὑπέσχετο αὐτῇ ἀθανάτους ποιῆσαι τοὺς παῖδας. ἀποθανόντας δὲ τούτους τιμῶσι Κορίνθιοι, καλοῦντες μιξοβαρβάρους. 74f CEQ

B 77. *προπόλοις*: τοῖς ἐμπορεύουσι. λέγει δὲ τοὺς Ἀργοναύτας.

EQ 78 a. *τὰ δὲ καί ποτ' ἐν ἀλκᾷ*: καὶ τά ποτε δὲ, λείπει γένη, διὰ τῆς ἰδίας ἀνδρείας δόξαντα διατέμνειν καὶ πέρας ἐπιτιθέναι τῇ μάχῃ ἐξ ἀμφοτέρων τῶν μερῶν, τουτέστιν Ἑλλήνων τε καὶ Τρώων. ἀπὸ κοινοῦ τὸ γαρύων τε καὶ ἀνυμνῶν.

BCDEQ 78 b. *τὰ δὲ καὶ ποτ' ἐν ἀλκᾷ*: λείπει τὰ γένη.
c. οἱ Κορίνθιοι ἐπ' ἀμφότερα ἠρίστευσαν ἐν Ἰλίῳ· καὶ γὰρ
τοῖς Τρωσὶ συνεμάχησαν καὶ τοῖς Ἕλλησι, Τρωσὶ μὲν Γλαῦ-
κος τὸ γένος εἰς Βελλεροφόντην ἀναφέρων τὸν Γλαύκου
τοῦ Σισύφου, τοῖς δὲ Ἀχαιοῖς Εὐχήνωρ Πολυίδου τοῦ μάν-
CDEQ τεως. | διὰ τοῦτο δὲ καὶ Σιμωνίδης εἶπε (fr. 50)· Κοριν-
θίοισιν οὐ μανίει ... οὐδὲ Δαναοί. ἀμφοτέροις γὰρ σύμ-
μαχοι ἐγένοντο.

BCDEQ 82 a. *τοὶ μὲν γένει Ἀτρέος*: οἱ μὲν γὰρ περὶ τὸν
BDEQ Εὐχήνορα | (Κορίνθιος δὲ ὁ ἀνήρ) ἅμα τοῖς Ἀτρείδαις ἐβού-
λοντο τὴν Ἑλένην ἀνακομίσασθαι ἁρπασθεῖσαν ὑπὸ Ἀλεξάν-
